D218893/03

DEPOSIT AND CONSULTATION OF THESIS

FORM FO.3A
Do not detach

Provided that you are granted leave to supplicate, one of the three copies of your thesis will be deposited in the Bodleian Library, where it is intended to be available for consultation. In order to facilitate this, you are required to complete and sign the form below which will be inserted in the library copy of your thesis.

Does not require to be to microfilm.

Please use block capitals.

Surname	STALLMAN
First names (in full)	CYNTHIA JEAN
Faculty board	LIT. HUM. (ANCIENT HISTORY)
Title of thesis	THE LIFE OF S. PANCRATIUS OF TAORMINA

N.B. The title stated here must be precisely the same as that stated on the title page of the thesis submitted.

A candidate wishing to amend the title previously approved by the faculty board must apply to the faculty board for permission to do so.

Declaration by the candidate as author of the thesis.

1. I understand that I am the owner of the copyright of this thesis and that the copyright rests with me unless I specifically transfer it to another person.
2. I understand that the University requires that if I am granted leave to supplicate I shall deposit one copy of my thesis in the Bodleian Library where it shall be available for consultation and that photocopies of it may be made available to those who wish to consult it elsewhere. I understand that the Library, before allowing the thesis to be consulted either in the original or in a photocopy, will require each person wishing to consult it to sign a declaration that he recognises that the copyright of the thesis belongs to me and that no quotation from it and no information derived from it may be published without my prior written consent.
3. I agree that my thesis shall be available for consultation in accordance with paragraph 2 above.

Signed Cynthia J. Stallman *Date* 10 February, 1986

M. D. Phil. c.6385 (Vol I & II Vols.)

Notes

(a) If, for good reason, you do not wish your thesis or part of it to be made available for consultation or to be photocopied, you may apply to the relevant faculty board for dispensation from this requirement. Any such application should state, with full reasons, both the nature and the period of the dispensation requested, and should be sent with this form to the Graduate Studies Office. *If you are applying for dispensation, please tick this box:* ☐

(i) Dispensation for a period will always be granted in cases where confidentiality has been made a condition of access to material which is subsequently incorporated in a thesis.

(ii) Where confidential material forms only a small part of a thesis and the force of the thesis will not be seriously impaired by the removal of such material, the faculty board may grant permission for the confidential material to be deposited separately from the thesis, on the understanding that the thesis will be available for consultation or photocopying but access to the confidential material will be restricted.

(b) You may discover the names of persons who have consulted your thesis by writing to the Keeper of Western Manuscripts at the Bodleian Library requesting this information.

(c) You are requested to sign the declaration above even if you are applying for dispensation from the consultation requirement. If dispensation is granted, your thesis will *not* be made available for consultation or photocopying before the expiry of the dispensation period.

Do not forget to sign under Section 5 opposite.

So27 32282

The *Life* of S. Pancratius of Taormina

I. Text



Cynthia Jean Stallman

Balliol College

University of Oxford

Thesis submitted in fulfilment

of the requirements for

the degree of Doctor of Philosophy

Trinity Term, 1986.

Evagrii Siculi

Vita et certamen sancti Pancratii episcopi Tauromenii

Conspectus Siglorum

X Vaticanus Graecus 1591 (olim Cryptoferratensis 40), a. 964

S Messanensis S. Salvatoris 53, c. xii

C Cryptoferratensis BβV, c. x

Y Vaticanus Graecus 1985 (olim Basilianus 24), c. xi

V Vindobonensis Historicus Graecus 3 (olim 11), c. xi

O Vaticanus Ottobonensis Graecus 92 (olim Altaempsianus), c. xvi

Flor *Florilegium*, Parisinus Graecus 1115, fol. 254^{v}

Th Theodori Studitae, *Epistolae* lxxii et cxcix (*PG* 99, coll. 1304C, 1605A-B)

Nic Nicephori Archiepiscopi Constantinopolitani, *Refutatio et Eversio*
P Parisinus Graecus 1250, foll. 239^{r} - 241^{r}
C Coislinianus 93, foll. 69^{r} - 70^{r}

Usp Episc. Porfirij (Uspenskij), *Первое путешествие въ Аѳонскіе Монастыри и Скиты Часть* 1 *въ* 1845 *году* (Kiev, 1877)

Βίος τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Παγκρατίου ἀρχιπροέδρου τῆς Ταυρομενιτῶν πόλεως, συγγραφεὶς ὑπὸ Εὐαγρίου τοῦ αὐτοῦ μαθητοῦ καὶ οἰκέτου.

Ἐγένετο μετὰ τὸ ἀναληφθῆναι τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν εἰς τοὺς οὐρανοὺς καὶ καθεσθῆναι ἐν δεξιᾷ τοῦ πατρός, ὅθεν οὐκ ἐχωρίσθη, ἦλθον οἱ ἀπόστολοι ἀπὸ τοῦ ὄρους τοῦ καλουμένου Ἐλαιῶνος εἰς Ἱεροσόλυμα, καὶ ὤφθη αὐτοῖς ἄγγελος κυρίου διὰ πνεύματος ἁγίου ἐντελλόμενος αὐτοῖς ἀπὸ Ἱεροσολύμων μὴ χωρίζεσθαι, ἀλλὰ περιμένειν τὴν ἐπαγγελίαν τοῦ πατρὸς κηρύξαι τε τὸ εὐαγγελίον τοῦ κυρίου ἐν πᾶσι τοῖς ἔθνεσι καὶ ἕως ἐσχάτου τῆς γῆς, βαπτίζοντας αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, καὶ μὴ φοβεῖσθαι ἀπὸ τῶν ἀποκτεννόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι, τοῦτον δὲ φοβεῖσθαι, καὶ τὰ κελευόμενα παρὰ τοῦ ἀχράντου καὶ σωτηρίου αὐτοῦ λόγου ποιεῖν, τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν Γεέννῃ τοῖς ἀπειθήσασιν αὐτῷ· ἀλλ' ἐπειδὴ καιρός ἐστιν τῆς καλλίστης ἀπάρξασθαι διηγήσεως· λέγω δὴ τῆς περὶ τοῦ θαυμασίου καὶ ἁγίου ἀνδρὸς Παγκρατίου, καὶ τῶν ἀοιδίμων καὶ θεοδωρήτων αὐτοῦ τεραστίων· ἐν τούτοις μάλιστα

X (12 *καὶ σῶμα* - 2.4 *χάριτος* mutil:) S (8 *τοῦ πατρὸς* - 11 *αὐτοῦ* mutil.) CVO Nic (1 *Ἐγένετο* - 4 *Ἱεροσόλυμα*)

1 - 2 cf. Mk. 16:19 3 - 4 cf. Act. 1:2 5 - 6 cf. Act. 1:4 6 - 8 cf. Mk. 16:15, Mt. 28:19 9 - 10 cf. Mt. 10:28

Titulum *Βίος τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Παγκρατίου ἀρχιπροέδρου τῆς Ταυρομενιτῶν πόλεως, συγγραφεὶς ὑπὸ Εὐαγρίου τοῦ αὐτοῦ μαθητοῦ καὶ οἰκέτου* X (mutil.) C : *Βίος τοῦ ὁσίου πατρὸς ἡμῶν Παγκρατίου* S *Βίος καὶ πολιτεία καὶ μαρτύριον τοῦ ἁγίου ἀποστόλου καὶ ἱερομαρτύρος Παγκρατίου* V 2 *καθεσθῆναι* XSCV : *καθίσαι* Nic 3 post *οἱ ἀπόστολοι* verba *οἱ αὐτοῦ μαθηταὶ* hab. V 3 *τοῦ καλουμένου* om. Nic 3 *Ἐλαιῶνος* XSCV : *τῶν ἐλαιῶν* Nic 4 post *Ἱερουσαλήμ* verba *καὶ εἰσῆλθον εἰς τὸν* (*τὸν* om. P) *οἶκον οὗ ἦσαν καταμένοντες* hab. Nic 4 *διὰ πνεύματος ἁγίου* om. V 5 *χωρίζεσθαι* XCV : *χωρίζεσθε* S 6 - 7 *τοῦ κυρίου* om. V 7 - 8 *βαπτίζοντας - πνεύματος* om. V 7 *βαπτίζοντας* S : *βαπτίζοντες* XC 9 *φοβεῖσθαι* V : *φοβεῖσθε* XC 10 *φοβεῖσθαι* V : *φοβηθώμεν* XC 14 *καὶ ἁγίου* om. V

τρέψωμεν τὴν διήγησιν. ἔτι τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν σαρκὶ τοῖς ἀνθρώποις συναναστρεφομένου, ὁ τούτου τοῦ ἀειμνήστου ἀνδρὸς Παγκρατίου πατήρ, ἐν τοῖς ἐπέκεινα Ἀντιοχείας ὁρίοις οἰκῶν, ὑπὸ θείας ἐλλαμφθεὶς χάριτος, λαβὼν τὴν ἑαυτοῦ γυναῖκα καὶ τὸν μονογενῆ υἱὸν αὐτῶν Παγκράτιον τριετῆ ἄγοντα τὴν ἡλικίαν, ᾤχετο εἰς Ἱεροσόλυμα, καὶ εἰσελθὼν εἰς μίαν τῶν πόλεων τῆς Ἰουδαίας, ὁρᾷ τὸν Ἰησοῦν διδάσκοντα τὰ περὶ τῆς βασιλείας τῶν οὐρανῶν, καὶ πιστεύσας σὺν τῇ ἑαυτοῦ γυναικὶ καὶ τῷ μακαρίῳ Παγκρατίῳ, οἳ καὶ τυχόντες τῆς θείας καὶ μακαρίας ἀναγεννήσεως, καὶ τὰ χριστιανικώτατα περιβαλλόμενοι ἄμφια, ὑπέστρεψαν ἐν τῷ οἴκῳ αὐτῶν πεφωτισμένοι τὰς ψυχάς, καὶ ἦσαν αἰνοῦντες καὶ δοξάζοντες καθ' ἑαυτοὺς μιᾷ φωνῇ τὸν τῶν ὅλων θεόν. ὁ δὲ μέγας Παγκράτιος προέκοπτεν ἡλικίᾳ καὶ φρονήσει διδασκόμενος ὑπὸ τοῦ ἰδίου πατρός, πάντα τὰ γήϊνα καταλειπών, τούτῳ μόνῳ προσκολληθῆναι καὶ πιστεῦσαι ἀδιστάκτως, ὅτι, "θεὸς ἀληθινός ἐστιν

X (usque ad 4 *χάριτος*, 15 *προσκολληθῆναι* - 3.6 *Παγκράτιος* mutil.) S (1 *διήγησιν* - 3 *Παγκρατίου*, 9 *οἳ καὶ τυχόντες* mutil.) CVO

13 cf. Luc. 2:52

4 Ἀντιοχείας V : Ἀντιωχίας S Ἀντιοχίας C (post ὁρίοις tr.) 5 αὐτῶν XV : αὐτοῦ SC 11 ἦσαν XSV : εἶσαν, corr. ἦσαν C 14 καταλειπὼν XC : καταλειπὸν S καταλιπὼν V 14 τούτῳ μόνῳ V : τοῦτο μόνῳ XS τοῦτο μόνον C 15 προσκολληθῆναι SC : προσκολλήθητι V 15 post πιστεῦσαι verbum αὐτῷ hab. C, ἑαυτῷ hab. V

οὗτος, εἰ καὶ τὴν σάρκα τὴν ἡμῶν ἑκουσίως ἐφόρεσεν. σπούδασον τοίνυν, τέκνον, παραστῆναι αὐτῷ ἀνεπιλείπτως." καὶ ῥίψας ἑαυτὸν εἰς τὸ ἔδαφος, ἔλεγεν προσευχόμενος μετὰ δακρύων, "κύριε Ἰησοῦ Χριστὲ ὁ ἀληθινὸς θεός, ὁ θέλων πάντας ἀνθρώπους σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, σοὶ παρατίθημι τὸν παῖδα τοῦτον, μεθ' οὗ προσλαβοῦ με καὶ ἐλέησόν με." ὁ δὲ Παγκράτιος ἠπόρει λέγων ἐν ἑαυτῷ, "πῶς τὰ ἱερὰ γράμματα μάθω, καὶ ἀκολουθήσω τῇ πίστει, μὴ ἔχων τὸν ποιμαίνοντά με διδάσκαλον; ποῖος Χριστιανὸς ὁδηγήσει με τὸν λόγον καὶ ποιήσω τὸ θέλημα τοῦ Χριστοῦ μου;" χρόνου δὲ ἱκανοῦ παρεληλυθότος, οἱ γονεῖς αὐτοῦ τὸν ἀνθρώπινον ὑπεξῆλθον βίον. ὁ δὲ Παγκράτιος ἦν ἐν τῷ λεγομένῳ πυργίσκῳ, θείᾳ μελέτῃ ἐξασκούμενος. ἐγένετο δὲ τὸν ἅγιον Πέτρον τὸν ἀπόστολον διέρχεσθαι τὰς πόλεις καὶ χώρας κηρύσσοντα τὸν λόγον τοῦ θεοῦ, καὶ βαπτίζοντα εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, ὃς ἐλθὼν ἐπὶ τὰ μέρη τοῦ Πόντου, ἔνθα ἦν ὁ μακάριος Παγκράτιος ἡσυχάζων, ὁρμήσας ἐπὶ

X (usque ad 6 *Παγκράτιος* mutil.) S (2 *αὐτῷ* - 5 *παρατίθημι*, 10 *παρεληλυθότος* - 13 *τὸν λόγον* mutil.) CVO

4 - 5 cf. 1 Ti. 2:4

p.7 l.8

1 *τὴν* (1) om. S 5 *προσλάβου* CV : *προελάβου* S Cf. infr. 8 *ποιμαίνοντά* nos : *ποιμένοντα* XSCV 9 *Χριστοῦ* XCV : *πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς* S 13 *κηρύσσοντα* XV : *κηρύσσων* C 13 *βαπτίζοντα* V : *βαπτίζειν* XSC 13 *τὸ* om. XCV 15 *τοῦ* om. S

τὸν στῦλον τοῦ πυργίσκου, ἔστη ἐν αὐτῷ, καὶ ἐδίδασκεν τὸν ὄχλον, ἐπίστευσέν τε πᾶς ὁ ὄχλος ἐπὶ τῇ διδαχῇ τοῦ μακαρίου Πέτρου τοῦ ἀποστόλου ἐπὶ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν ἀληθινὸν θεόν. μετὰ οὖν τὸ παύσασθαι τὴν διδαχήν, πέμψας τινα τῶν μαθητῶν αὐτοῦ ὁ μακάριος ἀπόστολος κατήχησε τοὺς ὄχλους. ἐφόρεσε δὲ καὶ ὁ μακάριος Παγκράτιος τὴν λαμπρὰν καὶ καθαρὰν αὐτοῦ στολήν, ἵνα σὺν τῷ πνεύματι τῷ καθαρῷ καὶ τῇ ἰδέᾳ φανῇ Χριστιανός· ὅτε γὰρ ἦν ἀσκῶν μόνον τὸ κολόβιον περιεβέβλητο καὶ αὐτῷ μόνῳ ἠρκεῖτο. ὁ οὖν μακάριος Πέτρος ὁ ἀπόστολος, προσελθὼν ἐν τοῖς προαυλίοις τοῦ πυργίσκου, ἐποίησε τὴν ἐν Χριστῷ σφραγῖδα, καὶ εἰσῄει ὁ μακάριος ἔσω, καὶ εὑρὼν τὸν ἅγιον Παγκράτιον, λέγει αὐτῷ, "καλῶς εὗρον τὸ τέκνον τῆς ἐκκλησίας." ὁ δὲ μακάριος Παγκράτιος ἀποκριθεὶς εἶπε τῷ μακαρίῳ Πέτρῳ τῷ ἀποστόλῳ, "ἀπόστολε τοῦ Χριστοῦ, ἀποτολμῶ καὶ λέγω, ὡς τὸ βάρος καὶ τὸν καύσωνα τῆς ἡμέρας βαστάσας, κέλευσον ἀνακλιθῆναι μετὰ τῶν συνδούλων μου καὶ λαβεῖν τροφῆς ἐκ

X (1 *αὐτῷ* - 4 *μαθητῶν* mutil.) S (2 *ὄχλος* - 6 *Παγκράτιος*, 10 *σφραγῖδα* - 12 *ἐκκλησίας* mutil.) CVO

1 - 2 cf. Luc. 5:3, Act. 11:26, etc. cf. Mt. 20:12

1 *ὄχλον* SXC : *λόγον* V, fortasse recte, sed cf. Luc. 5:3, Act. 11:26, etc. 7 *φανῇ* SC : *φανεῖ* V 10 *εἰσήει* C : *εἰσήι* X *εἰσείη* V 11 *εὑρὼν* XSV : *εὑρὸν* C 14 *βαστάσας* XSC : *ἐβάστασας* V 15 *τροφῆς* S : *τροφὴν* XCV

τῶν μικρῶν βρωμάτων τούτων· ἔγνων γὰρ ὅτι πολλῷ κόπῳ συνέχεσαι." καὶ εὐθέως σὺν τῷ λόγῳ Παγκρατίου ἀνεκλίθη. κελεύει οὖν καὶ πᾶσιν τοῖς συνοῦσιν αὐτῷ συνανακλιθῆναι, καὶ ἀνακλιθέντες, ἔκλασεν ἄρτον καὶ ἐπέδωκεν αὐτοῖς, καὶ λαβόντες τροφῆς ἐνίσχυσαν πάντες, καὶ διδάξας ἐβάπτισεν αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. βαπτίσας οὖν τὸν ὄχλον, ἐπιλεξάμενος ἄνδρα εὐλαβῆ πάνυ πεπαιδευμένον τὰ τῆς φιλοσοφίας γράμματα, χειροτονεῖ ἐπίσκοπον ἐν τῇ κώμῃ ὀνόματι Μάξιμον. διατρίψαντος οὖν τοῦ μακαρίου ἀποστόλου Πέτρου ἐν τῇ κώμῃ ἡμέρας τεσσαράκοντα, ἣν ἐν τῷ πυργίσκῳ ἅμα τῷ μακαρίῳ Παγκρατίῳ ἡ ἀναστροφὴ αὐτοῦ ἡμέρας καὶ νυκτός, πάντα καλῶς εἰς αὐτὸν ἐποικοδομών, ἃ καὶ ἐπόθει ὁ μακάριος Παγκράτιος. ἔλεγεν δὲ ὁ ἅγιος ἀπόστολος Πέτρος πρὸς Παγκράτιον ὅτιπερ, "τέκνον Παγκράτιε, ἡμεῖς ἀφέντες πάντα τὰ γήϊνα πράγματα, ἠκολουθήσαμεν Χριστῷ τῷ ἀληθινῷ θεῷ ἡμῶν." ὁ δὲ Παγκράτιος ἀπεκρίνατο οὕτως, "ἀπόστολε καὶ μαθητὰ τοῦ

X (3 *συνοῦσιν* - 7 *φιλοσοφίας* mutil.) S (11 *ἃ καὶ* - 15 *ἀπεκρίνατο* mutil.) CVO

4 cf. Mt. 14:19, 15:36, etc. 4 cf. Act. 9:19 5 - 6 cf. Mt. 28:19, etc.

2 *συνέχεσαι* X : *συνέχεσθε* SCV 2 *Παγκρατίου* XCV : *Παγκρατίῳ* S, fort. recte 3 *συνανακλιθῆν*[..] (mutil.) : *συνανακληθῆναι* V *ἀνεκληθῆναι* SC 3 *ἀνακλιθέντες* SC : *ἀνακληθέντων* V 4 *τροφῆς* SC : *τροφὴν* V 5 post *καὶ* (1) verba *τῇ ἐπαύριον* hab. C 5 post *διδάξας* verbum *πάντας* hab. C 5 *τὸ* om. X 5 *τοῦ* (1,2) ~~om.~~ V»; 6 *τοῦ* om. V 8 *Μάξιμον* emendavi, cf. infr. p.409.1) : *Μαξιμῖνον* XSC *Μαξιμίνῳ* V 10 post *ἦν* verbum *δὲ* hab. S 10 *τῷ πυργίσκῳ ἅμα* om. XS 14 ante *Χριστῷ* verbum *τῷ* hab. V 15 *οὕτως* XCV : *αὐτὸν*, corr. *-ὼν* S 15 post *μαθητὰ* verba *τοῦ Χριστοῦ* hab. V

ἀληθινοῦ θεοῦ ἡμῶν, ἐγὼ ἐκ πολλοῦ χρόνου ἔχω τοῦτο ὀρεγόμενος, ἀφ' οὗ καὶ ὁ πατήρ μου τὸν ἀνθρώπινον ὑπεξῆλθε βίον, καὶ νῦν αἰτοῦμαι τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, καὶ ἐλπίζω εἰς αὐτὸν τὸν ἅπαντα χρόνον τῆς λοιπῆς ζωῆς μου μετά σου τελέσαι· ἀλλὰ μὴ βδελύξῃ, μαθητὰ Ἰησοῦ Χριστοῦ, ἐμὲ τὸν ἁμαρτωλὸν καὶ ὀρφανὸν καὶ ἀνάξιον ὄντα πάσης ἀρετῆς καὶ καταφεύγοντα εἰς τὸν ἀληθινὸν θεὸν καὶ εἰς σέ." ὁ δὲ μακάριος ἀπόστολος πρὸς αὐτὸν ἔλεγεν, "εὐλογητὸς κύριος ὁ καταυγάζων καὶ ἁγιάζων πάντα ἄνθρωπον ἐπιστρέφοντα πρὸς αὐτόν." λέγει οὖν ὁ μακάριος Παγκράτιος πρὸς τὸν ἀπόστολον τοῦ Χριστοῦ, "πῶς ἐξέλθω σὺν σοί, ὅτι οὐδεὶς τῶν ἐν τῷ οἴκῳ μου τὸ βάπτισμα ἐδέξατο;" ἔλεγεν γὰρ ὁ μακάριος, ὅτι πάραυτα μέλλει ἐξελθεῖν, καὶ περὶ τῶν οἰκετῶν αὐτοῦ ὡς εἰς ἀδελφοὺς ἡγεῖτο μέριμναν ἰδίαν εἶναι. γνοὺς οὖν ὁ μακάριος ἀπόστολος ὅτι λύπη περιέχει τὴν καρδίαν τοῦ μακαρίου Παγκρατίου, εἶπεν πρὸς αὐτόν, "τέκνον Παγκράτιε, κέλευσον ἀπελθεῖν ἐν τοῖς χωρίοις σου καὶ προαστίοις καὶ

X (5 *Ἰησοῦ* - 12 *καὶ* mutil.) S (5 *ὀρφανὸν* - 7 *αὐτὸν* mutil.) CVO

1 *τοῦτο* XCV : *τούτω* S 4 *τῆς λοιπῆς ζωῆς μου* XCV : *τὸ ὑπόλοιπον τῆς ζωῆς μου* S 4 *βδελύξῃ* XV : *βδελλύξει με* SC 11 *γὰρ* CV : *δὲ* S 12 *αὐτοῦ* om. SCV

ὄρεσιν, ἵνα ἅπαντες οἱ οἰκέται σου καὶ αἱ οἰκετίδες σου ἐλθόντες λάβωσι τὸ ἅγιον βάπτισμα, καὶ εἴτι δ' ἂν βούλῃ ποιεῖν, ποίησον. λοιπὸν δὲ οὐκέτι ἐν τῷδε τῷ τόπῳ καθεσθήσῃ." καὶ μετὰ τὸ βαπτίσαι πάντας, ἐλθὼν ἐν τῇ κώμῃ, παρέδωκεν τῷ ἐπισκόπῳ τὸν κανόνα τῆς ἐκκλησίας, τό τε ψαλτήριον ψάλλεσθαι μετὰ ἀντιφώνων, τάς τε ἑσπερινὰς καὶ ἑωθινὰς εὐχάς, καὶ τὸ πῶς δὴ ἀπάρχεσθαι τὸν κανόνα καὶ πληροῦν, τήν τε τῆς χειροτονίας κατάστασιν ὀρδινεύσας καὶ τὴν προκατήχησιν τοῦ βαπτιζομένου πρὸς ὥραν, καὶ τὸ μετὰ τὸ βάπτισμα καὶ τὸ σύμβολον τὸ πρὸ τοῦ βαπτίσματος, τήν τε σταυροπηγίαν ἐν δακτύλῳ τυπώσας, ἐγγὺς τοῦ πυργίσκου ἐκκλησίαν οἰκοδόμησεν, καὶ ἐνθρονιάσας αὐτὴν τὴν ἐκκλησιαστικὴν κατάστασιν παρέδεδωκὼς ἐγγράφως, λέγει τῷ ἐπισκόπῳ ὁ μακάριος ἀπόστολος Πέτρος, "βλέπε, τέκνον Μάξιμε, ὅτι γῆ ὤν, οὐράνιον καὶ ἀγγελικὴν ζωὴν περιβέβλησαι. πρόσεχε σεαυτῷ καὶ τῇ διδασκαλίᾳ σου, τηρῶν τὴν μεγάλην ταύτην παρακαταθήκην ἀμόλυντον ἐν τῇ ἡμέρᾳ τῆς

X (6 καὶ ἑωθινὰς - 13 τέκνον mutil.) S (8 βαπτιζομένου - βάπτισμα mutil.) CVO

14 - 8.1 cf. 1 Cor. 3:13

1 οἰκέται : οἰκέτες S 1 σου (2) om. C 2 βούλῃ XSV : βούλει C 3 δὲ XSC : γὰρ V 3 ἐν τῷδε τῷ τόπῳ XSV : ἐν τῷ τόπῳ τοῦτο C 3 καθεσθήσῃ XCV : καθεσθήσει S 4 post πάντας verba καὶ ἐλευθερῶσαι hab. C 4 κώμῃ XCV : πόλει S 5 τε (1) om. S 6 καὶ ἑωθινὰς post εὐχάς tr. S 6 δὴ om. CV 7 πληροῦν CV : πληρεῖν S 7 ὀρδινεύσας SV : ἐνορδινεύσας C 7 καὶ τὴν SV : τήν τε C 8 προκατήχησιν SC : προσκατήχησιν V 9 σύμβολον V : σύμβουλον C 9 σταυροπηγίαν V : σταυρωπηγίαν C σταυρωτυπείαν S 10 τυπώσας SV : τυπήσας C 12 λέγει S : ἔλεγεν CV 13 Μάξιμε C : Μαξιμῖνε XSV, cf. infr. p. 408.3 13 ὤν XCV : ὂν S 13 ζωὴν XSV : τάξιν C 15 ταύτην om. C 15 τῇ om. C

διαγνώσεως, ὅτε μέλλει τὸ ἔργον ἑκάστου φανερὸν γένεσθαι ἐνώπιον τοῦ δικαίου κριτοῦ." ὁ δὲ μακάριος Παγκράτιος εἰσελθὼν καὶ αὐτὸς ἐν τῷ οἴκῳ αὐτοῦ καὶ ἐνέγκας πάντας τοὺς παῖδας αὐτοῦ, διέδωκεν πάντα τὰ ὑπάρχοντα αὐτῷ τοῖς πτωχοῖς καὶ τοῖς παισὶν αὐτοῦ, καὶ λέγει αὐτοῖς ὅτι, "ἰδού, ἐξέφυγα ταῦτα πάντα, βουλόμενος τῷ Χριστῷ ἀκολουθῆσαι, τὸν σταυρόν μου ἀράμενος. τούτων δὲ πάντων τῶν ἐν τῷ ἐμῷ οἴκῳ ὄντων, ἔν τε χρυσίῳ καὶ ἀργυρίῳ, χαλκῷ τε καὶ σιδήρῳ, μαργαριτῶν πολυτελῶν καὶ ἱματισμῶν, ἀγρῶν τε καρποφόρων καὶ ἀμπελώνων, ὡς προείρηται, ὑμῖν ἔσται εἰς μισθαποδοσίαν. ἐγὼ δέ, ἀδελφοί μου καὶ τέκνα θεϊκά, βούλομαι σὺν τῷ ἀποστόλῳ τοῦ Χριστοῦ τὸ λοιπὸν τῆς ζωῆς μου ἐπιτελέσαι. αὐτὸς οὖν πάντας ὑμᾶς φρουρήσει κἀμὲ στηρίξει εἰς τὸν φόβον αὐτοῦ." ἀκούσαντες δὲ οἱ παῖδες τοῦ μακαρίου Παγκρατίου τοὺς λόγους τούτους, πεσόντες ἐπὶ πρόσωπον μετὰ δακρύων, ἔλεγον αὐτῷ, "τὰ καθ' ἡμᾶς ὡς κελεύεις, κύριε ἡμῶν, ποίησον καὶ ἡμεῖς ἕτοιμοι ἐσμὲν ὑπακοῦσαι σοί." ὁ οὖν μακάριος

X (8 μαργαριτῶν - 11 ζωῆς mutil.) S (2 ὁ δὲ - 6 ἀράμενος, 10 ἀποστόλῳ - 15 ἐσμὲν mutil.) CVO

1 - 2 cf. 2 Ti. 4:8 3 - 4 cf. Mt. 19:21, etc. 6 cf. Mt. 16:24, Mk. 8:34, etc.

1 μέλλει XCV : μέλλη S 1 τὸ ἔργον ἑκάστου XSC : ἑκάστῳ τὸ ἔργον V 1 γένεσθαι XSV : γίνεσθαι C 2 - 3 ἐν τῷ οἴκῳ XSC : εἰς τὸν οἶκον V 3 διέδωκεν XC : δέδωκεν V 4 αὐτῷ XV : αὐτοῦ C 4 καὶ (1) om. C 4 καὶ λέγει XV : λέγων C 5 ὅτι om. V 5 ταῦτα post πάντα tr. C 6 τῶν om. V 6 - 7 ἐν τῷ ἐμῷ οἴκῳ XC : ἐν τῷ οἴκῳ μου V ἐν τῷ οἴκῳ S 9 δέ SC : γὰρ V 11 μοῦ om. CV 13 τούτους om. C 15 ἡμεῖς CV : ὑμεῖς X 15 σοι XSC : σοῦ V

Παγκράτιος, προσελθὼν τοῖς ποσὶν τοῦ μακαρίου Πέτρου ἅμα Μαξίμῳ τῷ ἁγιωτάτῳ ἐπισκόπῳ παρεκάλει τὸν ἀπόστολον περὶ τῶν οἰκοπαίδων αὐτοῦ ἵνα παραδώσῃ εἰς χεῖρας τοῦ ἐπισκόπου. ὁ δὲ ἀπόστολος Πέτρος προσέταξεν Μαξίμῳ τῷ ἐπισκόπῳ, ὃν ἐχειροτόνησεν, ἐπιλέξασθαι ἄνδρας εὐλαβεῖς καὶ χειροτονῆσαι πρεσβυτέρους καὶ διακόνους, καὶ τοῦτο εἰπὼν λέγει τῷ μακαρίῳ Παγκρατίῳ, "δεῦρο, τέκνον Παγκράτιε, συνταξώμεθα τῇ κώμῃ καὶ ἀπέλθωμεν εἰς τὸ κήρυγμα τῆς ἀληθείας· θύραν γὰρ ἡμῖν ἀνέῳγεν κύριος Ἰησοῦς ὁ ἀληθινὸς θεὸς ἡμῶν." ὁ οὖν μακάριος Παγκράτιος πρὸς τὸν ἀπόστολον Πέτρον φησίν, "ἀπόστολε καὶ μαθητὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς χεῖρας θεοῦ καὶ εἰς χεῖράς σου παρατίθημι ἐμαυτόν." ὁ δὲ μακάριος ἀπόστολος προσκαλεσάμενος τὸν ἐπίσκοπον καὶ ἅπαν τὸ πλῆθος τῶν ἐν τῇ κώμῃ τοὺς τὸ ἅγιον βάπτισμα λαβόντας, σταθεὶς ἐν τῷ μέσῳ, ἐδίδασκεν λέγων οὕτως, "μηδεὶς ὑμῶν ἐκκλίνῃ τῆς εὐθείας ὁδοῦ· μηδεὶς ὑμῶν ἀρνήσασθαι ἅπερ παρελάβετε παρ' ἐμοῦ

X (10 *μαθητὰ* - 13 *βάπτισμα* mutil.) S (3 *δὲ* - 7 *Παγκρατίῳ*, 13 *ἐν τῇ* - 10.1 *ὑπὲρ* mutil.) CVO

8 cf. 1 Cor. 16:9, Col. 4:3, etc. 11 - 12 cf. Luc. 23:46, Act. 14:23, etc. 14 - 15 cf. Act. 13:10

1 *Παγκράτιος* om. SC 1 post *μακαρίου* verbum *ἀποστόλου* hab. C 2 *Μαξίμῳ* C : *Μαξιμίνῳ* XSV, cf. supr. *p.5 l.8* 2 post *Μαξίμῳ* verbum *καθεζομένῳ* hab. X 2 *τῷ ἁγιωτάτῳ ἐπισκόπῳ* XCV : *τοῦ ἁγιωτάτου ἐπισκόπου* S 2 post *ἀπόστολον* verbum *Πέτρον* hab. C 3 *ἵνα παραδώσῃ* nos : *ἵνα παραδώσει* S *παραδοῦναι* XCV 3 *εἰς χεῖρας τοῦ ἐπισκόπου* XCV : *αὐτοὺς τῷ ἐπισκόπῳ* S 3 - 5 *ὁ δὲ ἀπόστολος ... ἐχειροτόνησεν* : *ὁ δὲ ἀπόστολος τοῦ Χριστοῦ παρέδωκεν αὐτοὺς εἰς χείρας τοῦ ἐπισκόπου καὶ τότε ὁ ἀπόστολος Πέτρος κατασφαλιζόμενος Μάξιμον τὸν ἐπίσκοπων* (corr. *-ον*) *ὃν ἐχειροτόννησεν προσέταξεν αὐτῷ* C 4 *Μαξίμῳ* : *Μαξιμίνῳ* XCV 4 *ὃν* CV : *ὧ* X 6 *τοῦτο* CV : *τοῦτω* X 7 *συνταξώμεθα* XSV : *-όμεθα* C 8 *ἡμῖν* post *ἀνέῳγεν* tr. S 9 *Ἰησοῦς* om. S 9 *ἀληθινὸς* om. S 10 *Πέτρον* om. C, post *φησὶν* tr. V 10 *φησίν* XSV : *ἔφη* C 10 - 11 *τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ* S : *Χριστοῦ τοῦ θεοῦ ἡμῶν* C *Ἰησοῦ Χριστοῦ τοῦ θεοῦ* V 12 *ἐμαυτόν* XSV : *τὸ πνεῦμά μου* C 14 *ἐν τῷ μέσῳ* om. C 14 *ὑμῶν* XV : *ὑμᾶς* C 14 *ἐκκλίνῃ* X : *ἐκκλήνει* C *ἐκκλίνει* V 15 *ὑμῶν* V : *ὑμᾶς* XC 15 *παρελάβετε* CV : *παρελάβεται* X

ποιήσῃ· πάντα κόπον ὑπὲρ τῆς ἀληθείας ὑφίστασθε· τὴν ἐλεημοσύνην περὶ πολλοῦ ποιεῖσθε. φεύγετε, τέκνα μου, τοὺς ψευδοπροφήτας, οἵτινες ἔρχονται πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δὲ εἰσὶν λύκοι ἅρπαγες. τούτοις, τεκνία μου, μηδὲ συνεσθίετε, μηδὲ κἂν λόγον αὐτοῖς προσείπητε, ἀλλ' ἅπερ ἠκούσατε καὶ παρελάβετε παρ' ἐμοῦ, ταῦτα φρονεῖτε, ἐν τούτοις ἀναστρέφεσθε, καὶ ὁ θεὸς τῆς εἰρήνης ἔσται μεθ' ὑμῶν." ταῦτα οὖν λαλήσας ὁ μακάριος ἀπόστολος, καὶ μικρὸν ἡσυχάσαντες, τῶν ἀλεκτρυόνων φωνούντων, ἐξαναστάντες, λέγει ὁ μακάριος Παγκράτιος πρὸς τὸν ἀπόστολον, "ἀπόστολε τοῦ Χριστοῦ, ἐτόλμησα καὶ εἶπον, καὶ πάλιν τολμῶ καὶ λέγω, ὡς κελεύεις τὰ κατ' ἐμέ, ποίησον· εἰς Χριστὸν καὶ εἰς χεῖράς σου παρατίθημι τὸ πνεῦμά μου." ἀπελθόντες οὖν εἰς τὸν πυργίσκον, συμπαρέλαβον καὶ Μάξιμον τὸν ἁγιώτατον ἐπίσκοπον, καὶ ἐνέγκας ὁ ἀπόστολος τὰ σκεύη καὶ ποιήσας τὴν συνήθη πρόθεσιν, ἔστη καὶ ἐπετέλεσεν τὴν λειτουργίαν, καὶ μετέδωκεν πᾶσι τοῦ ἀχράντου σώματος καὶ τοῦ τιμίου αἵματος τοῦ

X (13 *ἁγιώτατον* - 11.5 *ἀπόστολος* mutil.) S (usque ad 1 *ὑπὲρ*, 7 *καὶ μικρὸν* - 12 *συμπαρέλαβον* mutil.) CVO

1 Phil. 4:9, etc. 2 - 4 Mt. 7:15 6 - 7 Rm. 15:33 11 - 12 cf. Luc. 23:46, Act. 14:23, etc.

1 *ποιήσῃ* nos : *ποιήσει* XCV 1 *ὑφίστασθε* V : *ὑφίστασθαι* XSC 1 post *τὴν* verbum *δὲ* hab. C 2 *ποιεῖσθε* V : *ποιήσθαι* XSC 4 post *τούτοις* verbum *δὲ* hab. V 4 *μηδὲ* (2) XCV : *μήτε* S 5 *προσείπητε* XCV : *προείπητε* S (cf. supr. p.3.5) 5 *ἅπερ* XSV : *ὧν* C 5 *ἠκούσατε* XCV : *ἠκούσαται* S 5 *καὶ παρελάβετε* om. S 6 *φρονεῖτε* CV : *-εῖται* XS 6 *ἀναστρέφεσθε* XSV : *-εσθαι*, corr. *-εσθε* C 8 *τῶν ἀλεκτρυόνων φωνούντων* : *τῶν ἀλεκτρυόντες των* X 11 ante *ποίησον* verbum *ποιῆσαι* hab. V 11 *παρατίθημι* SC : *παρατίθημοι* X : *παρατίθεμαι* V 12 *συμπαρέλαβον* XV : *συμπαραλαβῶν* C 12 *Μάξιμον* C : *Μαξιμῖνον* XSV 13 *ὁ ἀπόστολος* om. C 14 *ἔστη καὶ* om. V 14 ante *λειτουργίαν* verbum *θείαν* hab. C 15 *πᾶσι* SV : *πάντων* C 15 *τοῦ τιμίου* om. V 15 - 11.1 *τοῦ κυρίου - Χριστοῦ* om. C

κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τότε λέγει τῷ ἐπισκόπῳ Μαξίμῳ, "φέρε μοι τὸν τόμον τῆς χειροτονίας καὶ τοῦ ἐνθρονιασμοῦ." καὶ ἀποθεὶς αὐτὰ εἰς τὴν ἁγίαν τράπεζαν, ἐκέλευσεν τὸν ἐπίσκοπον λαβεῖν αὐτά, καὶ φόβῳ πολλῷ ἐκτείνας τὴν χείρα, ἔλαβεν αὐτά. τότε ἤρξατο λέγειν ὁ μακάριος ἀπόστολος Πέτρος πρὸς αὐτόν, "βλέπε, τέκνον, τί παρέλαβες περὶ παντὸς τοῦ λαοῦ τούτου. σὺ ἀπολογήσῃ ὡς ~~σὺ~~ ἐγχειρισθεὶς τὰς ψυχὰς αὐτῶν. μὴ γένῃ ὀργίλος καὶ ὑβριστὴς πρὸς τοὺς ἱερεῖς καὶ ὑπουργοὺς τῆς ἐκκλησίας σου, ἀλλ' ἔσῃ ἀνεξίκακος καὶ διδακτικὸς καὶ πρὸς τοὺς ἱερεῖς καὶ λειτουργοὺς καὶ πρὸς πάντας ἀνθρώπους φιλόξενος· τὴν ἐλεημοσύνην ποίει ἀφειδῶς· οὐδεμία γὰρ ἀρετὴ συγκρίνεται αὐτῇ, καὶ ἁπλῶς εἰπεῖν, ἀγάπην πρὸς πάντας καὶ συμπάθειαν." ταῦτα οὖν λαλήσας ὁ μακάριος ἀπόστολος Πέτρος, προσκαλεσάμενος Ἰωσὴφ τὸν ζωγράφον, λέγει αὐτῷ, "ποίησόν μοι τὴν εἰκόνα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἵνα ἰδόντες ἐπιπλέον πιστεύσωσιν, ὁρῶντες τὸν τύπον τῆς μορφῆς, καὶ ὑπόμνησιν

X (usque ad 5 ἀπόστολος mutil.) S (2 ἐνθρονιασμοῦ - 6 παντὸς mutil.) CVO Flor (13 τέκνον Ἰωσὴφ - 12.1 κηρυχθέντων) Th (13 ἐξένεγκον τὴν εἰκόνα - 12.1 κηρυχθέντων) Nic (12 ταῦτα - 13.3 τύπους)

1 Μαξίμῳ C : Μαξιμίνῳ SV 3 ἀποθεὶς V : ἀποθῆσας C 3 ἐκέλευσεν V : ἐκάλεσεν C, fort. recte 3 - 4 λαβεῖν αὐτὰ om. C 4 χείρα C : χείραν V 5 τί V : τίς C 6 ἀπολογήσῃ V : -ήσει XSC 7 γένῃ XCV γένει S 8 ἔσῃ XCV : ἔσει S 9 λειτουργοὺς XS : ὑπουργοὺς CV 10 ποίει XSV : ποιῶν C 11 πρὸς πάντας ante ἀγάπην tr. S 12 ἀπόστολος Πέτρος XCV : : Πέτρος ὁ ἀπόστολος S 12 post Πέτρος verba πρὸς Μάξιμον τὸν ἐπίσκοπον hab. C 12 - 13 ταῦτα - αὐτῷ : καὶ φησὶν ὁ μακάριος Πέτρος ὁ ἀπόστολος Flor 13 post αὐτῷ verba δεύρω, τέκνον Ἰωσὴφ C : τέκνον Ἰωσὴφ hab. Flor Nic, fort. recte 13 ποίησόν μοι XSCV : ἐξένεγκε Flor Nic ἐξένεγκον Th 14 ἡμῶν XSV Flor Th Nic : μου C 14 Ἰησοῦ Χριστοῦ XSCV Th Nic : Ἰησοῦν Χριστὸν Flor 14 post Χριστοῦ verba καὶ τῆς παναγίας ἀχράντου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας hab. C, fort. recte 14 post Χριστοῦ verba καὶ ἐντύπωσον αὐτὸν ἐν τῷ πυργίσκῳ hab. Flor Th Nic 14 post ἵνα verba ἴδωσιν οἱ λαοὶ ποίαν μορφὴν ἀνελάβεν (ἔλαβεν Th, ἀνελάβετο Nic) ὁ υἱὸς τοῦ θεοῦ, καὶ (καὶ : ἵνα Th Nic) hab. Flor Th Nic 14 ἰδόντες V : ἰδῶντες X ἰδῶτες S οἱ θεοροῦντες αὐτὰς C 14 ἐπιπλέον XV Flor : ἐπιπλείον SC Th Nic 15 πιστεύσωσιν XSV Flor Th Nic : δοξάσωσιν Χριστὸν τὸν ἀληθινὸν θεὸν ἡμῶν C 15 ὁρῶντες - μορφῆς om. C Flor 15 - 12.1 καὶ ὑπόμνησιν λαμβάνωσι S Th Nic : εἰς ὑπόμνησιν λαμβάνοντες C εἰς ὑπόμνησιν λαμβάνωσιν V καὶ ἐπὶ πλεῖον λαμβάνωσιν τὴν γνῶσιν Flor

λαμβάνωσι τῶν παρ' ἡμῶν εἰς αὐτοὺς κηρυχθέντων." ὁ δὲ ζωγράφος, λαβὼν ἐγκήρωτα χρώματα ἀνθηρά, ἐζωγράφησεν τὴν εἰκόνα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. ὁ δὲ ἀπόστολος φησίν, "ζωγράφησον, τέκνον, καὶ τὴν ἐμὴν καὶ τὴν τοῦ ἡμετέρου ἀδελφοῦ Παγκρατίου, ἵνα λέγωσιν οἱ εἰς ὑπόμνησιν λαμβάνοντες, 'οὗτός ἐστιν ὁ τὸν λόγον τοῦ θεοῦ κηρύξας ἐν ἡμῖν, ὁ ἀπόστολος Πέτρος,' καὶ διὰ τὸν ἀδελφὸν Παγκράτιον, 'οὗτός ἐστιν ὁ οἰκοδομήσας τὸν πύργον τοῦ σκευοφυλακίου.'" ὁ οὖν παῖς ὁ ζωγράφος καὶ ταύτας ἐπετέλεσεν, ἐπιγράψας ἑκάστῃ εἰκόνι τὸ ἴδιον ὄνομα. οὕτως οὖν ἐποίουν οἱ ἅγιοι ἀπόστολοι ἔν τε πόλεσι καὶ κώμαις ἀπὸ Ἱεροσολύμων ἕως Ἀντιοχείας. ἀναλογησάμενος δὲ Πέτρος, πεποίηκεν τὴν ἱστορίαν ἅπασαν τῆς ἐνανθρωπήσεως τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τὴν ἐκκλησίαν διεκόσμουν, ἀπ' ἀρχῆς ὅτε ὁ ἄγγελος τὸ 'χαῖρε' κέκραγεν τῇ παρθένῳ, μέχρις ὅτου καὶ ἀνελήφθη ὁ κύριος Ἰησοῦς Χριστός, †ἣ δὲ οὐκ ἦν κεκρυμμένον αὐτοῖς, ἀλλ' ἐν ἑτέρᾳ πόλει ἢ κώμῃ ἐσπουδάζον†, αὐτοὶ

XS (5 *ὑπόμνησιν* - 7 *Παγκράτιον* mutil.) CVO Flor (usque ad 1 *κηρυχθέντων*) Th (usque ad 1 *κηρυχθέντων*) Nic

1 *παρ' ἡμῶν* post *εἰς αὐτοὺς* tr. Th 1 *δὲ* S : *οὖν* CV Nic 2 *ἐγκήρωτα* nos : *ἐνκηρῶτα* S *ἐγκυρώτατα* C *ἐγκηρώτατα* V *ἐκηρότατα* Nic 2 *χρώματα* om. Nic 2 *ἀνθηρά* S : *ἀνθητά* C, om. V *ἄνθινα* Nic (P) *ἀνθητὰ* Nic (C) 3 post *Χριστοῦ* verba *καὶ τῆς παναγίας θεοτόκου* hab. C, fort. recte 3 *ὁ δὲ ἀποστόλος φησίν* SV : *καὶ ἔτι λέγει αὐτῷ ὁ μακάριος ἀπόστολος Πέτρος, τέκνον* C *ὁ οὖν μακάριος ἀπόστολος* Nic 3 *ζωγράφησον* SC Nic : *ζωγράφισον* V 4 *τέκνον* ante *ζωγράφησον* (l.3) tr. C 5 *οἱ* om. Nic 5 *ἐστιν* Nic : *ἦν* SCV 6 *ἀδελφὸν* SV : *κύριν* C *κύριον* Nic 7 *ἐστιν* XCV Nic : *ἦν* S 8 *ἐπετέλεσεν* XSV : *ἀπετέλεσεν* C *ἀπέστειλεν* Nic 9 *ἑκάστῃ εἰκόνι* nos : *ἑκάστῃ εἰκόνῃ* X *ἑκάστῃ* S *ἑκάστης εἰκόνος* C *ἑκάστην εἰκόνῃ* V *ἑκάστην εἰκόνα* Nic 10 *τε* XSCV Nic (C) : *ταῖς* Nic (P) 10 post *κώμαις* verba *ἕκαστος αὐτῶν* hab. Nic 10 post *Ἱεροσολύμων* verba *ἀνελόμενος τὸν ἴδιον ζωγράφον* hab. Nic 10 *ἕως Ἀντιοχείας* om. Nic 11 *ἀναλογησάμενος* (*ἀναλογισάμενος* X) *δὲ Πέτρος* XSCV : *ἂν μέντοι ἡ ἐκκλησία, παρόντος τοῦ ἀποστόλου, ὠκοδομήθη* Nic 11 *Πέτρος* om. C 11 *πεποίηκεν* XSCV : *ἐπληροῦτο* Nic 11 *τὴν ἱστορίαν ἅπασαν* : XSCV *ἅπασαν ἱστορίαν* Nic 12 *καὶ* Nic : *καθὼς* XSV, om. C 13 *διεκόσμουν* Nic : *διεκοσμούσαν* XSV *διακοσμοῦντες* C 13 *ὅτε* om. S 13 *κέκραγεν* XSV Nic : *κεχαριτομένη* C 14 *καὶ* ~~(1)~~ om. Nic 14 *ὁ κύριος Ἰησοῦς Χριστὸς* om. C Nic 14 *ἣ* XCV : *εἰ* S Nic 14 *δὲ* om. C 15 *κεκρυμμένον* XSCV : *κεκριμένον* Nic 15 *ἀλλ' ἐν - κώμῃ* om. C 15 *ἐσπουδάζον* Nic : *ἐσπουδάζετο παρ' αὐτοῖς* XSCV, om. C 15 - 13.1 *αὐτοὶ ἐνετύπουν* Nic : *ἐνετυπούσαν* XSCV

ἐνετύπουν αὐτὰς ἐν πίναξι χαρτῴοις καὶ παρεδιδώασιν τῷ ἐπισκόπῳ, καὶ αὐτὸς μετὰ τὴν πλήρωσιν τῆς οἰκοδομῆς, ἐνετύπου αὐτάς, ἃς καὶ φόβῳ παρῃνοῦν τιμᾶσθαι, ὡς ὁρῶντες τῶν ἱστοριῶν τοὺς τύπους. ὁ οὖν μακάριος Παγκράτιος προσελθὼν τοῖς ποσὶ τοῦ ἀποστόλου Πέτρου εἶπεν, "δέομαί σου, ἀπόστολε Ἰησοῦ Χριστοῦ, σταυρὸν ἔχω, ὃν ὁ μακάριος πατήρ μου παρά τινων πραγματευτῶν Ἱεροσολυμιτῶν ὠνήσατο, δοὺς αὐτοῖς πεντακόσια νομίσματα πρὸ δύο χρόνων τῆς τελευτῆς αὐτοῦ, ὅπερ μοι εἰς μνημόσυνον αὐτοῦ κατέλιπεν, καὶ τί κελεύεις περὶ αὐτοῦ;" ὁ δὲ μακάριος ἀπόστολος φησίν, "ἄγαγε, τέκνον, θεασώμεθα αὐτόν·" ἦν γὰρ ὅλως ἐκ χρυσίου καθαροῦ καὶ λίθων πολυτελῶν· οὕτως γὰρ ἦν κατ' οἰκονομίαν θεοῦ ἀποσταλεὶς πρὸς τὸν μακάριον πατέρα Παγκρατίου διὰ τὸ αὐτοπροαίρετον καὶ ἀγαθὸν τοῦ ἀνδρός, ὃν ἰδὼν ὁ μακάριος ἀπόστολος καὶ γνοὺς τῷ πνεύματι τὴν εἰς αὐτὸν οἰκονομίαν, πάραυτα λαβὼν ἐνεκόλαψεν ξύλον κέδρινον καὶ ποιήσας θήκην ἔνσυρτον ἐνέβαλεν αὐτὸν ἐκεῖ καὶ παρέδωκεν αὐτὸν τῷ

X (1 *πίναξι* - 3 *τύπους* mutil.) S (2 *αὐτάς* - 5 *ἀπόστολε*, 11 *οὕτως* - 15 *αὐτὸν* mutil.) CVO Nic (usque ad 3 *τύπους*)

1 post *πίναξι* verbum *ἢ* hab. V 1 *παρεδιδώασιν* V : *παρεδιδώ*[....] X *παρεδίδασιν* C *παρεδίδοασιν* Nic 1 post *ἐπισκόπῳ* verba *τῆς πόλεως* hab. C 2 *αὐτὸς* SCV : *αὐτοὶ* Nic 2 *ἐνετύπου* nos : *ἐνετύποι* C *ἀνετύποι* V *ἐνετύπουν* Nic 3 *παρῄνουν* Nic : [..]*ρανοῦσαν* X *παρενοῦσαν* C *παραινοῦσαν* V 4 *Πέτρου* om. C 5 *ἀπόστολε Ἰησοῦ Χριστοῦ* XV : [...] *Ἰησοῦ Χριστοῦ* S *ἀπόστολε Πέτρε τοῦ Χριστοῦ* C 7 *ὠνήσατο* XS : *ὀνήσατο* CV 8 *ὅπερ μοι* om. C 8 *μοι* om. X 8 - 9 *κατέλιπεν - αὐτοῦ* om. C 8 *κατέλιπεν* XV : *κατάλειπεν* S 9 *δὲ* XSV : *οὖν* C 9 *ἄγαγε* XSV : *ἔνεγκε* C 10 *θεασώμεθα* S : *θεασόμεθα* XV *ɬ θεάσομαι* C 10 *ὅλως* S : *ὅλος* XCV 10 *καθαροῦ* om. C 11 *οὕτως* XV : *ὄντος* C, fort. *ὄντως* emendandum ? 11 *ἦν* om. C 11 *θεοῦ* om. C 12 *διὰ τὸ* XC : *δι'* V 12 *τὸ αὐτοπροαίρετον καὶ ἀγαθὸν* : *τὸ ἀγαθὸν καὶ αὐτοπροέρετον* C 12 *καὶ* XC : *εἰς* V 13 *ἰδὼν* XV : *ἰδὸν* C 14 post *λαβὼν* verbum *ἔνσιρτον*, corr. *ἔνσυρτον* hab. C 14 - 15 *ἐνεκόλαψεν - ἔνσυρτον* om. C 14 *ἐνεκόλαψεν* XSC : *ἐνέκοψεν* V 15 *καὶ παρέδωκεν* XSV : *παραδεδωκῶς* C

ἐπισκόπῳ λελαληκώς φόβῳ προσέρχεσθαι καὶ προσκυνεῖν αὐτῷ, καὶ εὐθέως κατῆλθον ἅπαντες ἀπὸ τοῦ πύργου. κατελθόντων οὖν πάντων, σταθεὶς ὁ μακάριος καταμόνας ἐν προσευχῇ, στήκοντος τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ καὶ τῆς εἰκόνος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἔλεγεν προσευχόμενος μετὰ δακρύων, "κύριε Ἰησοῦ Χριστέ, ὁ τὸ τῶν ἀνθρώπων γένος ἐπισκεψάμενος, μὴ παρίδῃς με, ὅτι μονογενὴς καὶ πτωχὸς εἰμὶ ἐγώ, ἔπιδε ἐπὶ τὴν ταπείνωσίν μου καὶ σῶσόν με, ὅτι πρός σε καταφεύγω τὸν παντοδύναμον θεόν." καὶ πληρώσας ὁ μακάριος Παγκράτιος τὴν εὐχήν, ἐξῆλθεν ἐκ τοῦ πύργου, καὶ ἀπελθὼν ἐν τῷ τάφῳ τοῦ πατρὸς αὐτοῦ καὶ τῆς μητρός, καὶ στὰς ἐν τῷ προσκεφαλαίῳ λίθῳ τῆς λάρνακος, ἔκλαιεν ἐκ βάθους καρδίας αὐτοῦ λέγων, "ἰδού, καλὲ πάτερ μου καὶ ἐμὴ γλυκυτάτη μήτηρ, κατὰ τὴν ὑμετέραν ἐπιθυμίαν καὶ παραίνεσιν τὸ ὑμέτερον τέκνον τὸ θέλημα τοῦ Χριστοῦ πεποίηκεν καὶ πορεύεται ὡς τῷ κυρίῳ ἔδοξεν, ἀλλὰ μὴ παύσησθε δυσωποῦντες Ἰησοῦν Χριστὸν τὸν ἀληθινὸν θεὸν ἡμῶν ὑπὲρ σωτηρίας

XS (2 *κατελθόντων* - 5 *Χριστέ* mutil.) CVO Nic (2 *πάντων ἐκ τοῦ πύργου* - 9 *πύργου*)

1 *λελαληκώς* XSV : *φῆσας* C 1 post *λελαληκώς* verba *αὐτῷ οὕτως* hab. S 1 *προσέρχεσθαι* XCV : *προεύχασθε* S, cf. supr. *p.* 3. 5 1 *αὐτῷ* XSV : *αὐτὸν* C 1 - 2 *καὶ εὐθέως - πάντων* : (*τινῶν δὲ μεταξὺ περί γε* (*τε* P) *τιμῆς καὶ προσκυνήσεως τοῦ σταυροῦ ῥηθέντων, ἐπάγει ὁ αὐτὸς ὅτι·*) *πάντων ἐκ τοῦ πύργου κατελθόντων* (*παρελθόντων* P) Nic 2 *κατῆλθον - πύργου* om. C 2 *οὖν* om. S 3 post *μακάριος* verbum *Παγκράτιος* add. S^x in marg., *ἀπόστολος* hab. Nic 3 *καταμόνας* SV Nic : *κατὰ ἀνατολᾶς* C 3 *στήκοντος - καὶ* : *ἔμπροσθεν* Nic 4 *καὶ τῆς εἰκόνος - Χριστοῦ* : *καὶ τῶν ἁγίων καὶ σεπτῶν εἰκόνων* C 5 - 6 *κύριε - ἐπισκεψάμενος* : *εὐλογητὸς κύριος ὁ θεός μου, ὁ ὀφθείς μοι ἐν τῷ τόπῳ τούτῳ, ὁ εὐδοκήσας διὰ τῆς σῆς χάριτος τὸ τῶν ἀνθρώπων γένος ἐπισκέψασθαι* Nic 5 *κύριε Ἰησοῦ Χριστέ* S : *οὕτως Χριστέ* C *Ἰησοῦ Χριστέ* V 7 *ἔπιδε* CV Nic : *ἔπειδε οὖν* S 8 ante *παντοδύναμον* verbum *μόνον* hab. C 9 *Παγκράτιος* om. C 9 *πύργου* XSV Nic : *πυργίσκου* C 9 *ἀπελθὼν* XSV : *ἀνελθῶν* C 10 *αὐτοῦ* om. X 10 *καὶ στὰς* XSV : *ἔστη* C 10 *προσκεφαλαίῳ* XSV : *προσκεφαλῇ* C 11 post *λίθῳ* verba *καὶ στὰς* hab. C 11 *τῆς λάρνακος* X : *τοῦ λάρνακος* SV *ἐν τῷ λάρνακι* C 12 *ἐμὴ* : *ἐμοὶ* S 13 *ἐπιθυμίαν καὶ παραίνεσιν* XSC : *κέλευσιν* V 13 *τὸ* (2) om. CV 14 post *ἔδοξεν* verba *μετὰ τοῦ ἀποστόλου τοῦ Χριστοῦ* hab. C 14 *παύσησθε* V : *παύσασθαι* X *παύσηται* S *παύσητε* C 15 *Ἰησοῦν* om. C

τοῦ τέκνου ὑμῶν ὡς παρρησίαν ἔχοντες," καὶ λοιπὸν ἔλεγεν μετὰ δακρύων, "οἴμοι γλυκυτάτη μου μήτηρ," καὶ καταπτυξάμενος τὸν τάφον, εἰσῆλθεν εἰς τὴν οἰκίαν, καὶ εὗρεν πάντας καθεύδοντας. ὡς οὖν ἑωράκασιν αὐτὸν ἐξανέστησαν, καὶ περιπλεκόμενοι τῷ τραχήλῳ αὐτοῦ, ἔκλαιον λέγοντες, "ὁ κύριος ἡμῶν συντάξασθαι ἡμῖν ἦλθεν, καὶ ἐγκαταλείπειν ἡμᾶς." ὁλολύζοντες δὲ ἔλεγον εἷς ἕκαστος αὐτῶν, "οἴμοι, κύριέ μου, ποῦ θεασόμεθα τὸν τίμιον χαρακτήρα σου;" ὁ οὖν μακάριος καὶ αὐτὸς κλαίων ἔλεγεν, "μὴ οὕτως, ἀδελφοί, ἐν τοιαύτῃ ἀθυμίᾳ ἑαυτοὺς περιβάλλετε. ὅτι μὲν ἐπ' ἀληθείας συντάξασθαι ὑμῖν ἥκα καὶ ἐξελθεῖν, εὔδηλον· ἀλλ' εἰ καὶ ἀπὼν εἰμὶ τῷ σώματι, συμπαρὼν ὑμῖν εἰμὶ τῷ πνεύματι." καὶ ἀσπασάμενοι αὐτὸν πάντες, ἐξήλθομεν, καὶ λέγει πρός με, "τέκνον Εὐάγριε, ἀκολούθει μοι·" μόνον γὰρ ἐμὲ ἐπῆρεν ἐκ τῶν οἰκοπαίδων αὐτοῦ. ἀπελθόντες δὲ ἐν τῷ πυργίσκῳ εὗρεν τὸν ἀπόστολον Πέτρον ἐπαγρυπνοῦντα καὶ προσευχόμενον, καὶ πληρώσας τὴν εὐχὴν ὁ μακάριος λέγει τῷ κυρίῳ

X (4 περιπλεκόμενοι - 10 ἀπὼν mutil.) S (καὶ λοιπὸν - 2 γλυκυτάτη, 10 εὔδηλον - 15 πληρώσας mutil.) CVO

3 cf. Mt. 26:40, etc. 10 - 11 cf. 1 Cor. 5:3 12 cf. Mt. 8:22, etc.

1 καὶ om. C 2 δακρύων X : κλαυθμοῦ CV 2 οἴμοι XC : ὄμμοι V 3 οἰκίαν XSV : οἶκον C 3 καθεύδοντας XSV : καθεύδοντες C 4 αὐτὸν S : ἡμᾶς XCV 4 περιπλεκόμενοι CV : περιπλεξάμενοι S, fort. recte 5 αὐτοῦ S : τοῦ μακαρίου CV 7 οἴμοι C : οἴμμοι SV 7 θεασόμεθα CV : -ώμεθα S 8 post μακάριος verbum Παγκράτιος hab. CV 10 εὔδηλον om. C 10 post σώματι verba ἀλλ' ἄγε hab. V 11 ὑμῖν X : ὑμῶν V, om. C 12 ἐξήλθομεν V : -ωμεν XC 12 ἀκολούθει nos : ἀκολούθι XV ἀκολούθη C 13 ἐπῆρεν XV : ἐπεῖρεν, corr. ἐπῆρεν C 14 post εὗρεν verbum δὲ hab. X 14 τὸν ἀπόστολον Πέτρον XV : τὸν μακάριον ἀπόστολον C 15 καὶ πληρώσας XS ([...] πληρώσας) V : πληρώσας οὖν C 15 τὴν εὐχὴν post ὁ μακάριος tr. C 15 - 16.1 τῷ κυρίῳ μου om. XCV

μου Παγκρατίῳ, "Παγκράτιε, καλόν ἐστιν πάντοτε γρηγορεῖν καὶ προσεύχεσθαι," καὶ εἶθ' οὕτως λέγει πρός με, "καὶ σύ, τέκνον μου, πρόσεχε σεαυτὸν πάντοτε, τῶν θείων γραφῶν μιμνησκόμενος, τὸ δὲ ψαλτήριον διὰ παντὸς καθ' ἑαυτὸν στιχολόγει, καὶ κοιταζόμενος καὶ ἀνιστάμενος ἡμέρας καὶ νυκτὸς μελετῶν ἐν νόμῳ κυρίου." ταῦτα οὖν εἰρηκότος τοῦ μακαρίου ἀποστόλου πρὸς Παγκράτιον, ἐφώνησεν ὁ ἀλέκτωρ καὶ διυπνίσας πάντας, "ἐγείρεσθε, ἄγωμεν," ἔλεγεν σπουδαίως, καὶ ἐξαναστάντες ἐξήλθομεν ἐκ τῆς κώμης, καὶ σταθεὶς ὁ μακάριος ἀπόστολος Πέτρος ἄντικρυς τῆς κώμης, καὶ κλίνας τὰ γόνατα κατὰ ἀνατολάς, ηὔχετο τῇ κώμῃ λέγων, "κύριε Ἰησοῦ Χριστὲ ὁ θεὸς ἡμῶν, φύλαξον τὴν κώμην ταύτην καὶ σκέπασον αὐτὴν ἐν τῇ σκέπῃ τῶν πτερύγων σου," καὶ ἐξελθόντες, ἐποιήσαμεν τὴν ὁδοιπορίαν, καὶ διανύσαντες ὡσεὶ σταδίους εἴκοσιν ἀπέχοντας ἀπὸ τῆς κώμης, ἐν τόπῳ παραθαλασσίῳ εὕραμεν πλοῖον ὁρμοῦν Ἀντιοχέων, καὶ ἀνελθόντες ἐν αὐτῷ, κατήχθημεν ἐν τῇ πόλει Ἀντιοχείας, κἀκεῖ

X (6 ἐφώνησεν - 13 ὁδοιπορίαν mutil.) S (6 εἰρηκότος - 8 κώμης καὶ mutil.) CVO

1 - 2 cf. Mt. 26:41 11 - 12 cf. Ps. 90:4

1 ἐστιν om. XSV 2 καὶ εἶθ' οὕτως λέγει πρός με om. XCV 2 σὺ XCV : σοὶ S 2 μου XSV : μόνον C 3 σεαυτὸν S : σεαυτῷ XCV 3 πάντοτε (✓) om. C 3 μιμνησκόμενος : μνησκόμενος S, corr. μιμνησκόμενος S^{x} μνησκόμενος XCV 3 δὲ XSV : τε C 6 - 7 ἐφώνησεν ὁ ἀλέκτωρ καὶ : ἔωθεν ἀναστάντες C 7 διυπνίσας V : διύπνισεν C 7 ἄγωμεν V : ἄγομεν C 8 post ἐξαναστάντες verbum ἅπαντες hab. C 8 ἐξήλθομεν V : ἐξῆλθον C 9 μακάριος om. V 11 τὴν CV : τὸν S 11 σκέπασον CV : σπᾶσον, corr. σαιπασον supr. lin. S 11 τῇ om. CV 12 ἐποιήσαμεν C : ἐποίουν S ἐποιούμεθα V 13 διανύσαντες nos : διανοίσαντες XS ἐλθόντες C 13 ἀπέχοντας om. V 13 ἀπὸ om. C 14 παραθαλασσίῳ SV : παραλίῳ C 14 post παραθαλασσίῳ verbum παραλίῳ hab. X 14 εὕραμεν CV : εὕρεμεν, corr. εὕραμεν X εὕρωμεν S 14 πλοῖον XSC : πλοίῳ V 14 ὁρμοῦν XV : ὡρμοῦν S ὁρμοῦντα C 14 Ἀντιοχέων X : Ἀντιωχέων S Ἀντιοχαίον C Ἀντιοχαίων V 15 ἀνελθόντες XSV : ἀνήλθωμεν C 15 ἐν αὐτῷ XSV : ἐπ' αὐτῷ C 15 κἀκεῖ XSV : καὶ C

ἤρξατο ὁ μακάριος κηρύσσων τὸν λόγον τοῦ θεοῦ. ἦν δέ τις ἀποσταλεὶς ἀπὸ Ἱεροσολύμων ὑπὸ τῶν ἁγίων ἀποστόλων ἐκ τῶν μαθητῶν τῶν τὰ δεύτερα ἐχόντων, ἐξ αὐτῆς ὑπάρχων τῆς πόλεως τῷ γένει, Μαρκιανὸς ὀνόματι, ὅστις ἀκηκοὼς παραγεγονέναι τὸν μακάριον ἀπόστολον Πέτρον, παρακινήσας ἅπαν τὸ πλῆθος τῶν πεπιστευκότων τῇ διδαχῇ τοῦ μακαρίου Πέτρου· μόνον γὰρ τὸν ἀρραβῶνα ἐδιδώασιν, καὶ οἱ ἀπόστολοι ἐβάπτιζον τὰ πλήθη. οὗτος οὖν ὁ μακάριος Μαρκιανὸς πολὺ πλῆθος προσήνεγκε τῷ μακαρίῳ ἀποστόλῳ Πέτρῳ, οὓς καὶ πεισθέντας ἅπαντας κατηχήσας, ἐβάπτισεν. ἔλαβε δὲ μεθ' ἑαυτοῦ καὶ τὸν μακάριον Μαρκιανόν, καὶ διηρχόμεθα σὺν τῷ μακαρίῳ ἀποστόλῳ πάσας τὰς πόλεις καὶ κώμας. ἐκήρυσσεν δὲ Πέτρος τὸν Χριστόν, καὶ πάντας τοὺς πιστεύοντας ἐβαπτιζεν εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, πολλάς τε νόσους θεραπεύων ἦν ἐν ταῖς πόλεσιν καὶ κώμαις, πολλούς τε ὀχλουμένους ὑπὸ πνευμάτων ἀκαθάρτων ἰᾶτο, καὶ ἐπέστρεφον καὶ ἐπίστευον ἐπὶ τὸν κύριον ἡμῶν

X (6 ἀρραβῶνα - 8 προσήνεγκε mutil.) SCVO

12 - 13 cf. Mt. 28:19, etc. 13 - 14 cf. Act. 5:16

1 ὁ μακάριος κηρύσσων S : κηρύσσειν ὁ μακάριος ἀπόστολος Πέτρος XV, fort. recte ὁ ἀπόστολος κηρύσσειν C 3 ἐχόντων XSV : περιεχόντων εἷς C 3 ὑπάρχων post πόλεως tr. C 3-4 Μαρκιανὸς ὀνόματι XSV : ὀνόματι Μαρκιανὸς C 4 - 5 ὅστις - Πέτρον : ἀκοῦσας οὖν ὅτι κατέλαβεν τὰ ἐκεῖ ὁ μακάριος ἀπόστολος Πέτρος C 4 ἀκηκοὼς XC : ἀκηκοὸς S 5 παρακινήσας XSV : παρεκίνησεν C 6 ἐδιδώασιν S : [...]δόασιν X (mutil.) ἐδιδόασιν V ἐδίδασιν C 8 προσήνεγκεν CV : ἤνεγκε S 8 τῷ μακαρίῳ ἀποστόλῳ Πέτρῳ S : τῷ ἀποστόλῳ Πέτρῳ XV τῷ μακαρίῳ ἀποστόλῳ C 8 - 9 οὓς - ἐβάπτισεν : καὶ κατηχήσας πάντας ἐβάπτισεν αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος C 10 καὶ διηρχόμεθα XS : διερχόμεθα οὖν CV 10 post μακαρίῳ verbum Πέτρῳ hab. S 11 τὰς πόλεις καὶ κώμας X : τὰς κώμας καὶ πόλεις CV τὰς κώμας καὶ πόλας (sic) S 11 δὲ XSV : τε C 12 τὸ om. X 12 τοῦ (1,2) om. X 13 τοῦ om. X 13 θεραπεύων ἦν XSV : ἐθεράπευον C 13 τε (2) om. XCV 14 ὀχλουμένους SCV : ὄχλους X 15 ἰᾶτο XV : ἰάτω S ἰῶντο C

Ἰησοῦν Χριστόν. οὕτως δὲ ἐπίστευον, ὥστε καὶ ἐπὶ κραβάτων ἐκφέρειν τοὺς ἀσθενεῖς εἰς τὰς πλατείας καὶ τιθέναι, ἵνα κἂν ἡ σκιὰ Πέτρου διερχομένου ἐπισκιάσῃ αὐτούς, οἵτινες ἅπαντες ἐθεραπεύοντο ἐκ ποικίλων νοσημάτων. τούτων οὕτως ἐπιτελουμένων τῶν πολλοστῶν θαυμάτων διὰ τοῦ κύριου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τοῦ μακαρίου ἀποστόλου Πέτρου, ἐπληθύνετο ἡ πίστις καὶ ηὔξανεν ἐν εἰρήνῃ, καὶ ἡ ἀλήθεια προέκοπτεν καὶ ἐξῆλθεν εἰς πᾶσαν τὴν γῆν ὁ φθόγγος αὐτῶν καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. ὁ οὖν μακάριος Παῦλος ὁ ἀπόστολος ἦν καὶ αὐτὸς διδάσκων, καὶ ἀκούσας τὸν ἀπόστολον Πέτρον ἥκειν ἐν τοῖς μέρεσι Κιλικίας, ἦλθε καὶ ἀνέστη κατὰ πρόσωπον Πέτρου καὶ τῶν λοιπῶν ἀποστόλων ἐκ τοῦ χοροῦ τῶν δώδεκα, καὶ φησὶν πρὸς αὐτούς, "ἕως πότε οὐ χειροτονεῖτε ἐπισκόπους ἐκ τῶν μαθητῶν τῶν ἀκολουθούντων ὑμῖν καὶ ἐκπέμπετε εἰς τὰ ἑσπέρια μέρη, ἀλλὰ πάντας μεθ' ὑμῶν ἔχετε;" καὶ ἤρεσεν ὁ λόγος Παύλου πρὸς τοὺς ἀποστόλους, καὶ ἐπιλεξάμενοι ἑαυτοῖς

X (8 *οἰκουμένης* - 10 *ἐν τοῖς* mutil.) S (3 *-μένου* - 6 *ἀποστόλου*, 11 *ἀποστόλων* - 14 *ἑσπέρια* mutil.) CVO

1 - 3 Act. 5:15 7 - 8 cf. Ps. 18:4, cf. Rom. 10:18

1 *καὶ* om. C 2 *κἂν* om. S 3 *ἐπισκιάσῃ* V : *ἐπισκιάσει* X *ἐπισκιάσει*, corr. *-σῃ* C 3 *αὐτούς* XV : *ἐπ' αὐτοὺς* C 3 *οἵτινες ἅπαντες* XV : *καὶ πάντες* C 4 post *τούτων* verbum *οὖν* hab. C 5 post *καὶ* verba *τῆς ἐπιθέσεως τῶν χειρῶν* hab. C 6 *Πέτρου* om. C 7 *εἰς πᾶσαν τὴν γῆν* post *αὐτῶν* tr. S 9 *διδάσκων* C : *διδάσκαλος* SV *διδάσ*[...] X (mutil.) 9 - 10 *τὸν ἀπόστολον* om. XCV 10 *ἥκειν* XV : *εἶκην* S *εἶναι* C 11 post *ἀποστόλων* verbum *τοῖς* hab. X 12 *φησὶν πρὸς αὐτούς* SV : *πρὸς αὐτοὺς ἔλεγεν* C 13 *ἀκολουθούντων* SV : *κολλωμένων* C 13 *ὑμῖν* SC : *ἡμῖν* XV

ἄνδρας, οὓς τὸ πνεῦμα τὸ ἅγιον ἀνέδειξεν αὐτοῖς, ἀπέστειλαν κατὰ τὰ μέρη Ἰταλίας καὶ Ἀφρικῆς, παραδεδωκότες αὐτοῖς ἅπασαν ἐκκλησιαστικὴν κατάστασιν. εἶπεν δὲ ὁ μακάριος Πέτρος Μαρκιανῷ καὶ Παγκρατίῳ, "τεκνία μου ἐν Χριστῷ Ἰησοῦ, λάβετε καὶ ὑμεῖς τὸν κλῆρον τῆς ἐπισκοπῆς, καὶ τὴν διακονίαν ὑμῶν πληρώσαντες, μείζονα τὸν μισθὸν κομίσεσθε. ἐξέλθετε καὶ ὑμεῖς ἐπὶ τὰ ἑσπέρια μέρη· ἰδοὺ γὰρ καὶ Κρίσκης εἰς Γαλλίαν ἀπῆλθεν, μαθητὴς ὑπάρχων Παύλου, καὶ οἱ λοιποὶ ἐπὶ τὰ μέρη ἐκεῖνα, καὶ ἐγὼ πρὸς ὑμᾶς καυχήσομαι, τεκνία μου, ὡς καὶ Παῦλος καὶ οἱ λοιποὶ ἐν τοῖς ἑαυτῶν λογάσιν." ὁ οὖν μακάριος Παγκράτιος καὶ ὁ ἁγιώτατος Μαρκιανὸς ἀπεκρίναντο ῥήματα ὑπακοῆς καὶ προσκαλεσάμενος ὁ ἀπόστολος Πέτρος τὴν ἐκκλησίαν σὺν τῷ πρεσβυτερίῳ καὶ Παύλῳ τῷ τρισκαιδεκάτῳ ἀποστόλῳ καὶ τῶν λοιπῶν πάντων, ἔδωκεν αὐτοῖς τὸν κλῆρον τῆς ἐπισκοπῆς καὶ παραδοὺς αὐτοῖς ἅπασαν ἐκκλησιαστικὴν κατάστασιν, ἀπέλυσεν αὐτοὺς ἐπευξάμενος αὐτοῖς. κατ' οἰκονομίαν δὲ θεοῦ

X (12 *ἐκκλησίαν* - 14 *ἐκκλησιαστικὴν* mutil.) S (7 *καὶ* (2) - 8 *ἐγὼ* mutil.) CVO

1 *ἀπέστειλαν* om. C 1 post *ἀπέστειλαν* verbum *τὰ* hab. V 1 *τὰ* om. X 3 - 4 *Μαρκιανῷ καὶ Παγκρατίῳ* XSV : *πρὸς Μαρκιανὸν καὶ Παγκράτιον* C 5 *πληρώσαντες* SCV : *πληροφορήσαντες* X 6 *κομίσεσθε* nos : *κομίσησθαι* X *κομίσεισθαι* S *κομίζεσθαι* C *κομίσησθε* V 6 *ἐξέλθετε* XSC : *-ατε* V 6 post *ἐξέλθετε* verbum *οὖν* hab. V 7 *Κρίσκης* V : *Κρίσκις* XSC 7 *Γαλλίαν* XSV : *Γαλατίαν* C 7 post *ὑπάρχων* verba *καὶ αὐτὸς* hab. C 8 *ἐκεῖνα* C : *ἐπέκεινα* XV 8 *καυχήσομαι* XV : *-σωμαι* SC 9 *ἑαυτῶν* XSV : *αὐτῶν* C 13 - 14 *τὸν κλῆρον - αὐτοῖς* om. C 14 *ἅπασαν* CV : *καὶ* S 15 *ἀπέλυσεν - αὐτοῖς* : *καὶ εὐξάμενος ἀπέλυσεν αὐτούς* C

ἐξελθόντες ἐπὶ τὴν πύλην τὴν παρὰ θάλασσαν, εὕρομεν δύο πλοῖα τὰς πραγματείας αὐτῶν ἐπιτελέσαντα, ἑτοίμως ἔχοντα τοῦ ἀποπλεῖν, καὶ προσκαλεσάμενοι τοὺς ναυκλήρους, ὅ τε μακάριος Μαρκιανὸς καὶ Παγκράτιος ἐπυνθάνοντο παρ' αὐτῶν, "πόθεν ἐστέ, ἀδελφοί;" οἱ δὲ φησίν, "τῆς Σικελῶν νήσου τῶν μεγάλων πόλεων." οἱ δὲ μακάριοι φησίν, "ποίων τούτων, ἀδελφοί;" οἱ δὲ ναύκληροι φησίν, "τῆς Ταυρομενίας καὶ Συρακουσῶν." οἱ δὲ πάλιν ἀντεπερώτησαν αὐτούς, "καὶ ποῦ τὸν πλοῦν ὑμῶν, ἀδελφοί, ποιῆσαι βούλεσθε;" οἱ δὲ πάλιν ἀπεκρίναντο, "εἰ αἴσιος ὁ πλοῦς ἡμῶν γένηται, βουλόμεθα, ἕτοιμοι ὄντες, τὰς ἰδίας πόλεις καταλαβεῖν." μηδὲν οὖν ἕτερον εἰπόντες ὅ τε Μαρκιανὸς καὶ Παγκράτιος, ὑπέστρεψαν ὅπου ἦσαν οἱ ἀπόστολοι καὶ ἀνήγγειλαν αὐτοῖς, ὅτι, "εὕραμεν δύο πλοιάρια τῆς Σικελῶν νήσου. ἔσεσθε οὖν μεθ' ἡμῶν τοῦ εὐλογῆσαι ἡμᾶς καὶ ἀπελθεῖν εἰς τὸ ἀποπλεῖν." ἀναστὰς οὖν Πέτρος, συμπαραλαβὼν καὶ Παῦλον καὶ τοὺς λοιποὺς ἅπαντας, ἦλθον ὅπου ἦσαν τὰ πλοιάρια. ἰδόντες οὖν οἱ ἐν τοῖς

X (12 *ἀνήγγειλαν* - 14 *οὖν* mutil.) S (3 *προσκαλεσάμενοι* - *ναυκλήρους* mutil.) CVO

1 *τὴν παρὰ θάλασσαν* om. C 1 *εὕρομεν* X : *εὕρωμεν* S *εὗρον* CV 2 *ἐπιτελέσαντα* XCV : *ἐκτελέσαντες* S 2 *ἔχοντα* XC : *ἔχωντα* S *εἶχον* V 2 *ἀποπλεῖν* XS : *ἀποπλέειν* CV 3 *τε* om. C 3 *μακάριος* om. V 4 post *αὐτῶν* verba *ὅθεν ἤρξατο ἐπέρωσαν αὐτούς* hab. S 6 *ποίων τούτων* post *ἀδελφοί* tr. X 6 - 7 *τῆς Ταυρομενίας καὶ Συρακουσῶν* C : *τῆς Ταυρομενείας καὶ Συρακούσεων* X *τῆς Ταυρομενίας καὶ Συρακούσεων* V *τῆς Ταυρομενητῶν καὶ Συρακουσέας* S 7 *ἀντεπερώτησαν* XSV : *ἐπερώτησαν* C 7 post *αὐτούς* verbum *ἀδελφοί* hab. C 8 *ὑμῶν* om. C 8 *ποιῆσαι* post *βούλεσθε* tr. C 8 - 9 *οἱ δὲ πάλιν ἀπεκρίναντο* XCV : *καὶ οὗτοι πρὸς αὐτὸν* S 9 *γένηται* XV : *γένητε* S *γίνεται* C 9 *ὁ πλοῦς ἡμῶν* XS : *ὁ ἡμῖν πλοῦς* C *ὁ πλοῦς ὑμῶν* V 10 - 11 *ἕτερον εἰπόντες ὅ τε Μαρκιανὸς καὶ Παγκράτιος* nos (cf. infr. 58.5) : *Μαρκιανὸς καὶ Παγκράτιος* XV *εἰπόντες ὅ τε Μαρκιανὸς καὶ Παγκράτιος* S *ἕτερον Μαρκιανὸς καὶ Παγκράτιος εἰπόντες* C, fort. recte 11 *ὅπου* om. V 12 *εὕραμεν* nos : *ηὕραμεν* CV *εὕρωμεν* S 13 *ἔσεσθε* V : *ἔσεσθαι* SC 13 *ἀπελθεῖν* SV : *ἀνελθεῖν* C 15 *ἦλθον* XSC : *ἦλθεν* V

πλοίοις τοὺς ἁγίους ἀποστόλους τὴν θείαν δόξαν περιβεβλημένους, προσελθόντες προσέπεσον τοῖς ποσὶν αὐτῶν λέγοντες, "ἀπόστολοι τοῦ Χριστοῦ καὶ μαθηταὶ τοῦ σωτῆρος, τί πρὸς ἡμᾶς ἐλαλήθατε; ἀναξίων ἡμῶν ὄντων, ἡμεῖς πρὸς ὑμᾶς ὀφείλομεν παρεῖναι, καὶ ὑμεῖς πρὸς ἡμᾶς παρεγένεσθε·" ἦν γὰρ ἡ χάρις τοῦ ἁγίου πνεύματος ἐπεισελθοῦσα αὐτοῖς τῇ παρουσίᾳ τῶν ἁγίων ἀποστόλων. ὑπεδέξαντο οὖν εἰς τὰ πλοῖα τοὺς ἁγίους ἀποστόλους. οἱ δὲ ἅγιοι ἀπόστολοι κατηχήσαντες, ἐβάπτισαν αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. ὁ δὲ μακάριος ἀπόστολος Πέτρος τὴν μὲν προσωνυμίαν τοῦ ἑνὸς ναυκλήρου ὠνόμασεν Ἐπιφάνιον· ἦν γὰρ φωνούμενος Λυκαονίδης. τὸν ἕτερον φωνούμενον Ῥώμυλλον, ὠνόμασεν Θεόδουλον. ἦν δὲ ὁ ἀριθμὸς τῶν βαπτισθέντων ἐν τοῖς πλοίοις ἄνδρες ὡσει διακόσιοι. ἔχαιρον οὖν Μαρκιανὸς καὶ Παγκράτιος ἐπὶ τοῖς τοιούτοις συνοδοιπόροις καὶ ηὐχαρίστουν τῷ θεῷ τῷ ποιήσαντι [τρόπον τοιοῦτον χρηστόν], ἵνα Χριστιανοῖς ἀνδράσιν ὑπὸ τῶν ἁγίων

X (7 *ἀποστόλους* - 8 *ὄνομα* mutil.) S (1 *πλοίοις* - 6 *παρουσίᾳ*, 12 *πλοίοις* - 22.2 *κατηχούμενους* mutil.) CVO

2 *προσέπεσον* CV : *προσέπεσαν* X 2 ante *λέγοντες* verba *καὶ ἔκραξαν* hab. C 4 *ὑμεῖς* CV : *ὑμᾶς* X 5 *παρεγένεσθε* nos : *παρεγένεσθαι* XV *παρεγίνεσθαι* C 5 *ἐπεισελθοῦσα* XV : *ἐνεισελθοῦσα* C 6 - 7 *ὑπεδέξαντο οὖν εἰς τὰ πλοῖα τοὺς ἁγίους ἀποστόλους* X (mutil.) V : *ὑπεδέξαντο οἱ ναύκληροι τοὺς ἁγίους ἀποστόλους εἰς τὰ πλοιάρια αὐτῶν* S *ὑπεδέξαντο οὖν εἰς τὰ πλοιάρια τοὺς ἁγίους ἀποστόλους* C 7 *οἱ δὲ ἅγιοι ἀπόστολοι* om. V 7 *δὲ* C : *οὖν* XS 8 *αὐτοὺς* post *κατηχήσαντες* tr. C 8 *τὸ* om. V 8 *τοῦ* (1,2,3) om. V 9 *τὴν μὲν προσωνυμίαν* XSC : *τῇ μὲν προσωνυμία* V 10 *ἑνὸς* XSV : *ἐμοῦ* C 10 *ὠνόμασεν* CV : *ὀνόμασεν* XS 11 *Λυκαονίδης* V : *Λυκαονίδης* XSC 11 *Ῥώμυλλον* V : *Ῥώμηλλον* X : *Ῥόμυλλον* SC 11 *ὠνόμασεν* nos : *ὀνόμασεν* XSV *ἐκάλεσεν* C

15 *τρόπον τοιοῦτον χρηστόν* XSCV, fort. delendandum 15 *Χριστιανοῖς* X : *χρηστοῖς* CV

ἀποστόλων πεφωτισμένοις συνοδοιπορήσωσιν. μετὰ οὖν τὸ λαβεῖν τοὺς κατηχουμένους τὸ ἅγιον βάπτισμα, ἤρξατο Πέτρος διδάσκειν αὐτοὺς καὶ λέγειν ὅτιπερ, "τεκνία μου ἀγαπητά, οὐκ ἔνι ἄλλως σωθῆναι τὸ τῶν ἀνθρώπων γένος, εἰ μὴ διὰ τῆς ἀναγεννήσεως ταύτης τῆς δι' ὕδατος καὶ πνεύματος· καὶ γὰρ καὶ αἱ μαντείαι καὶ ὀνειράτων λύσεις καὶ οἰωνίσματα μέχρι τούτου ἔσχον τὸ πέρας, καὶ αἱ τῶν Ἰουδαίων μιαραὶ συντυχίαι σεσιγήκασι τῇ τοῦ θεοῦ λόγου ἐνανθρωπήσει· ἀνεφύει γὰρ καὶ ἐξήνθησεν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὁ τοῦ θεοῦ πατρὸς υἱός, οὐ τροπῇ οὐδὲ φαντασίᾳ τὴν πρὸς ἡμᾶς συγκατάβασιν πεποιηκὼς, ἀλλὰ θεὸς ὑπάρχων, ἐπὶ γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη, οὐ χωρισθεὶς τῶν πατρικῶν κόλπων, καὶ ἄνω θεὸς καὶ κάτω θεὸς, καὶ τὴν ἡμετέραν σάρκα εἴληφεν, ὡς τέλειος θεὸς καὶ ὡς τέλειος ἄνθρωπος, οὗ τὴν σάρκα μετελάβομεν, καὶ μεταλαβόντες, ἔχομεν ζωὴν αἰώνιον. τούτου ἡ μελέτη γινέσθω ἐν ταῖς ὑμετέραις καρδίαις ἡμέρας καὶ νυκτός, τὰς δὲ ἀτάκτους φωνὰς

X (6 *τούτου* - 9 *φαντασίᾳ* mutil.) S (usque ad 2 *κατηχουμένους* mutil.) CVO

2 *διδασκεῖν* XCV : *διδάσκων* S 3 *λέγειν* XCV : *λέγων* S 3 *ὅτιπερ* XCV : *ὅτι* S 5 *μαντείαι* V : *μαντίαι* XSC 6 *ἔσχον* SV : *ἔσχεν* C 9 *πατρὸς* SC : *καὶ πατρὸς* V, om. X 9 *τροπῇ* S : *τροπὴν* CV 9 *φαντασίᾳ* S : *φαντασίαν* CV 10 ante *γῆς* verbum *τῆς* hab. CV 12 ante *καὶ* (1) verbum *ἀλλὰ* hab. C 13 *μετελάβομεν* XV : *-ωμεν* SC 14 *ἔχομεν* V : *-ωμεν* XSC 14 *ζωὴν αἰώνιον* SV : *ζωὴν τὴν αἰώνιον* XC 14 *γινέσθω* XSC : *γενέσθω* V 15 *ὑμετέραις* SV : *ἡμετέραις* XC

Ἰουδαίων τε τῶν ἀσεβῶν καὶ τῶν μιαρῶν καὶ ἀκαθάρτων Μοντανῶν καὶ τὰ μυθικὰ Ἑλλήνων παίδων ἀποστρέφεσθε, καὶ μόνῃ τῇ ἀμωμήτῃ πίστει προσέχετε, ὑγιαίνοντες τῇ πίστει, τῇ ἐλπίδι, τῇ ἀγάπῃ τῇ ἐν Χριστῷ Ἰησοῦ. ὁ θεὸς φυλάξει ὑμᾶς ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν. θέλομεν δέ, τεκνία μου, ἐκ τῶν ἡμετέρων ἀδελφῶν συνεκπέμψαι ὑμῖν τοῦ ὑπομιμνήσκειν ὑμᾶς τὸν λόγον τοῦ θεοῦ καὶ ἀναζωπυρεῖν τὸ χάρισμα τὸ ἐν ὑμῖν τῆς πίστεως." οἱ δὲ ναύκληροι σὺν πᾶσι τοῖς ναυτικοῖς αὐτῶν προσηύξαντο ἐνώπιον τῶν ἁγίων ἀποστόλων, πάντες ὡς ἐξ ἑνὸς στόματος μετὰ δακρύων λέγοντες, "δόξα σοι, Χριστὲ ὁ θεὸς ἡμῶν, λόγε τοῦ πατρός, συναΐδιε καὶ ὁμόθεε, σύνθρονε καὶ ὁμοούσιε· σοὶ γὰρ παρατιθέμεθα τὰς ἑαυτῶν ψυχάς, σοὶ ἐμπιστεύομεν τὴν ἡμῶν ζωήν, μόνε εὐεργέτα, σὲ ἐπιστάμεθα θεὸν ἰσχυρόν· ἦλθες γὰρ ἁμαρτωλοὺς σῶσαι," καὶ πληρωσάντων τὴν εὐχήν, ἔστη ὁ μακάριος Πέτρος καὶ εἰρήνευσε τὸ πλῆθος λέγων, "ὁ κύριος μεθ' ὑμῶν, ἀδελφοί," καὶ εὐξαμένων καὶ ἡμῶν, ἐκέλευσε καθεσθῆναι πάντας. οἱ

X (9 *δόξα* - 11 *ἐμπιστεύομεν* mutil.) S~~(3 *καὶ ἡμεῖς* - 24.8 *ὑμᾶς* mutil.)~~ CVO

1 *Ἰουδαίων* XSV : *τῶν Ἰουδαίων* C 1 *τε* XSV : *καὶ* C 1 verba *μιαρῶν* et *ἀκαθάρτων* tr. C 1 *Μοντανῶν* XCV : *Μουντανῶν* S 2 *ἀποστρέφεσθε* nos : *ἀποστρέφεσθαι* XSV *στρέφεσθαι* C 2 *καὶ* (1) om. CV 2 *ἀμωμήτῃ* S : *ἀμωμήτῳ* XCV 3 *προσέχετε* CV : *προσέχεται* X *προσέρχεται* S 3 verba *πίστει* (2) et *ἀγάπῃ* tr. C 4 *ὁ θεὸς φυλάξει ὑμᾶς ἐν Χριστῷ Ἰησοῦ* om. C 5 *θέλομεν* S : *-ωμεν* XCV 5 *ὑμῖν* XSV : *μεθ' ὑμῶν* C 8 - 9 *πάντες - λέγοντες* XSV : *ἅπαντες μετὰ δακρύων* C 10 *καὶ ὁμόθεε, σύνθρονε* CV : *καὶ* [...]*θρον* [.] X, om. S 11 *σοὶ γὰρ* om. V 11 *παρατιθέμεθα* S : [.]*νατηθέμε*[..] X *ἀνατιθέμεθα* C *συνπαρατιθέμεθα* V 11 *ἐμπιστεύομεν* V : *ἐμπιστεύωμεν* S *πιστεύομεν* C 11 - 12 *τὴν ἡμῶν ζωὴν* XSV : *τὴν ζωὴν ἡμῶν* C 12 *μόνε* om. C 12 post *εὐεργέτα* verba *τῆς ἡμῶν σωτηρίας* C 13 *πληρωσάντων* XS : *πληρώσαντες* CV 15 *ἀδελφοί* om. C 15 *εὐξαμένων καὶ ἡμῶν* om. C 15 *καθεσθῆναι* XSV : *καθῖσαι* C

οὖν ἄνδρες προσελθόντες τοῖς ποσὶν τῶν ἀποστόλων, ἔλεγον, "ἀπόστολοι καὶ μαθηταὶ τοῦ κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ, παραλάβωμεν καὶ ἡμεῖς τοὺς διδασκάλους ἡμῶν καὶ ἐκπορευσώμεθα, ἔχοντες τὰς εὐχὰς ὑμῶν." ὁ δὲ μακάριος ἀπόστολος Πέτρος ἀπεκρίνατο πρὸς αὐτούς, "τεκνία μου, ποιήσωμεν ἀγάπην ἐν κυρίῳ, καὶ διέλθωσιν αἱ ἡμέραι τῆς ἀπολουσίμου, ἤγουν ἡ ὀγδόη, καὶ παραλαμβάνετε αὐτοὺς καὶ πορεύεσθε, ἔχοντες Ἰησοῦν Χριστὸν φρουροῦντα ὑμᾶς." οἱ δὲ ὡς ἐξ ἑνὸς στόματος ἀποκριθέντες εἶπον, "ὡς βούλῃ τὰ καθ' ἡμᾶς ποιῆσαι, ποίησον, ἀπόστολε Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ· ἡμεῖς γὰρ ἑτοίμως ἔχομεν τὴν ὑπακοὴν ἐκπληροῦν· ὑπακοῆς γὰρ τέκνα κέκληκεν ἡμᾶς ὁ κύριος," καὶ εἶπεν Παῦλος τῷ Πέτρῳ, "ἐπ' ἀληθείας, ὅτι εἰς τὰ ἔθνη ἡ εὐλογία τοῦ Χριστοῦ ἦλθεν," καὶ ταλανίζων τὸ ἀχάριστον γένος τῶν Ἰουδαίων, ἔλεγεν, "τί ἀπώσω τὴν σωτηρίαν σοῦ ἀπὸ σοῦ μακράν, οἶκος Ἰσραήλ; τί ἐγκατέλιπες θεὸν τὸν γεννήσαντα σε; ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καὶ θεὸς ὑπάρχων,

3 καὶ ἡμεῖς -

X (11 ὑπακοῆς - 12 ὅτι mutil.) S (usque ad 8 ὑμᾶς mutil.) CVO

12 cf. Gal. 3:14

3 παραλάβωμεν XV : -ομεν SC 3 ἐκπορευσόμεθα X : ἐκπορήσωμεν C : ἐκπορευσώμεθα V 4 εὐχὰς XC : ψυχὰς V 4 ὑμῶν XC : ἡμῶν V 6 διέλθωσιν XV : -ουσιν C 7 Ἰησοῦν om. C 8 φρουροῦντα XV : ἐμφρουροῦντα C 9 τὰ XSC : τὸ V 9 ποιῆσαι om. C 10 - 11 Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ XS : καὶ μαθητὰ τοῦ σωτηρὸς C ἀπόστολε τοῦ Χριστοῦ V 10 ἡμεῖς - ἔχομεν : ἑτοίμως ἔχωμεν καὶ ἡμεῖς C 10 ἔχομεν S : -ωμεν XCV 10 ἐκπληροῦν : ἐκπληροῖν SV [...]ηρεῖν X πληρῶσαι C 11 - 12 καὶ εἶπεν Παῦλος τῷ Πέτρῳ C : ὁ δὲ ὄχλος ἔλεγεν SV [...]ς ἔλεγεν X 12 ἡ om. C 13 ταλανίζων XSC : λανίζον V 14 τὴν σωτηρίαν σου ἀπὸ σοῦ X : τὴν σωτηρίαν σου SC τὴν σωτηρίαν ἀπὸ σοῦ V 15 ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς C : ὁ Χριστὸς Ἰησοῦς X (κύριος suppl. X[I] supr. lin.) ὁ κύριος Ἰησοῦς Χριστὸς S ὁ Χριστὸς Ἰησοῦς καὶ κύριος V

ἦλθεν σάρκα φορέσας λυτρώσασθαί σε καὶ ἀναγεννῆσαι, καὶ οὐκ ἠνέσχου, τὴν σωτηρίαν σου εὑράμενος, δέξασθαι." ὁ δὲ μακάριος Πέτρος λέγει πρὸς αὐτόν, "τί στηλιτεύεις αὐτούς; ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς διὰ τοῦ ἀχράντου καὶ ἁγίου αὐτοῦ στόματος πολλοῖς λόγοις ἐχρήσατο πρὸς αὐτούς, πολλὰς νόσους ἐθεράπευσε, πολλὰ σημεῖα ἐποίησεν ἐνώπιον αὐτῶν, καὶ πάντα παραρρυέντες, ὡς ἀνθρώπῳ μόνῳ προσέχοντες, καὶ εἰς λήθην βαλόντες τῶν προφητῶν τὰ κηρύγματα, ἐξοστρακίσαντες καὶ ὑπὲρ τὴν σωτηρίαν αὐτῶν, προετιμήσαντο τὸ βούκρανον, ὃ καὶ ἐμοσχοποίησαν ἄχρι τῆς ἡμέρας ταύτης, ἔχοντες τὸ αὐτὸ κάλυμμα ἐπὶ τὰς καρδίας αὐτῶν, καὶ τυφλοὶ τῇ διανοίᾳ ὑπάρχοντες, θεοποιοῦντες τὸν μόσχον τὸν χωνευτόν, προσκυνοῦσιν αὐτῷ, οὐ μόνον τούτῳ, ἀλλὰ καὶ τοῖς λοιποῖς εἰδώλοις, ἃ καὶ δυσωποῦσιν παρασχεθῆναι αὐτοῖς τὴν ῥίζαν πάντων τῶν κακῶν, τὴν φιλαργυρίαν, οἳ καὶ ἀόκνως χαρίζονται αὐτοῖς αὐτήν, σὺν αὐτῇ δὲ καὶ λαγνείαν σὺν πάσῃ ἀκαθαρσίᾳ· ἐτρύφησαν γὰρ τὰς τῶν δαιμόνων

X (7 *βαλόντες* - 9 *ἐμοσχοποίησαν* mutil.) S (1 *ἀναγεννῆσαι* - 8 *σωτηρίαν* mutil.) CVO

7 - 8 cf. Act. 7:41 9 cf. 2 Cor. 15 10 cf. 2 Cor. 3:13

2 *ἠνέσχου* XV : *ἀνέσχου* C 4 ante *ἁγίου* verbum *τοῦ* hab. C ~~4 ante *ἁγίου* verbum *τοῦ* hab. C~~ 8 *καὶ* om. V 10 *τὸ αὐτὸ* SV : *τῷ αὐτῷ* X : *τὸ* C 11 *τὸν χωνευτόν* XCV : *τῶν χονευτῶν* S 12 *προσκυνοῦσιν* XCV : *προσκυνοῦντες* S 12 *αὐτῷ* XV : *αὐτόν* SC 12 *τούτῳ* XV : *τοῦτο* SC 14 *οἳ* XSC : *ὃ* V 14 *αὐτῇ* XSV : *αὐτοῖς* C 15 *λαγνείαν* S : *λαγνεία* XCV

θυσίας, καὶ ἐσβέσθη ἡ ἀσύνετος αὐτῶν διάνοια, καὶ ἀντιβάλλουσι φάσκοντες περὶ μοναρχίας, καὶ οὐδὲ ταύτην σέβονται, οὐδὲ τοῖς ἡμετέροις λόγοις τοῖς ἀληθινοῖς περὶ τῆς ἀμωμήτου πίστεως πείθονται, καὶ ἀπὸ τῶν ἀμφοτέρων στερήσαντες τοὺς ἑαυτῶν υἱοὺς καὶ θυγατέρας παρέδωκαν τοῖς ἀκαθάρτοις δαίμοσιν." ταῦτα οὖν τοῦ μακαρίου Πέτρου εἰπόντος, ἀπέλυσεν τὴν ἐκκλησίαν, καὶ τῇ ἕωθεν συνῆλθεν πλῆθος ἀσθενούντων ἐκ τῶν πέριξ πόλεων. οἱ οὖν ἀπόστολοι ἰδόντες τὸ πλῆθος τῶν συνελθόντων τοῦ ἀσθενοῦντος λαοῦ, λέγουσι τοῖς ὑπηρέταις, "ἀπέλθατε καὶ ἀγάγετε τοὺς ναυκλήρους σὺν τοῖς ναυτικοῖς αὐτῶν, ἵνα ἴδωσι τὸ θεοθεράπευτον ἰατρεῖον, καὶ τὴν χάριν τὴν δοθεῖσαν ἡμῖν διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ." οἱ δὲ πορευθέντες προσεκαλέσαντο ἅπαντας, οἵτινες ἐλθόντες ἔστησαν ἐν ἐπισήμῳ τόπῳ, ὁρῶντες τὰ πραττόμενα διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τῶν χειρῶν τῶν ἁγίων ἀποστόλων. ὁ οὖν Πέτρος, ὁ τὸ ὅλον κεκτημένος, τοῖς ὑπηρέταις ἐκέλευσεν ἀποχωρῆσαι τοὺς

X (8 *τῶν συνελθόντων* - 10 *θεοθεράπευτον* mutil.) SCVO

1 *ἀντιβάλλουσιν* SCV : *ἀμφιβάλλουσι* X 2 *φασκόντες* XSV : *φησὶν* C 3 *περὶ τῆς ἀμωμήτου πίστεως* om. S 4 *τοὺς ἑαυτῶν υἱοὺς* XSV : *τοὺς υἱοὺς αὐτῶν* C 5 ante *θυγατέρας* verbum *τὰς* hab. C 6 *Πέτρου* om. V 6 *ἀπέλυσεν - τῇ ἕωθεν* om. C 6 post *ἐκκλησίαν* verba *φησὶν τὸν λαὸν* hab. V 7 ante *ἀσθενούντων* verbum *τῶν* hab. S 8 *τῶν συνελθόντων* SV : *τὸ συνελθόντα* C 9 *σὺν* SC : *καὶ* V 9 - 10 *τοῖς ναυτικοῖς* SV : *τῶν ναυτικῶν* C 10 *θεοθεράπευτον* SV : *θεράπευτον* C 11 *ἡμῖν* om. CV 11 *δὲ* SV : *οὖν* C 12 *πορευθέντες* SV : *ὑπηρέται ἀπελθώντες* C 12 *ἅπαντας, οἵτινες* XSV : *τοὺς ναυκλήρους σὺν τῶν ναυτικῶν αὐτῶν καὶ* C 13 *ὁρῶντες* XSV : *καὶ ὁρῶσαν* C 14 *καὶ* XCV : *διὰ* S 14 *τῶν* (1) om. C 15 *ἀποχωρῆσαι* XCV : *ἀποχωρίσαι* S

δαιμονιῶντας ἐκ τῶν διαφόροις νόσοις κατεχομένων· ἦσαν γὰρ οἱ ἀσθενοῦντες παντοδαπὰς νόσους ἔχοντες. καὶ προσελθὼν ὁ Πέτρος τοῖς ἀσθενέσι, πάντας ἁφῇ χειρὸς ἐθεράπευσεν ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν· χωλοῖς <τὸ> περιπατεῖν ἐχαρίζετο, τυφλοῖς τὸ βλέπειν, κωφοῖς τὸ ἀκούειν, παραλύτους ἐστερέου, ξηροὺς ἀνώρθου, λεπροὺς ἐκαθάριζεν, τοῖς δὲ δαιμονιῶσιν προσελθὼν φησίν, "λύσατε αὐτούς." ἦσαν γὰρ ποσὶν καὶ χερσὶν ὀπισθίως δεδεμένοι διὰ τὸ μὴ κατεσθίειν τὰ ἑαυτῶν μέλη. ὁ δὲ μακάριος Πέτρος κλίνας τὰ γόνατα καὶ προσευξάμενος σὺν τῷ μακαρίῳ Παύλῳ, προσῆλθεν καὶ τοῖς τὰ ἀκάθαρτα πνεύματα ἔχουσι, καὶ κράξας φωνῇ ἰσχυρᾷ τοῖς πνεύμασιν, ἔλεγεν, "ὁρκίζω ὑμᾶς, πνεύματα ἀκάθαρτα, κατὰ τοῦ ὀνόματος τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, ἐξέλθετε ἀπὸ τῶν πλασμάτων τούτων καὶ μηκέτι εἰσέλθετε ἐν αὐτοῖς." οἱ οὖν ἀκάθαρτοι δαίμονες, ἀκούσαντες τῆς φωνῆς τοῦ Πέτρου, σπαράξαντες τοὺς ἀνθρώπους, ἐξῆλθον ἀπ'

X (13 *τῶν πλασμάτων* - 15 *τοὺς ἀνθρώπους* mutil.) S (13 *ἁγίου* - 28.1 *ἐκαθαρίσθησαν* mutil.) CVO

4 - 7 cf. Mt. 11:5 4 - 6 cf. Luc. 7:22, etc. 15 cf. Mk. 1:26, 9:26

1 *ἐκ τῶν - κατεχομένων* : *καὶ τοὺς διαφόροις νόσοις κατεχομένους* S 1 *νόσοις* XSV : *νοσιμάτων* C 1 *γὰρ* XSV : *δὲ* C 3 *ἀσθενέσι* XSV : *ἀσθενοῦσιν* C 4 <*τὸ*> supplevi 5 *τὸ* (2) : *τοῦ* S 6 correxi : *ἐστέρεει* X, corr. *ἐστέρεοι* X[1] : *ἐστέριοι* C *ἐστερέοι* SV 6 *ἀνώρθου* XV : *ἀνόρθοι* S *διόρθοι* C 6 *ἐκαθάριζεν* XV : *ἐκαθέριζεν* SC 9 *μακάριος Πέτρος* XCV : *Πέτρος ὁ μακάριος* S 10 *καὶ* om. CV 11 *φωνῇ ἰσχυρᾷ* XSC : *φωνὴν ἰσχυρὰν* V 13 *ἐξέλθετε* nos : *ἐξέλθατε* XV *ἐξέλθεται* C 13 *ἀπὸ* V : *ἐκ* C cf. infr. *l.15* 15 *σπαράξαντες* CV : *ταράξ*[.....] X 15 *τοῦ* om. C

αὐτῶν, καὶ ἐκαθαρίσθησαν οἱ δαιμονιῶντες ἀπὸ τῶν ἀκαθάρτων πνευμάτων. οἱ δὲ ναύκληροι, ἰδόντες τὰ θαυμάσια, ἃ ἐποίησεν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς διὰ τῶν ἁγίων ἀποστόλων, ἐδόξαζον τὸν μόνον ἀληθινὸν θεὸν τὸν εὐδοκήσαντα ἑκουσίᾳ βουλήσει σῶσαι τὸ γένος τῶν ἀνθρώπων ἐκ τῆς πολυπλάνου εἰδώλων θρησκείας. προσκαλεσάμενος οὖν ὁ μακάριος Πέτρος τοὺς ναυκλήρους καὶ πάντας τοὺς ναυτικοὺς αὐτῶν, Μαρκιανόν τε καὶ Παγκράτιον, ὑμνήσας σὺν Παύλῳ καὶ τοῖς λοιποῖς ἀποστόλοις, μετέδωκεν ἅπασι τῶν ἀχράντων μυστηρίων, καὶ πληρώσας τὴν θείαν λειτουργίαν, ἐκέλευσε πᾶσιν ἀναπεσεῖν ἐπὶ τῆς τραπέζης καὶ μικρῶν βρωμάτων μεταλαβεῖν, καὶ κλάσας ἄρτον ἐπεδίδου αὐτοῖς κατὰ τὸν εἰθισμένον κανόνα, καὶ καθίσαντες εὐφραίνοντο. ὁ οὖν μακάριος ἀπόστολος Πέτρος, ἀρξάμενος ἀπὸ Ἀδάμ, τὴν Παλαιὰν Διαθήκην αὐτοῖς διελέγετο καὶ φησίν, "τεκνία μου ἀγαπητὰ ἐν κυρίῳ, ὁ ἀγαθὸς καὶ φιλάνθρωπος θεὸς ὁ πλάστης καὶ δημιουργὸς τῶν ἁπάντων ὁ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν τὰ

X (13 *φησίν* - 15 *παραγαγὼν* mutil.) S (usque ad 13 *ὁ ἀγαθὸς*. usque ad 1 *ἐκαθαρίσθησαν*, 10 *μικρῶν* - 12 *εὐφραίνοντο* mutil.) CVO

2 *θαυμάσια* XSV : *θαύματα* C 2 *ὁ* om. C 3 *ἡμῶν* om. XC 3 - 4 *μόνον ἀληθινὸν* om. S 5 *πολυπλάνου* XSC : *πολυπλάνους* V 6 *Πέτρος* om. C 6 - 8 *τοὺς ναυκλήρους* - *ἀποστόλοις* : *καὶ πάντας τοὺς ναυτικοὺς αὐτῶν. οἱ δὲ ναυτικοὶ ὕμνησαν Μαρκιανόν τε καὶ Παγκράτιον σὺν τῶν λυπῶν ἀποστόλων καὶ* C 7 ante *Παύλῳ* verbum *τῷ* hab. V 7 - 8 *καὶ τοῖς λοίποις ἀποστόλοις* V : *καὶ τῶν λοίπων ἀποστόλων* XS 8 *ἅπασι* SCV : *πάντων* X, corr. X^{I} in marg. *πάσι* 8 post *ἅπασι* verba *ὁ ἀπόστολος Πέτρος* hab. C 9 *λειτουργίαν* XV : *λειτουργείαν* C *μυσταγωγίαν* S 9 *πᾶσιν ἀναπεσεῖν* XSV : *ἀναπεσεῖν τοὺς πάντας* C 9 - 10 *ἐπὶ τῆς τραπέζης* - *μεταλαβεῖν* nos : *καὶ τράπεζων μικρῶν βρωμάτων ἐχουσῶν μεταλαβεῖν* X *ἐπὶ τῆς τραπέζης καὶ* [...] S *καὶ τραπέζων μικρῶν βρωμάτων ἐχουσῶν* C *καὶ τράπεζαν μικρῶν βρωμάτων ἐχουσῶν μεταλαβεῖν* V 12 *ἀπόστολος* om. C 13 post *φησίν* verbum *ὅτιπερ* hab. C 14 *ὁ ἀγαθὸς καὶ φιλάνθρωπος θεὸς* C : *ἀγαθὸς ὢν ὁ θεὸς καὶ φιλάνθρωπος* V 14 - 35.5 *ἀγαθὸς* - *εὐσεβοῦντας* om. S 15 *ὄντος* C : *ὄντως* XV

σύμπαντα, ἐν ἀρχῇ ἐποίησε τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ πάντα τὰ ἐν αὐτοῖς, τάς τε θαλάσσας καὶ τὰ ζῷα μικρά τε καὶ μεγάλα, κτήνη καὶ ἑρπετά, θηρία τε καὶ πετεινά· πάντα δὲ ταῦτα λόγῳ πήξας, συνεστήσατο, καὶ πάντα καλὰ λίαν ποιήσας, ἔπλασε καὶ τὸν ἄνθρωπον οἰκείαις χερσὶ κατ' εἰκόνα ἰδίαν καὶ ὁμοίωσιν. ὁ οὖν αὐτὸς ἀγαθὸς θεὸς ἐκ τῆς πλευρᾶς αὐτοῦ ἔλαβε μίαν καὶ ἐποίησε τὴν γυναῖκα βοηθὸν αὐτοῦ, καὶ φυτεύσας παράδεισον ἐν Ἐδὲμ κατὰ ἀνατολάς, ἔθετο αὐτοὺς ἐκεῖ φυλάσσειν καὶ ἐσθίειν καὶ ἐν αὐτῷ ἀφθόρους εἶναι, δεδωκὼς αὐτοῖς ἐντολὴν βρώσεως, ἐσθίειν μὲν ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ, ἑνὸς δὲ μόνου εἰρηκὼς αὐτοῖς μὴ φαγεῖν ἀπ' αὐτοῦ. ὁ οὖν διάβολος εἰδὼς τὴν ἐντολὴν τοῦ θεοῦ τὴν πρὸς τὸν Ἀδάμ, καὶ ὅτι ὑπὲρ πάντα τὰ ποιήματα τετίμηκε τὸν ἄνθρωπον καὶ κατ' εἰκόνα ἰδίαν ἐποίησεν αὐτόν, ἐπέδραμε τῷ πλάσματι τοῦ θεοῦ ἐν τῷ παραδείσῳ φθόνῳ φερόμενος, καὶ τὴν ἐντολὴν τοῦ θεοῦ τὴν πρὸς τὸν Ἀδὰμ ἐπανουργεύσατο παρακοῆς μέτοχον γενέσθαι, ὅθεν λαβόμενος διὰ τῆς

X (9 ξύλου - 11 ἐντολὴν mutil.) CVO

1 Gen. 1:1
3 - 4 cf. Gen. 1:31 4 - 5 cf. Gen 1:27 5 - 7 cf. Gen. 2:21 7 - 8 Gen. 2:8 9 - 10 Gen. 2:15 15 - 30.3 cf. Gen. 3

2 καὶ (1) om. V 2 τὰ (~~2~~) XV : πάντα C 3 λόγῳ om. V 3 πήξας V : ποιήσας X πίξας C 4 καὶ (1) om. V 5 θεὸς om. V 6 ἔλαβε μίαν CV : μίαν λαβὼν X 6 τὴν om. CV 7 αὐτοῦ C : αὐτὸν X κατ' αὐτῶν V 7 καὶ φυτεῦσας XV : φυτεύσας δὲ C 7 ante ἔθετο verbum καὶ hab. V 12 τετίμηκε XV : ἐτήμισεν C ~~15 ᾧ nos : ὃ XCV~~

γυναικὸς ἠπάτησε τὸν Ἀδάμ, καὶ γευσάμενος τοῦ ξύλου καὶ παρελθὼν τὴν ἐντολὴν τοῦ δημιουργοῦ τῶν ἁπάντων θεοῦ, ἐξόριστος τοῦ παραδείσου γέγονεν, ᾧ καὶ εἴρηκεν ὁ θεός, ἐν ἱδρῶτι τοῦ προσώπου αὐτοῦ ἐσθίειν τὸν ἄρτον αὐτοῦ, καὶ ἀκάνθας καὶ τριβόλους ἀνατέλλειν τὴν γῆν προσέταξεν, καὶ τὴν γυναῖκα αὐτοῦ ἐν λύπαις τίκτειν τέκνα, τὸν δὲ ὄφιν, φησίν, ἐπὶ τῷ στήθει καὶ τῇ κοιλίᾳ πορεύεσθαι, ὃ καὶ πεπλήρωται. οἰκήσας δὲ ὁ Ἀδὰμ ἀπέναντι τοῦ παραδείσου, ἔγνω τὴν γυναῖκα αὐτοῦ, καὶ συλλαβοῦσα ἔτεκε τὸν Κάϊν καὶ προσθήσασα ἔτεκε τὸν Ἄβελ, καὶ οὐδὲ ἐν τούτοις ἐπαύετο ὁ δόλιος τὰς κακοτέχνου αὐτοῦ ἐπινοίας ἐφαπλῶν· ἐγένετο γὰρ ὁ Κάϊν ἐργάτης γῆς, ὁ δὲ Ἄβελ ποιμὴν προβάτων. ὅτε οὖν τὰς ἀπαρχὰς ἦκεν ὁ καιρὸς προσενεγκεῖν κυρίῳ, Κάϊν πρῶτος τῶν ἀπαρχῶν τοῦ θεοῦ ἐγεύσατο, καὶ οὕτως κυρίῳ προσενεγκεῖν ἠθέλησε καὶ προσενέγκας τὴν ἀπαρχὴν αὐτοῦ, ἔμεινεν ἀπρόσδεκτος. ὁ δὲ Ἄβελ, λαβὼν ἐκ τῶν πρωτοτόκων τῶν προβάτων αὐτοῦ, προσήνεγκε κυρίῳ, καὶ προσεδέξατο κύριος τοῦ Ἄβελ τὰ δῶρα,

X (10 ἐφαλπλῶν - 11 προσενεγκεῖν mutil.) CVO

3 - 4 Gen. 3:19a 4 - 5 Gen. 3:18 5 Gen. 3:16 6 Gen. 3:14
7 - 11 cf. Gen. 4:1-2 11 - 31.5 cf. Gen. 4:3 - 8

3 ᾧ nos : ὁ XCV
3 ἐν ἱδρῶτι C : ἐν ἱδρότι X : ἐν ἱδρώτητι V 4 ἐσθίειν XC : φαγεῖν V 7 οἰκήσας nos : ὠκήσας XV ὤκησεν C 7 ante ἔγνω verbum καὶ hab. C 8 προσθήσασα V : προσθήσα XC 9 δόλιος XV : διάβολος C 10 ἐφαπλῶν C : ἐμβαλών V 10 γῆς om. C 12 θεοῦ X : Χριστοῦ CV 13 προσενεγκεῖν ἠθέλησε καὶ om. V 13 ἠθέλησε X : ἤθελεν C 13 τὴν ἀπαρχὴν XV : τῶν ἀπαρχῶν C 14 ἀπρόσδεκτον CV : ἄδεκτος X 14 δὲ XC : οὖν V 15 προσήνεγκε XC : προσενεγκῶν V 15 τοῦ om. X

τοῦ δὲ Κάϊν ἀπώσατο. ἐξελθὼν οὖν ἔσπευδεν ὁ δόλιος, τὴν ἀδελφικὴν στοργὴν πρὸς φόνον ἐργασάμενος, πένθος τῷ Ἀδὰμ προσενέγκαι καὶ ὑποχείριον τὸν ἄνθρωπον ἔχειν. ὁ δὲ Κάϊν οὕτως ἐξελθὼν σὺν τῷ ἀδελφῷ αὐτοῦ Ἄβελ εἰς τὸ πεδίον, ἀνέστη ἐπ' αὐτόν, καὶ ἐθανάτωσεν αὐτόν, καὶ λοιπὸν ἀφορμὴν λαβοῦσα ἡ ἁμαρτία διὰ τῆς παρακοῆς καὶ τὸν φόνον ἀποτελέσασα, ὅνπερ ὁ δόλιος τῶν κακῶν εὑρέτης πεποιήκεν, ἐμηχανᾶτο πλειοτέρας πανουργίας ἐργάζεσθαι, καὶ προέκοπτεν ἡ ἀσέβεια τῶν ἀνθρώπων πληθυνομένων, καὶ ἐδίδαξε δίκην ἀλόγων ζῴων ζωὴν ζῆν τὸν ἄνθρωπον, ὡς εὐθηνίαν λαβόντα, καὶ πληθυνθέντων αὐτῶν, ὄρεξιν ἔσχον Σατανικήν, ὥστε ἀφέντες τὴν φυσικὴν χρῆσιν τῆς θηλείας, ἄρσενες ἐν ἄρσεσι τὴν ἀσχημοσύνην κατειργάζοντο, καὶ οὐχ ὡς θεὸν τὸν θεὸν πεποίηκε δοξάζειν, ἀλλὰ μηχανὰς στηλῶν αὐτοῖς ἀναστήσασθαι, οὓς ὠνόμασεν εἶναι θεούς, ἔργα τεκτονικά. ὁ οὖν ἀγαθὸς καὶ φιλάνθρωπος θεός, ἐπιβλέψας καὶ εἰδὼς ὅτι ἐφθάρη ἡ γῆ, καὶ πᾶς ἄνθρωπος ἐμίανε τὴν ὁδὸν αὐτοῦ ἐν

X (13 *αὐτοῖς* - 14 *θεός* mutil.) CVO

10 - 12 cf. Rom. 1:27 13 - 32.2 cf. Gen. 6:5-8

1 *ἐξελθὼν οὖν* XV : *ἐξελθώτων* (corr. *-ότων*) *οὖν αὐτῶν* C 2 *ἐργασάμενος* XV : *ἀπεργάσασθαι* C 2 *Ἀδὰμ* XV : *ἀδελφῷ* C 2 *προσενέγκαι* XC : *προσενέγκας* V 3 *οὕτως* CV : *οὗτος* X 4 - 5 *καὶ ἐθανάτωσεν αὐτόν* om. X 5 *ἀφορμὴν* X : *μισθὸν* C *μισθὶν* V 6 *εὑρέτης* om. CV 6 *πεποίηκεν* XV : *ἐπεποίηκεν* C 7 *ἐργάζεσθαι* XC : *ἐργάσασθαι* V 9 *τὸν ἄνθρωπον* om. CV 9 *λαβόντα* C : *λαβοῦσαν* XV 10 *ἔσχον* V : *ἔσχεν* XC 13 ante *μηχανὰς* verbum *καὶ* hab. V 13 *ἀναστήσασθαι* V : *δοξάζειν* C

ἐπιθυμίαις, ηὐδόκησεν ἀπολέσαι πάντας ἀνθρώπους, φθείρας ἐν ὕδατι κατακλυσμοῦ. εὗρε δὲ ἄνθρωπον δίκαιον ἐν τῇ γενεᾷ ἐκείνῃ, ᾧ ὄνομα Νῶε, καὶ αὐτῷ ἐνετείλατο ποιῆσαι κιβωτὸν ξυλίνην καὶ εἰσελθεῖν ἐν αὐτῇ σὺν γυναικὶ καὶ υἱοῖς καὶ γυναιξὶ τῶν υἱῶν αὐτοῦ, καὶ ἐποίησε Νῶε τὸ προσταχθὲν αὐτῷ, καὶ ἐπαγαγόντος τοῦ δημιουργοῦ τῶν ἁπάντων θεοῦ τὸν κατακλυσμόν, αὐτὸς διεσώθη ἐν τῇ ξυλίνῃ κιβωτῷ σὺν γυναιξὶ καὶ τέκνοις καὶ τῇ γονῇ εἰς κατάληψιν τῆς γῆς· κατηξίωσε γὰρ ὁ θεὸς θηρίων τε καὶ ἑρπετῶν, πετεινῶν τε καὶ πάσης σαρκός, ὡς φιλάνθρωπος, τέως κἂν πρὸς γονὴν ἐν ὀργῇ αὐτοῦ, καταλεῖψαι τὴν γῆν, καὶ σωθέντος τοῦ δικαίου τούτου, οὐκ ἐπαύετο ὁ ἐχθρὸς διάβολος ἀεὶ τὰς μηχανὰς αὐτοῦ ἐφαπλῶν, καὶ τούτῳ τῷ δικαίῳ ἐπιδραμὼν, τὸν τῆς ὀσφύος αὐτοῦ υἱὸν δραπετεύσας, πρὸς κατάπτωμα τὴν γύμνωσιν πεποίηκε. καὶ πάλιν, ὡς προείρηται, μετὰ τὸ πληθυνθῆναι τοὺς ἀνθρώπους ἐπὶ τῆς γῆς, ἤρξαντο ὁδὸν προτέραν ἐρευνᾶν, καὶ ζητήσεις ποιεῖσθαι στραγγαλιῶν, μαντείας τε καὶ †τριβισμούς, ἀστρονομίας τε

X (12 δραπετεύσας - 14 ἐρευνᾶν mutil.) CVO

2 - 13 cf. Gen. 6:11 ff.

1 ηὐδόκησεν XV : εὐδόκησεν C 2 κατακλυσμοῦ XC : κατακλυσμῷ V 4 γυναιξὶ CV : γυναικῶν X 6 τὸν κατακλυσμὸν XV : τῷ ὕδωρ C 6 τῇ ξυλίνῃ κιβωτῷ X : τῇ κιβωτῷ τῇ ξυλίνῃ CV 7 τῆς γῆς V : τῇ γῇ XC 8 γὰρ om. C 9 ἐν ὀργῇ αὐτοῦ om. V 9 - 10 τὴν γῆν X : τῇ γῇ CV 10 ὁ ἐχθρὸς διάβολος X : ὁ δόλιος ἐχθρὸς CV 12 κατάπτωμα τὴν γύμνωσιν C : καταπτωματικὴν γυμνασίαν V : σωματικὴν γομν[...] X 13 καὶ πάλιν om. C 14 ἤρξαντο V : ἤρξατο C 14 ὁδὸν XV : εἰδῶν C 15 στραγγαλιῶν XCV, fortasse ἀστραγάλων emendandum ? 15 †τριβισμούς : στροβίσματα X στροβλήσματα V, fortasse στροβλήματα emendandum, sed. cf. infr. p.155 l.6

καὶ ὀνειράτων λύσεις, ὀρνεοσκοπίας καὶ οἰωνίσματα, γραώδεις μύθους καὶ φάσματα, καὶ ταῦτα ὁ δόλιος διὰ τῶν ἑαυτοῦ ἐραστῶν πεποιηκώς, ἀνέστησεν ἀνδριάντας λιθίνους καὶ ἐκ λοιπῶν ἔργων τεκτονικῶν, οἷς προσέταξε θυσίας προσφέρεσθαι καὶ θεοὺς ὀνομάζεσθαι, διδάξας ὅτι, 'οὗτοι ἐν ὑμῖν εἰσὶν θεοὶ σωτηρίας,' καὶ τὸν θεὸν τῶν ἁπάντων καὶ δημιουργὸν τῶν ὅλων λήθην πεποίηκε παρ' αὐτῶν γενέσθαι. ἐγεννήθη οὖν τύπος ἀληθείας Ἀβραάμ. οὗτος ὁ δίκαιος ἦν ἄγαπῶν τὸν θεὸν τὸν ὕψιστον καὶ παρ' ἐλπίδα στειρώσεως, ἔδωκεν αὐτῷ ὁ θεὸς καρπὸν γόνου ἐκ τῆς ὀσφύος αὐτοῦ. πάλιν ὁ θεὸς πειράζων τὸν δίκαιον Ἀβραάμ, ᾐτήσατο τὸν υἱὸν αὐτοῦ τὸν ἀγαπητὸν εἰς θυσίαν. ὁ οὖν Ἀβραάμ, ὡς φίλος καὶ θεράπων θεοῦ, προθύμῳ καρδίᾳ λαβὼν τὸ παιδάριον προσενεγκεῖν ἔσπευσεν, ᾧ καὶ παρὰ θεοῦ ἐδόθη κριὸς ἀντὶ Ἰσαὰκ τοῦ υἱοῦ αὐτοῦ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην καὶ εὐλόγησεν αὐτὸν κύριος ὁ θεὸς σφόδρα, ὃν καὶ πατέρα πολλῶν ἐθνῶν κέκληκεν. πολλὰς μέντοι βασιλείας ὁ ἐναντίος ἐπήγειρε θλίψαι τὸν

X (8 ἔδωκεν - 10 Ἀβραάμ mutil.) CVO

1. cf. 1 Tim. 4:7

2 φάσματα XC : φαντάσματα V 2 ἑαυτοῦ X : αὐτοῦ CV 2 ἐραστῶν CV : ἐργατῶν X, fort. recte 3 ἐκ λοιπῶν ἔργων XV : λοιπὸν ἔργον C 4 προσέταξε θυσίας προσφέρεσθαι καὶ V : προσφέρεσθαι θυσίας προσέταξεν X : προσφέρεσθαι θυσίας προσέφερεν C 4 διδάξας XV : προστάξας C 5 ὑμῖν CV : ἡμῖν X 7 ἦν post οὗτος tr. V 7 post δίκαιος verbum ἄγαν hab. V 9 - 10 πάλιν - υἱὸν om. C 11 post φίλος verbum θεοῦ hab. V 11 θεοῦ post φίλος tr. X 11 προθύμῳ nos : προθύμῃ XCV 11 καρδίᾳ XV : καρδίας C 12 ἔσπευσεν CV : ἔσπευδεν X 12 ᾧ XC : ὃ V 15 κέκληκεν V : κεκλίκεν X πεποίηκεν C 15 μέντοι X : τε CV 15 ὁ ἐναντίος om. CV 15 ἐπήγειρε X : ἐπέγειρεν V ἐπάγει C

δίκαιον, καὶ ἐκ πασῶν ἐρύσατο αὐτὸν ὁ κύριος. οὕτως οὖν πάντας τοὺς δικαίους ἤθελε τῆς δικαίας ὁδοῦ ἐκκλῖναι παντοδαπὰς θλίψεις ἐπεγείρων αὐτοῖς, καὶ τί δεῖ πολλὰ ἐνδιατρίβειν τῷ λόγῳ περὶ τῶν δικαίων τούτων, Ἄβελ καὶ Σὴθ καὶ Ἐνώς, Ἐνὼχ καὶ Νῶε καὶ Σήμ, Ἀβραάμ τε καὶ Ἰσαὰκ καὶ Ἰακώβ, Ἰωσήφ, Μωσέως, Ἀαρών τε καὶ Ἰησοῦ, Δαυίδ τε καὶ τῶν λοιπῶν δικαίων καὶ προφητῶν, οἳ καὶ προκατήγγειλαν ἡμῖν τὴν μέλλουσαν ἔσεσθαι σωτηρίαν, οὓς ἡ χάρις καὶ ἡ φωτοφανεία τοῦ ἁγίου πνεύματος φωτίσασα, τὰς καρδίας ὑμῶν ποιήσει εἰς τὸ γνωρίσαι ὑμᾶς πάντας τοὺς δικαίους πατέρας τοὺς τῷ θεῷ εὐαρεστήσαντας. διό, τεκνία μου ἐν κυρίῳ, τὰς ἀρετὰς αὐτῶν μιμήσασθε καὶ ὑμεῖς, εἰρήνην ἀεὶ πρεσβεύοντες, ἀγάπην πρὸς θεὸν καὶ τὴν εἰς ἀλλήλους μετὰ πίστεως ὀρθῆς καὶ βεβαίας τῆς εἰς Χριστὸν Ἰησοῦν τὸν κύριον ἡμῶν, φιλοπτωχίαν, φιλοξενίαν, ἐλεημοσύνην φιλάγαθον, μὴ σαλπίζουσαν ἔμπροσθεν τῶν ἀνθρώπων, ἀλλὰ κατὰ τὴν τοῦ κυρίου διδαχήν, 'ὃ ποιεῖ ἡ δεξιά σου, μὴ γνῶτο ἡ ἀριστερά σου.' ἐν

X (10 εὐαρεστήσαντας - 14 ἔμπροσθεν mutil.) CVO

14 - 15 Mt. 6:2-3

1 ἐρύσατο nos : ἐρρύσατο XCV 3 δεῖ om. CV 3 τῷ λόγῳ X : αὐτοῖς C, om. V 5 Μωσέως CV : Μωϋσῆς X 5 post Μωσέως verba τε καὶ hab. V 5 τε (2) om. V 8 ὑμῶν om. CV 9 post δικαίους verbum καὶ hab. V 10 τεκνία X : τέκνα CV 10 post κυρίῳ verbum μου hab. V 11 μιμήσασθε nos : μιμήσα[...] X : μιμήσασθαι V : μιμησάμενοι C 11 post ἀγάπην verbum καὶ hab. C 12 post (2) εἰς verbum τὸν hab. V 15 διδαχήν V : φωνὴν XC 15 γνῶτο nos : γνώτω XCV

τοῖς ἡμετέροις ἀδελφοῖς μὴ ὀργίζεσθε, διδακτικοὶ ἦτε, ἀμνησίκακοι, ἀφιλάργυροι, ἵνα αὔξοι τὸ στέλεχος τοῦ ἐν ὑμῖν δοθέντος χαρίσματος θείου καὶ ἰδρυθείη τὸ διδασκαλεῖον τῆς ὑμετέρας ποίμνης· πολλὰς γὰρ ἐπάλξεις εὕρει ἡ ὑπενάντιος τοῦ Σατανᾶ καθ' ὑμῶν πανουργία, ἀλλ' οὐ βλάψουσιν ὑμᾶς εὐσεβοῦντας. πορνείαν, ἀκαθαρσίαν, καταρπαγήν, αἰσχροκερδίαν, συκοφαντίαν, ψεῦδος, καὶ τὴν μητέρα πάντων τῶν κακῶν τὴν φιλαργυρίαν, μνησικακίαν πόρρω τῆς ὑμετέρας ποίμνης ἀποδιώξατε, καὶ γρηγορεῖτε προσευχόμενοι, ἵνα ὁ θεὸς τῆς εἰρήνης καὶ τῆς ὑπομονῆς δοίη ὑμῖν ἔλεος εὑρεῖν ἐν τῇ βασιλείᾳ αὐτοῦ, ὅτε μέλλει καθίσαι ἐπὶ θρόνου δόξης αὐτοῦ καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ·" ἦν γὰρ ὁ μακάριος ἀπόστολος Πέτρος δεδωκὼς αὐτοῖς ἅπασαν ἐκκλησιαστικὴν κατάστασιν, τόμους δύο τῶν θείων μυστηρίων, εὐαγγέλια δύο, ἀποστόλους δύο, οὓς ἐκήρυξεν ὁ μακάριος Παῦλος ὁ ἀπόστολος, δύο δισκοποτήρια ἀργυρᾶ, δύο σταυροὺς ἔχοντας ῥάβδους κεδρίνους, τὴν διακόσμησιν τῆς ἐκκλησίας, ἤγουν

X (12 τόμους - 36.2 κέλευσιν mutil.) S (ab ~~§~~ πορνείαν) CVO Nic (12 ἅπασαν - 36.2 ἀποστόλων)

5 - 6 cf. 1 Ti. 6:10 8 - 9 2 Ti. 1:18 9 - 10 cf. Mt. 19:28 10 - 11 Rm. 2:6, cf. 2 Cor. 5:10

1 ὀργίζεσθε nos : ὀργίζεσθαι XCV 1 διδακτικοὶ CV : διδακτοὶ X 2 αὔξοι C : αὔξει XV 3 post θείου verbum πνεύματος hab. X 3 ἰδρυθείη nos : ἀδρυνθίει X ἰδρυνθείη C ἠδρυνθήει V 4 εὕρει XV : εὕροι C 4 ἡ XC : εἰ V 4 ὑπενάντιος XC : ὑπεναντίως V 6 τὴν om. S 7 τὴν om. X 7 ante πόρρω verbum ἅτινα hab. XS 7β ὑμετέρας XCV : ἡμετέρας S 8 ἀποδιώξατε XS : ἐκδιώξατε C διώξατε V 9 δοίη nos : δώει X δώη C δόη SV 9 ὑμῖν XCV : ἡμῖν S 9 ὅτε SCV : ὅτι X, corr. ὅτε X^{I} 10 καθίσαι V : καθῆσαι XC καθείσαι S 10 θρόνου XSV : θρόνῳ C 10 δόξης αὐτοῦ καὶ om. XCV 10 - 11 κατὰ τὰ ἔργα αὐτοῦ S : καθ' ἃ ἔπραξεν XCV 11 ἦν SCV : ἧ X 11 Πέτρος om. CV 11 αὐτοῖς SC : αὐτοὺς XV 12 ἅπασαν XSCV : πᾶσαν Nic 12 ante πᾶσαν verba ἦν ὁ μέγας ἀπόστολος δεδωκὼς τοῖς περὶ Παγκράτιον καὶ Μαρκιανὸν στελλομένοις ἐπὶ τὰ ἑσπέρια μέρη hab. Nic 12 - 14 τόμους - ἀργυρᾶ : εὐαγγέλιον καὶ ἀποστολικὰ βιβλία καὶ σκεύη ἱερὰ Nic 13 μυστηρίων CV : ἱστοριῶν XS 14 Παῦλος CV : Πέτρος S, deest in X (mutil.) 14 ὁ ἀπόστολος om. V

τὴν εἰκόνα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τὴν Παλαιάν τε καὶ τὴν Νέαν Διαθήκην, ἃ ἐγένοντο κατὰ κέλευσιν τῶν ἁγίων ἀποστόλων, καὶ ἐξαναστάντων πάντων, μεταστειλάμενος ὁ μακάριος ἀπόστολος Πέτρος τὸν μακάριον Παῦλον τὸν ἀπόστολον, Μαρκιανόν τε καὶ Παγκράτιον ἐν ἑνὶ τόπῳ ἡσυχαστικῷ, εἶπε πρὸς αὐτούς, "τεκνία μου, ἡ ἀποστολὴ τῆς χάριτος ἥρμοσται ἐν ὑμῖν, καθὼς καὶ ἐν ἡμῖν αἱ ψυχαὶ παντὸς τοῦ λαοῦ αἳ εἰσὶν ἐν ταῖς πόλεσιν, οὗ ἀποστέλλεσθε τῇ χάριτι Χριστοῦ τοῦ θεοῦ ἡμῶν. ἰδού, πᾶσαν ἱερατικὴν κατάστασιν παρέδωκα ὑμῖν· ὡς προείρηκα γὰρ αἱ ψυχαὶ πάντων εἰς τὰς χεῖρας ὑμῶν πεπίστευνται, ὡσεὶ ποίμνιον προβάτων ἐν χειρὶ ποιμένος. εἰ ἀφυπνοῖ καὶ ἀμεριμνεῖ ὁ ποιμήν, οὐχὶ οἱ ἐχθροὶ αὐτοῦ ἐλθόντες σκορπίζουσι τὰ πρόβατα καὶ ἁρπάζουσιν αὐτά; οὐχί, ἐὰν γρήγορος ᾖ ὁ ποιμήν, πληθύνεται τὰ πρόβατα αὐτοῦ; τὸν αὐτὸν δὴ τρόπον καὶ ἐπὶ τῶν λαβόντων τὸν τῆς ἐπισκοπῆς κλῆρον. ἐὰν ἁμάρτῃ ὁ ἐπίσκοπος, οἱ ὑπ' αὐτοῦ διδάσκεσθαι μέλλοντες, ποίαν ὠφέλειαν ἔχωσιν; πῶς ὀργῆς

X (usque ad 2 *κέλευσιν*, 15 *ποίαν* - 37.2 *ἁμαρτίαις* mutil.) SCVO Nic (usque ad 2 *ἀποστόλων*)

9 - 10 Jn. 10:12

1 post *Χριστοῦ* verba *καὶ τῆς παναγίας θεοτόκου* hab. C, fort. recte 1 - 2 *τὴν Νέαν* XC : *Νέαν* V *Καινὴν* S Nic 2 *ἐγένοντο* CV : *ἐγέναντο* X 2 *ἁγίων* om. Nic 4 *τὸν ἀπόστολον* om. CV 7 *αἳ εἰσὶν* om. CV 8 *τοῦ θεοῦ ἡμῶν* om. S 8 post *ἡμῶν* verba *ἐν ταῖς χερσὶν ὑμῶν* hab. X, *ἐν ταῖς χερσὶν ὑμῶν εἰσίν* hab. V 9 post *ὑμῶν* verba *καὶ ἡμῶν* hab. S 10 *πεπίστευνται* XV : *πεπίστευται* SC 10 *ποίμνιον* XSC : *ποιμνίων* V 10 - 11 *ἀφυπνοῖ καὶ ἀμεριμνεῖ* S : *ἀφυπνοῖ καὶ ἀμεριμνῇ* X *ἀφνυπνοῖ καὶ ἀμεριμνοῖ* V *ἁμαρτῇ* C 11 post *σκορπίζουσι* verbum *αὐτὰ* hab. S 11 - 12 *τὰ πρόβατα καὶ ἁρπάζουσιν* om. C 11 - 12 *τὰ πρόβατα* post *αὐτὰ* tr. S 12 *ἐὰν* XSV : *ἂν* C 12 *ᾖ* XC : *εἶ* SV 13 *πληθύνεται* XV : *πληθύνονται* SC 13 *αὐτοῦ* ante *τὰ πρόβατα* tr. C, om. S 13 *δὴ* om. CV 13 - 14 *τῶν λαβόντων* XCV : *τὸν λαὸν τοῦτον τὸν* S 14 *τὸν* SCV : *τῶν* X 14 *κλῆρον* XSC : *καιρόν* V 14 *ἁμάρτῃ* XCV : *ἁμάρτει* S 14 - 15 *ὑπ' αὐτοῦ* XS : *ἐπ' αὐτῷ* C *ἐπ' αὐτὸν* V 15 *ποίαν* XV : *πῶς ἂν* C 15 *ἔχωσιν* V : *ἔχοιεν* XS *σχῶσιν* C

ἐπερχομένης ἐξιλεώσεται ὑπὲρ τοῦ λαοῦ; ποίῳ προσώπῳ σταθήσεται ἐνώπιον τοῦ θεοῦ, εἰ ὅλοι οἱ ἐν τῇ πόλει ἁμαρτίαις συσχεθῶσιν; αὐτὸς ὑπὲρ πάντων αἰτεῖ συγχώρησιν, ὡς καὶ Μωϋσῆς ἔστη ἐν τῇ θραύσει τοῦ μὴ ἐξολοθρεῦσαι. δεῖ οὖν τὸν ἐπίσκοπον, ἁγνείᾳ καὶ ἐγκρατείᾳ διαπρέποντα, πάντα τὰ γήϊνα ἐκφεύγειν καὶ μόνῳ τῷ θεῷ ἐντυγχάνειν, ἵν' ὅταν ὑπὲρ τῶν ἡμαρτηκότων στεναγμὸν ἀνενέγκῃ, κατενέγκῃ συγχώρησιν τῶν πλημμεληθέντων ὑπὲρ τοῦ λαοῦ. ἐγὼ Πέτρος ὁ ἀπόστολος, τεκνία μου, τὸν κυρίον ἡμῶν Ἰησοῦν Χριστὸν φόβῳ πολλῷ ἠρώτησα περὶ τῶν ἀδελφῶν, 'ἐὰν ἁμαρτήσῃ εἰς ἐμὲ ὁ ἀδελφός μου ἑπτάκις, ἀφιῶ αὐτῷ τὰ πλημμελήματα αὐτοῦ;' ὁ δὲ ἀγαθὸς θεὸς καὶ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς οὕτως φησὶ πρός με, 'οὐ λέγω σοι ἑπτάκις, ἀλλ' ἑβδομηκοντάκις ἑπτά.' εἰς κοσμικὰς φροντίδας ἑαυτοὺς μὴ περιβάλλετε, ἀλλὰ τὰς ἀναγκαίας χρείας ὑμῶν διὰ ἐπιτρόπων καὶ οἰκονόμων ποιεῖσθε, καὶ ὑμεῖς πάντοτε ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς τῷ κυρίῳ λατρεύετε, ἵν' ὅταν τις ὀργὴ κατὰ συμφορὰν

X (usque ad 2 *ἁμαρτίαις*, 12 *ἑβδομηκοντάκις* - 14 *οἰκονόμων* mutil.) S (2 *εἰ ὅλοι* - 5 *πάντα*, 12 *φροντίδας* - 15 *ἵν' ὅταν* mutil.) CVO

9 - 12 Mt. 18:21-22 14-15 Eph. 5:19; Col. 3:16

1 ἐξιλεώσεται XV : ἐξϊλεῶσονται C 3 *Μωϋσῆς* CV : *Μωσῆς* X 6 *ἵν' ὅταν* XS : *ἵνα ὅταν* CV 6 *ἀνενέγκῃ* nos : *ἀνενέγκει* XSCV 6 *κατενέγκῃ* nos : *κατενέγκει* XSCV 8 *τεκνία* XSC : *τέκνα* V 8 *ἡμῶν* om. X 9 *ἠρώτησα* CV : *ἠρώτισα* X *ἐρωτήσας* S 9 *ἁμαρτήσῃ* V : *ἁμαρτήσει* XSC 10 *ἀφιῶ* XSV : *ἀφήσω* C 10 *πλημμελήματα* XCV : *πλημελήμα* S 10 *δὲ* XS : *οὖν* CV 10 post *θεὸς* verba *καὶ φιλάνθρωπος* hab. V 10 *καὶ* XC : *ὁ* SV 11 *φησὶ* om. C 13 *ὑμῶν* ante *χρείας* tr. XC 15 *λατρεύετε* nos : *λατρεύεται* X *λατρευόντες* CV 15 *ἵν' ὅταν* XC : *ἵνα ὅταν* V

ἐπέλθῃ τῷ ποιμνίῳ, καὶ αἰτήσησθε τὸν θεόν, ὡς φίλων αὐτοῦ γνησίων, ὑπακούσει ὑμῶν, καὶ ἀφήσει τὰ τοῦ λαοῦ πλημμελήματα καὶ ἀποστρέψει τὸν θυμὸν τῆς ὀργῆς αὐτοῦ. ἐπεὶ ἐὰν μὴ ὁ ποιμὴν ᾖ ἀνεπίληπτος, ὅσιος καὶ φίλος θεοῦ, τίς ὑπὲρ τῶν προβάτων τὸν θεὸν ἐξιλεώσεται; οὐ δύνασθε καὶ ἀνθρώποις δουλεύειν καὶ θεῷ. κατὰ πρεσβυτέρων μὴ μαρτυρίαν προσδέχεσθε, ἀλλ' εἰ καὶ προλημφθῇ ἐν παραπτώματι, μὴ αὐθαδῶς προσέλθετε αὐτῷ, ἀλλ' ἐπιεικῶς ἐλέγξατε, ἐπιτιμήσατε, παρακαλέσατε. τοὺς ὑπουργοὺς τῆς ἐκκλησίας δεῖ τὸν ἐπίσκοπον ἄρχοντα ἐν αὐτοῖς ἐγχειρίσαι, ἵνα αὐτὸς ἄρχῃ αὐτοῖς." καὶ ὥρισαν τοὺς ἐν τῇ ἐκκλησίᾳ οὕτως· ἀρχιπρεσβύτερον ἐν τοῖς πρεσβυτέροις, ἀρχιδιάκονον ἐν τοῖς διακόνοις, καὶ ἐν τοῖς λοιποῖς πράγμασιν οἰκονόμον καὶ τοὺς ἐπιτροπεύοντας. καὶ πάλιν ἔλεγεν αὐτοῖς, "θέλω δὲ ὑμᾶς οἰκοδομὰς ἐκκλησιῶν ποιοῦντας, διακοσμεῖν αὐτὰς οὕτως." καὶ λαβὼν ὁ μακάριος τοὺς πίνακας, οὓς ἦν ἱστορήσας ὁ Ἰωσήφ, ἀναπτύξας

X (13 ἐπιτροπεύοντας - 14 οὕτως mutil.) S (8 ἐκκλησίας - 10 ἐκκλησίᾳ mutil.) CVO

5 Mt. 6:24, Luc. 16:23 6 - 8 1 Tim. 5:19, Gal. 6:1 7 - 8 2 Tim. 4:2

1 ἐπέλθῃ V : ἐπέλθοι XSC 1 αἰτήσησθε SC : αἰτήσησθαι X αἰτήσεσθαι V 1 φίλων αὐτοῦ γνησίων XCV : φίλον αὐτοῦ γνήσιον S 2 ὑμῶν XSV : ὑμῖν C 2 ἀφήσει XS : ἀφιεῖ CV 3 ἀποστρέψει SCV : ἀποστρέψῃ X 3 μὴ post ποιμὴν tr. C 3 ᾖ (εἰ V) ἀνεπίληπτος XCV : ὁ κάλος ἡμῶν ἐπίσκοπος S 4 ὑπὲρ XCV : ἐκ S 5 ἐξιλεώσεται S : ἐξιλεώσηται X ἐξιλεῶσειτε C ἐξιλεόσηται V 6 μαρτυρίαν om. XS 6 προλήμφθῃ XSV : προλήφθῃ C 7 παραπτώματι XS : παραπτώμασιν CV 7 προσέλθετε CV : προσέλθηται X προσέλθητε S 8 ἐλέγξατε C ἐλέγξαται X, corr. ἐλέγξατε X[1] ἐλέγξαται V ἐλέγξετε S 9 ἐν om. C 10 ἄρχῃ XV : ἄρχοι C 10 αὐτοῖς CV : αὐτῶν X 10 post αὐτοῖς verba καὶ ἀσπασάμενοι ἀλλήλους ἀπῆλθον ἐν εἰρήνῃ CV 10 ὥρισαν V : ὅρισαν X ὡρήσαντο C 10 τοὺς ἐν om. C 10 οὕτως om. CV 12 post λοιποῖς verba τὸν ἐγχειρισθὲν τὰ ἄρχοντα καὶ ἐν τοῖς ἄλλοις hab. CV 12 - 13 οἰκονόμον καὶ τοὺς ἐπιτροπεύοντας XS : ὁ οἰκονόμος καὶ οἱ ἐπιτροπεύοντες CV 13 καὶ πάλιν ἔλεγεν αὐτοῖς om. C 13 ἔλεγεν αὐτοῖς om. V 14 ποιοῦντας SV : ποιοῦντες C 14 ὁ om. XC

ὑπέδειξεν αὐτοῖς λέγων, "θεῖναι μὲν πρῶτον τὸν εὐαγγελισμόν, τὴν γέννησιν, τὸ πῶς ἐβαπτίσθη ὑπὸ τοῦ προδρόμου, τοὺς μαθητάς, τὰς ἰάσεις, τὴν προδοσίαν, τὴν σταύρωσιν, τὴν ταφήν, τὴν ἐκ τοῦ Ἅδου ἔγερσιν, τὴν ἀνάληψιν· ταῦτα πάντα ἐν τῇ ἐκκλησίᾳ διακοσμεῖτε, ἵνα ὁρῶντα τὰ πλήθη τῶν εἰσιόντων, ὑπόμνησιν τῆς ἐνανθρωπήσεως τοῦ κυρίου λαμβάνοντες, ~~τανάξῃ~~ πυροῦνται, ὁρῶντες πρῶτον τὸν τύπον τοῦ χαρακτῆρος, καὶ θερμοτέραν τὴν πίστιν ἐνδύονται. ἰδού, πάντα τὰ πρὸς σωτηρίαν διέταξα ὑμῖν· πορεύεσθε ἐν εἰρήνῃ," καὶ λαβὼν ὁ μακάριος Πέτρος ἄρτον, εὐλογήσας ἔκλασε καὶ ἐπιδεδωκὼς πᾶσιν, τῷ τε μακαρίῳ Μαρκιανῷ καὶ Παγκρατίῳ, καὶ τοῖς δυσὶ ναυκλήροις, ἅμα τοῖς ναυτικοῖς αὐτῶν, ὡσαύτως καὶ ποτήριον, κατῆλθον ἅπαντες ἐπὶ τὸν αἰγιαλόν, καὶ ἀσπασάμενοι ἀλλήλους ἐν φιλήματι ἁγίῳ, ἐπέβησαν ἐν τοῖς πλοίοις, εἷς ἕκαστος ἐν τῷ ἰδίῳ, ὁ μὲν μακάριος Μαρκιανὸς εἰς Ῥομύλλου, ὁ δὲ μακάριος Παγκράτιος εἰς Λυκαονίδους. κατὰ οὖν κέλευσιν θεοῦ τοῦ δοξάζοντος τοὺς δοξάζοντας αὐτόν, ἐξαίφνης

Η ἀναξω-

XSCVO

12. cf. Act. 21:5

1 post *εὐαγγελισμόν* verba *τοῦτ' ἐστίν* hab. C 2 *τὸ πῶς ἐβαπτίσθη ὑπὸ τοῦ προδρόμου* XCV : *τὸ βάπτισμα* S 4 *διακοσμεῖτε* CV : *διακοσμεῖται* XS (post *πάντα* tr. S) 5 *ὁρῶντα* XCV : *ὁρῶντων* S 5 post *εἰσιόντων* verba *ἐν τῇ ἐκκλησίᾳ* hab. CV 5 - 6 *ὑπόμνησιν τῆς ἐνανθρωπήσεως τοῦ κυρίου* (*τοῦ κυρίου* om. S) *λαμβάνοντες* XS : *εἰς ὑπόμνησιν τῆς ἐν τοῦ κυρίου ἐρχόνται καὶ* CV 6 *πυροῦνται* SCV : *ποιροῦντες* X 7 post *χαρακτῆρος* verba *ὡς προείρηκα ὑπόμνησιν λαμβάνουσι* hab. CV 7 *καὶ* om. SC 8 *διέταξα ὑμῖν* XSV : *διεταξάμην* C 8 *πορεύεσθε* nos : *πορεύεσθαι* XSCV 8 *εἰρήνῃ* XSC : *εἰρήνην* V 8 - 9 *καὶ λαβὼν ὁ μακάριος Πέτρος* XS : *ὁ οὖν μακάριος Πέτρος λαβὼν* CV 9 post *Πέτρος* verba *ὁ ἀπόστολος* hab. C 10 *καὶ* om. C 9 - 10 *τῷ τε μακαρίῳ Μαρκιανῷ καὶ Παγκρατίῳ* X : *τῷ τε μακαριῳ Παγκρατίῳ καὶ Μαρκιανῷ* S *τῷ μακαρίῳ Μαρκιανῷ καὶ Παγκρατίῳ* CV 10 - 11 *καὶ τοῖς δυσὶ ναυκλήροις, ἅμα τοῖς ναυτικοῖς αὐτῶν* XS : *καὶ τῶν δύο ναυκλήρων καὶ πάντων τῶν ναυτικῶν* CV 11 ante *ποτήριον* verbum *τὸ* hab. C 11 *κατῆλθον* XSV : *καὶ κατελθώντες* C 11 *ἅπαντες* om. V 13 *εἷς ἕκαστος ἐν τῷ ἰδίῳ* om. S 13 post *εἷς* verbum *καὶ* hab. V 13 - 14 *ὁ μὲν μακάριος Μαρκιανὸς εἰς Ῥομύλλου, ὁ δὲ μακάριος Παγκράτιος εἰς Λυκαονίδους* XS : *ὁ οὖν μακάριος Παγκράτιος εἰς Λυκαονίδου* (*Λυκαονίδους* V), *ὁ δὲ ἁγιώτατος Μαρκιανὸς εἰς Ῥομύλλου* CV 15 - 40.1 *ἐξαίφνης* (*ἐξαίφνης* nos, *ἐξέφνης* XS, corr. *ἐξέφναυς* X) *ἐπνεύσεν ἄνεμος ὁ καλούμενος Βοραίας* (*Βο*[.]*αίας* X, *Βορέας* correxi) XS : *ἐξῆψεν τοῦ πνεῖν βορρᾶς* CV

ἐπνεύσεν ἄνεμος ὁ καλούμενος Βορέας, καὶ ἀπεπλεύσαμεν, θείᾳ προνοίᾳ αἰσίου τοῦ πλοὸς ἡμῖν γεγονότος. μετὰ οὖν τρίτην ἡμέραν καὶ τρίτην νύκτα, μεσοποροῦντες ἤκαμεν τοῦ πλοός. μέσον οὖν ἐλθοντες τῶν δύο πόλεων, ἤγγισαν αἱ δύο σκάφαι ἀλλήλαις, καὶ ἀσπασάμενοι ἀλλήλους, ἠγέρθη ἄνεμος, καὶ ἀπεχωρίσθημεν ἀπ' ἀλλήλων, καὶ μεθ' ἡμέρας δύο καὶ νύκτας δύο ἔτι πλεύσαντες μετὰ τὸ ἀποχωρισθῆναι ἀφ' ἡμῶν τὸν μακάριον Μαρκιανόν, κατήχθημεν ἐν τόπῳ ἐπιλεγομένῳ Φάλκονι. οὐ μέντοι ἦν λιμὴν ἐν τῷ τόπῳ, ἀλλ' ὁρμισία τις· ἦν γὰρ ὁ τόπος κατείδωλος, καὶ ὑπὸ δαιμόνων διακατεχόμενος καὶ δαιμόνων πλῆθος ἦν ἐν αὐτῷ, διότι ἦν ὁ τόπος ἐκεῖνος κῆπος λαχάνων Φαλκονίλλας μητρὸς Φάλκονος, ἀπογόνου Μενίας, Ταύρου γυναικός. αὕτη ἡ Φαλκονίλλα σοφὴ ἦν καὶ φαιδρὰ τῷ προσώπῳ εἰς ὑπερβολήν, ὡς ἐμφέρεται ἐν τοῖς ἱστορικοῖς, ὥστε διὰ τὴν πολλὴν αὐτῆς σοφίαν καὶ φαιδρότητα δῶρα πολύτιμα προσέφερον αὐτῇ, ὡς καὶ θαυμάζειν τὴν ὡραιότητα τοῦ κάλλους αὐτῆς. αὕτη γεννᾷ υἱὸν καὶ ἐκάλεσε τὸν

X (1 *Βορέας* - 4 *ἤγγισαν* mutil.) S (2 *ἡμῖν* - 5 *ἀλλήλους*, 12 *ὑπερβολήν* - 15 *ἐκάλεσε* mutil.) CVO

2 *τοῦ* om. V 2 post *καὶ* verbum *τὴν* hab. V 3 *μέσον οὖν* CV : *καὶ* X 5 *ἀπεχωρίσθημεν* XS : *ἀπεχώρησεν ἡμᾶς* CV 5 *ἀπ' ἀλλήλων* XCV : *ἀλλήλων* S in marg. verba *ὅτε ὁ ναυκλήρος Λικαονίδης* [...] *εἰς Ταυρομενίαν μέτα τοῦ ἁγίου Παγκρατίου ἐν τῷ Φάλκονι* add. S^{x} 6 *ἔτι* (*ἔτη* V) *πλεύσαντες* XSV : *ἀποπλεύσαντες* C 8 *Φάλκονι* XSV : *Φάλκονος* C 8 *τῷ* om. C 8 *ὁρμισία* C : *ὁρμησία* XSV 9 *διακατεχόμενος* X : *διακατεχώμενος* C *κατεχόμενος* SV 10 *ὁ τόπος ἐκεῖνος* SC : *αὐτὸς ὁ τόπος* XV 11 *Φαλκονίλλας* SC : *Φαλκωνίλλας*, corr. *Φαλκονίλλας* X *Φαλκονίλας* V 11 *Μενίας* CV : *μὲν* XS 13 *ὥστε* XC : *ὡς καὶ* V 13 *αὐτῆς* post *σοφίαν* tr. CV 14 *θαυμάζειν* X : *θαυμάσαι* CV 15 *τὴν ὡραιότητα τοῦ κάλλους* X : *τὴν ἀγαθότητα τῆς ψυχῆς* CV

ὄνομα αὐτοῦ Φάλκονα, κατὰ τὸ ἑαυτῆς ὄνομα. ἦν δὲ ὁ παῖς εὐφυὴς καὶ φαιδρὸς πάνυ, καὶ κατελθὼν τερφθῆναι ἐν τῷ κήπῳ, ἐξέψυξεν ἄφνω καὶ ἀπέθανε καὶ ἐτάφη ἐν αὐτῷ τῷ κήπῳ. ποιήσαντες οὖν ναὸν πάνυ τερπνὸν τῆς πατρῴας αὐτῶν κοσμήσεως, ἔστησαν ἐπάνω τοῦ τάφου ἀνδριάντα λαξευτόν, ὃν καὶ ὠνόμασαν θεὸν Φάλκονα, καὶ ἐνέγκαντες παῖδα ἔφηβον, προσήνεγκαν αὐτῷ καὶ ἀπώσατο. ἐνέγκαντες οὖν τρεῖς ἐφήβους παῖδας καὶ ἑβδομήκοντα τρία μοσχάρια ἄρρενα καὶ καλά, προσεδέξατο, καὶ ἐπετέλεσαν τὴν μιαρὰν θυσίαν, σφάξαντες τοὺς τρεῖς παῖδας καὶ τὰ ἑβδομήκοντα τρία μοσχάρια, καὶ οὕτως λοιπὸν τὸ μέτρον τῆς θυσίας παρηκολούθησεν, καὶ οἱ δαίμονες συχνοτέρως ἀπήτουν τὰς θυσίας. ὡς οὖν ἤλθομεν εἰς τὴν ξηράν, πατάξας ὁ μακάριος Παγκράτιος τὴν γῆν τῇ βακτηρίᾳ τοῦ σταυροῦ, ἔστη. οἱ οὖν δαίμονες οἱ παρεδρεύοντες τῷ ἀναισθήτῳ Φάλκονι, ὀλολύζοντες καὶ τὸν ἀνδριάντα σείοντες, ἔλεγον, "ὦ θεὲ Φάλκων, σοφὲ υἱὲ Φαλκονίλλης, πῦρ ἔφθασε, καταναλίσκον σε, καὶ ἀπὸ τοῦ νῦν

X (3 *ἀπέθανε* - 4 *ἐπάνω*, 14 *υἱὲ* - 42.2 *τεχθεὶς* mutil.) CVO

1 *τὸ ἑαυτῆς ὄνομα* XS : *τὸ ὄνομα τὸ ἑαυτῆς* CV 1 *εὐφυὴς* XCV : *ἐκφυεὶς* S 1 *καὶ* om. S 3 ~~*καὶ (1) om.*~~ S 3 *καὶ ἀπέθανε καὶ ἐτάφη* SC : *ἀπέθανε ἐτάφη δὲ* V 3 *οὖν* S : *δὲ* V, om. C 4 *τερπνὸν* om. CV 4 *κοσμήσεως* om. C 4 *τάφου* SV : *μνήματος* C 5 *καὶ* (1) om. CV 5 *ὠνόμασαν* V : *ὀνόμασεν* XSC 5 *ἐνέγκαντες* XSC : *προσενέγκαντες* V 6 *αὐτῷ* om. V 7 *ἐφήβους παῖδας* XS : *παῖδας ἐφοίβους* C *ὑφίβους παῖδας* V 8 *ἐπετέλεσαν* XSV : *ἀπετέλεσαν* C 10 - 11 *συχνοτέρως ἀπήτουν* XS : *συχνοτέρως ἀπαιτοῦσαν* V *παρηκολούθησαν συχνοτέρως ἀπαιτοῦντες* C 11 *τὰς θυσίας* S : *θυσίαν* X *τὴν θυσίαν* CV 11 *ἤλθομεν* XV : *-ωμεν* SC 11 - 12 *πατάξας ὁ μακάριος Παγκράτιος* (*Παγκράτιος* om. CV) *τὴν γῆν τῇ βακτηρίᾳ τοῦ σταυροῦ* XCV : *πίξας ὁ μακάριος Παγκράτιος τὴν γῆν τὴν βακτηρίαν τοῦ σταυροῦ* S, fortasse emendandum *πήξας ὁ μακάριος Παγκράτιος <κατὰ> τὴν γῆν τὴν βακτηρίαν τοῦ σταυροῦ* ? 13 *ὀλολύζοντες* XS : *ἔκραζον λέγοντες* CV 14 *σείοντες, ἔλεγον* nos : *σίοντες ἔλεγον* X *σίοντες ἔλεγεν* S *ὀλολύξοντες ἐθρήνουν* (*ἐθρίνουν* C) *καὶ φησίν* CV 14 *Φάλκων* XC : *Φάλκον* SV 14 *σοφὲ* om. S 15 *Φαλκονίλλης* SV : *Φαλκονίλλας* C 15 ante *πῦρ* verbum *ὅτι* hab. CV 15 *καταναλίσκον* S : [...]*ίσκον* X *καταναλίσκων* CV

αἰχμάλωτος μένεις· ὁ υἱὸς γὰρ τοῦ θεοῦ ὁ ἐκ Μαρίας τῆς παρθένου τεχθεὶς φλογίνην ῥομφαίαν ἀπέστειλεν ὧδε διὰ Πέτρου, ἧς ἡ ἀστραπὴ τὰ ἐνταῦθα ἐφώτισεν, ἡμᾶς δὲ πάντας ἐφόβησεν. ὦ Λυκαονίδη, τίς ἐστίν, ὃν ἐκόμισας ὧδε; πῶς τὴν σκάφην σου οὐ κατέκαυσεν; οὐκ ἠλπίζομεν ποτὲ τοιαύτην περίστασιν δέξασθαι, ἀντὶ τῆς θυσίας, ἧς εἰωθὼς προσέφερες, τοῦτο τὸ πῦρ ἐκόμισας." ὁ οὖν μακάριος Παγκράτιος σταθεὶς ἄντικρυς καὶ ποιήσας τὴν ἐν Χριστῷ σφραγῖδα, εἶπεν τοῖς ἀκαθάρτοις δαίμοσιν, "ὁρκίζω ὑμᾶς, πνεύματα ἀκάθαρτα, κατὰ τοῦ ὀνόματος τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, καταστείλατε τὰς ἀτάκτους ὑμῶν φωνὰς λαβόντες κατόχιον." καὶ εὐθέως σὺν τῷ λόγῳ Παγκρατίου, κατέπαυσαν οἱ κτύποι τῶν φωνῶν. ἦν δὲ καὶ τὸ ναυκλήριον σὺν Λυκαονίδῃ ὡσεὶ λίθου βολὴ ἀπὸ τοῦ Φάλκονος, ὅπου ἦν ἡ σκευὴ τοῦ πλοίου. ἀπελθόντες οὖν ἅπαντες, εἰσήλθομεν ἐν τῷ οἰκίσκῳ τοῦ ναυκλήρου. ὁ δὲ μακάριος Παγκράτιος λέγει πρὸς Λυκαονίδην καὶ τοὺς ναυτικούς, "τέκνα, παρακαλῶ ἐν

X (usque ad 2 *τεχθεὶς* mutil.) S (12 *Λυκαονίδη* - 13 *ἀπελθόντες* mutil.)

1 *μένεις* XCV : *μένης* S 1 *γὰρ* CV : *ὁ* S 1 *Μαρίας τῆς παρθένου* XS : *τῆς παρθένου Μαρίας* V 2 *τεχθεὶς* et *ῥομφαίαν* tr. V 4 *κατέκαυσεν* XCV : *κατέφλεξεν* S 5 *ἠλπίζομεν* XS : *ἠλπίζαμεν* C *ἐλπίζαμεν* V 6 *εἰωθὼς προσέφερες* nos : *ἰώθης προσφέρειν* XS *προσέφερες* CV 7 post *ποιήσας* verba *τὴν εὐχὴν ἅμα καὶ* hab. C 8 *δαίμοσιν* XS : *πνεύμασιν* CV 12 *ναυκλήριον* XCV : *ναυκληρίδιον* S 12 *σὺν Λυκαονίδῃ* S (mutil.) V : *Λυκαονίδῃ* X *Λυκαονίδου* C, fort. recte 12 - 13 *ἀπὸ τοῦ Φάλκονος* om. X 13 ante *Φάλκονος* verbum *εἰδόλου* hab. C 13 *ἀπέλθοντες* X : *ἀπήλθωμεν* C *ἀπήλθαμεν* V 13 post *ἅπαντες* verbum *καὶ* hab. V 14 *εἰσήλθομεν* S : *-ωμεν* XC *-αμεν* V 14 *δὲ* XS : *οὖν καὶ* C *οὖν* V 15 post *τοὺς* verbum *ναυκλήρων* hab. S 15 *λέγει* om. CV 15 ante *Λυκαονίδην* verbum *τὸν* hab. C 15 post *ναυτικούς* verbum *ἔφη* hab. V, *ἔφησεν* hab. C 15 *τέκνα* XSV : *τεκνία μου* C

κυρίῳ, μὴ γνώτω ἡ πόλις τῶν ἀνθρώπων τούτων τάχιον, ὅτι ἐγὼ ἐνταῦθα παρεγενόμην, ἕως ὅτου Χριστὸς ὁ ἀληθινὸς θεὸς γνωρίσει αὐτοῖς τὴν αὐτοῦ δύναμιν δι' ἡμῶν." καὶ ἐξῆλθον ἅπαντες καὶ ἐμείναμεν ἐγὼ καὶ ὁ μακάριος Παγκράτιος καὶ Λυκαονίδης. λέγει οὖν ὁ μακάριος Παγκράτιος πρός με, "τέκνον Εὐάγριε, ἐξενέγκαντες καὶ ἡμεῖς τὰ ὅπλα ἡμῶν, προσέλθωμεν τῷ ἀναισθήτῳ Φάλκονι τῷ λεγομένῳ θεῷ, καὶ ἀναλαβόντες τὸν θυρεὸν τῆς πίστεως ὀλέσωμεν αὐτὸν τῇ δυνάμει Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν, καὶ τοῦτον τὸν κωφὸν καὶ ἄλαλον ἀφαντώσωμεν, τὸν πολλὰς ψυχὰς προξενήσαντα εἰς τὸ πῦρ τὸ ἄσβεστον." ὁ οὖν Λυκαονίδης, γνούς, μᾶλλον δὲ ἀκούσας, ὅτι τῷ ἀνδριάντι Φάλκονι θέλει ἀπελθὼν προσεγγίσαι, εἶπε τῷ μακαρίῳ, "τίμιε πάτερ, μὴ οὕτως προσέλθῃς τῷ ἀκαθάρτῳ Φάλκονι· πολλοὺς γὰρ τῷ παρέδρῳ αὐτοῦ ἀπέκτεινεν· οὐ γὰρ ἄνευ θυσίας, πάτερ, προσέρχεταί τις τῷ ἀναιδεῖ τούτῳ ἀνδριάντι." ὁ δὲ μακάριος Παγκράτιος διακωλύομενος παρὰ Λυκαονίδου, εἶπεν αὐτῷ ἐπιεικῶς,

X (2 *ἀληθινὸς* - 3 *ἅπαντες* mutil.) S (7 *θυρεὸν* - 9 *ἀφαντώσωμεν* mutil.)

7 Eph. 6:16

2 *παρεγενόμην* XSC : *παρεγενάμην* V 2 *γνωρίσει* XSC : *γνωρίσῃ* V
4 ante *καὶ* (2) verbum *τε* hab. V 4 ante *Λυκαονίδης* verbum *ὁ* hab. S 5 - 6 *καὶ ἡμεῖς* post *προσέλθωμεν* tr. V 8 *αὐτὸν* XC : *αὐτῶν* V 8 *τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν* deest in S 11 *ἀπελθὼν προσεγγίσαι* (*προσεγγῆσαι* X, *προσεγγίσε*C) XCV : *ἀπελθεῖν ἵνα προσεγγίσει αὐτῷ* S, fort. recte 12 post *ἀκαθάρτῳ* verbum *τούτῳ* hab. XV 12 post *Φάλκονι* verbum *δαίμονι* hab. S 13 *τῷ παρέδρῳ* XCV : *τὸ πάρεδρον* S 13 - 14 *οὐ γὰρ - ἀνδριάντι* : *οὐ γὰρ προσέρχωνται αὐτῷ ἄνευ θυσίας, πάτερ, τῷ ἀνεδῇ ἀνδριάντι* C 14 *πάτερ* om. S 14 *προσέρχεταί τις* XV : *τίς προσέρχεται* S 14 *τῷ ἀναιδεῖ* (*ἀναιδῆ* X, *ἀνεδῆ* V) *τούτῳ ἀνδρίαντι* XCV : *τῷ ἀνεσθήτῳ τούτῳ Φάλκονι* S 14 *δὲ* XSV : *οὖν* C 15 *διακωλυόμενος* nos : *διακολυόμενος* XSV *κολῦόμενος* C 15 *Λυκαονίδου* nos : *Λυκαονίδους* XSV : *Λυκαονίδει* C

"τέκνον Ἐπιφάνιε, ἡμεῖς οὐκ ἐλάβομεν πνεύματα δειλίας, οὐδὲ φρίττομεν αὐτῶν τὰς ἀνισχύρους φαντασίας, ἐνδυσάμενοι τὴν χάριν τοῦ ἁγίου πνεύματος καὶ τὸν θώρακα τῆς πίστεως. ὅμως, τέκνον, ἐλθὲ μεθ' ἡμῶν, καὶ ἴδε τὴν δόξαν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τὴν ὥλεσιν Φάλκονος τοῦ μιαροῦ," καὶ λαβὼν ὁ μακάριος Παγκράτιος τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν καὶ τὰ ἅγια εὐαγγέλια καὶ τὴν εἰκόνα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τὴν τοῦ ἁγίου Πέτρου τοῦ ἀποστόλου καὶ τὰς καθολικὰς αὐτοῦ δύο ἐπιστολὰς καὶ τὴν ἱστορίαν τῆς ἐνανθρωπήσεως τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἃ καὶ ποιήσας ἐν πίναξι χαρτῴοις ἦν σὺν τῇ τοῦ ἀποστόλου εἰκόνι, καὶ ταύτας τὰς δύο εἰκόνας σὺν τῷ σταυρῷ διακατέχων, προσῆλθε τῷ Φάλκονι, καὶ ἐγγίσας τῷ ἀνδριάντι καὶ τύψας αὐτὸν τῇ χειρὶ αὐτοῦ, οὐδαμοῦ ῥῆσις, οὐδαμοῦ πνοή, οὐδαμοῦ ἡ τῶν ἀκαθάρτων δαιμόνων ἀλαζονεία, ἀλλὰ μόνα καὶ κενὰ τὰ θυσιαστήρια τοῦ ἀναισθήτου Φάλκονος. σταθεὶς οὖν ὁ Λυκαονίδης ἀπὸ μακρόθεν ἐξεδέχετο, τί ἔχοιεν γενέσθαι, καὶ ὅτι κατὰ

XSCVO Nic (5 *καὶ λαβὼν* - 13 *πνοή*)

2 - 3 1 Thess. 5:8, Eph. 6:14

1 *ἐλάβομεν* XS : *-ωμεν* C *-αμεν* V 2 *φρίττομεν* CV : *-ωμεν* XS 2 *αὐτῶν* post *ἀνισχύρους* tr. V 3 *καὶ τὸν θώρακα τῆν πίστεως* om. ~~SX~~ fort. recte 4 *ἴδε* XCV : *ἴδειν ἔχεις* S, fort. recte 5 *ὥλεσιν* X : *ὄλεσιν* SCV 5 *καὶ λαβὼν* XSC : *λαβὼν οὖν* V *λαβὼν* Nic, ante *λαβὼν* verba *καὶ μετά τινα* hab. Nic 6 *καὶ* (3) om. V 6 *καὶ τὰ ἅγια εὐαγγέλια* om. Nic 7 post *Χριστοῦ* verba *καὶ τῆς παναγίας θεοτόκου* hab. C, fort. recte 7 - 8 *καὶ τὴν* - *ἐπιστολὰς* : *καὶ τοῦ μακαρίου ἀποστόλου τὰς καθολικὰς* C *καὶ τοῦ μακαρίου Πέτρου τοῦ ἀποστόλου τὰς καθολικὰς* V 7 *τὴν τοῦ ἁγίου Πέτρου τοῦ ἀποστόλου* X : *τὴν τοῦ ἁγίου ἀποστόλου Πέτρου* S *τοῦ μακαρίου Πέτρου τοῦ ἀποστόλου* Nic 8 *καὶ* (1) om. X 8 *καὶ τὰς καθολικὰς αὐτοῦ δύο ἐπιστολὰς* om. Nic 8 ante *ἱστορίαν* verbum *καθολικὴν* hab. Nic 9 *ἃ καὶ ποιήσας* V : *ἃ καὶ* XS *ἃ ἦν ποιήσας* C *ἃ καὶ ποιήσας ἦν* Nic 10 post *πίναξι* verbum *καὶ* hab. XSCV 10 *ἦν* om. CV Nic 10 *σὺν τῇ τοῦ ἀποστόλου εἰκόνι* V Nic : *σὺν τῆς τοῦ ἀποστόλου εἰκόνος* XS, om. C 10 - 11 *δύο εἰκόνας σὺν τῷ σταυρῷ* om. C 11 *διακατέχων* XCV : *κατέχων* S 12 *ῥῆσις* XCV : *ῥήσεις* S 13 post *πνοή* verba *καὶ προσευξαμένου αὐτοῦ καὶ ὁρκίσαντος τοῖς δαιμονίοις, ἦραν τὸν ἀνδριάντα καὶ ἔρριψαν αὐτὸν εἰς τὴν θάλασσαν σταδίους τριάκοντα* hab. S (cf. p. 48 l. 1 infr.) 13 *δαιμόνων* XSV : *πνεύματων* C 15 *ἔχοιεν* XS : *ἔχει* CV 15 *καὶ* om. C 15 post *ὅτι* verbum *τῷ* hab. S

τὸ εἰωθὸς σημάναι ἔχει τὸ πάρεδρον τοῖς ἀκαθάρτοις δαίμοσιν τοῦ συλλαβέσθαι τὸν προσιόντα. ὁ δὲ μακάριος Παγκράτιος κλίνας τὰ γόνατα ἐπὶ πλείστην ὥραν καὶ ἀναστὰς καὶ ἁπλώσας τὰς χείρας προσηύξατο λέγων, "κύριε Ἰησοῦ Χριστὲ ὁ θεὸς ἡμῶν, σοφία καὶ δύναμις καὶ χαρακτὴρ τῆς πατρικῆς οὐσίας, ὑπάρχων φῶς ἐκ φωτός, θεὸς ἀληθινός, μόνε μονογενὴ υἱὲ καὶ λόγε τοῦ πατρός, ὁ τεχθεὶς ἐκ Μαρίας τῆς παρθένου διὰ πνεύματος ἁγίου, μνήσθητί μου ἐν τῇ ὥρᾳ ταύτῃ· σὺ γάρ, δέσποτα, ὢν ἐν μορφῇ θεοῦ, μορφὴν δούλου ἔλαβες. σὲ δυσωπῶ, ἀγαθὲ εὐεργέτα, ἐλθεῖν ἐπ' ἐμὲ τὴν ἀγαθότητά σου, καὶ ἐπισκιάσαι ἐπὶ τὴν κεφαλήν μου ἐν ἡμέρᾳ πολέμου. διότι, δέσποτα, ἐπίκεινται ἡμῖν πόλεμοι αἱ τῶν ἀκαθάρτων δαιμόνων φαντασίαι, καὶ τὸ σόν, ἀγαθέ, πλάσμα ἀεὶ ἐκ σοῦ ἐκσπᾶν θέλουσι, φιλάνθρωπε, καὶ τῇ ἰδίᾳ ἀπωλείᾳ προσφέρειν, ἀλλὰ δέομαί σου, κύριε Ἰησοῦ Χριστέ, ὁ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθὼν ἐπὶ τῆς γῆς, καταύγασον τὸ φῶς σου τὸ ἄϊδιον ἐν ταῖς καρδίαις τῶν ἐν τῇ πόλει ταύτῃ ἀνθρώπων, καὶ δὸς

XS(10 *ἐπισκιάσαι* - 11 *ἀκάθαρτων* mutil.) CVO

8. Phil. 2:7
9. Ps. 91:4

1 ~~τὸ εἰωθὼς nos~~ : ~~τὸ ἰωθῶς X τῶ ἰωθὸς S~~ τὸ εἰωθὸς C τὸ εἰοθῶς V 1 ἔχει XS : ἔχοι CV 3 ἐπὶ πλείστην (πλίστην S, πλήστην X, correxi) ὥραν XS : (1) om. CV 3 καὶ (1) om. C 4 προσηύξατο XCV : καὶ προσευξάμενος S 4 λέγων XV : ἔλεγεν S, om. C 4 post θεὸς verbum ὁ hab. XV 6 τοῦ πατρὸς om. CV 7 Μαρίας τῆς om. CV 7 διὰ XSC : ἐκ V 8 σὺ γὰρ - ἔλαβες om. X 8 ὢν SV : ὂν C 9 ἐπ' ἐμὲ XSV : εἰς ἐμὲ C 13 δέομαί XSV : δεόμεθά C 14 τῆς om. V 14 σου om. S 15 ἀνθρώπων om. CV 15 δὸς post ἡμῖν tr. CV

46.1

ἡμῖν λόγον ἐν ἀνοίξει τοῦ στόματος, εἰς τὸ ἐπικαλεῖσθαι τὴν χάριν τοῦ ἁγίου σου πνεύματος, καὶ ἐκδιηγεῖσθαι τῷ λαῷ τούτῳ τὰ θαυμάσιά σου, καὶ τὸν ἀκάθαρτον δαίμονα τὸν ἐν τῷ τόπῳ τούτῳ ἐνοικοῦντα, καὶ τὸ σὸν πλάσμα ἀπό σου ἀποστρέφοντα, σὺν πάσῃ τῇ ὁλεθρίᾳ δυνάμει αὐτοῦ, ὅλεσον, κύριε Ἰησοῦ Χριστέ," καὶ τελέσας ὁ μακάριος Παγκράτιος τὴν εὐχήν, ἐκάλεσε τὸ πάρεδρον τοῦ Φάλκονος λέγων, "Φάλκων σοφέ, μᾶλλον δὲ μωρὲ καὶ ἀναίσθητε, τί ἐνταῦθα πράττεις; πόσους δὲ χρόνους ἔχεις ἐν τῷ τόπῳ τούτῳ, τὸ τοῦ θεοῦ μου πλάσμα ἀπατῶν, ἵνα σοι τῷ κωφῷ καὶ ἀλάλῳ θυσίας προσφέρῃ καὶ ἐπιλάθηται τοῦ ἰδίου δημιουργοῦ;" τὸ δὲ πάρεδρον πρὸς τὸν μακάριον αὖθις ἀπεκρίνατο, "ἐπιτρέπεις μοι, δοῦλε τοῦ ἀληθινοῦ θεοῦ, εἰπεῖν σοι πόσους χρόνους ἔχω ἐν τῷ τόπῳ τούτῳ καὶ τί πράττω τὰς θυσίας παρὰ τῶν Ταυρομενιτῶν εἰσδεχόμενος;" ὁ δὲ μακάριος πρὸς αὐτόν, "ναί, ἐπιτρέπω σοι, κωφὸν καὶ ἀναίσθητον πάρεδρον, ἀλλὰ σὺ μὲν ὦτα ἔχεις ἀκαθαρσίας, καὶ τὸ τοῦ θεοῦ μου πλάσμα κωφοῖς καὶ ἀλάλοις εἰδώλοις

XS (5 *καὶ τελέσας* - 6 *εὐχήν* mutil.) CVO

1 post *στόματος* verbum *ἡμῶν* hab. V 1 post *χάριν* verbum *διὰ* hab. S 2 *σου* om. S 3 *ἐνοικοῦντα* CV : *οἰκοῦντα* X, corr. *ἐνοικοῦντα* X[1] *οἰκοῦντα* S 4 *ἀποστρέφοντα* XCV : *ἀποστραφέντα* S 5 *ὅλεσον* XC : *ὦλεσον* SV 5 *κύριε* om. C 6 *Παγκράτιος* om. C 6 *τὸ* XSV : *τὸν* C 6 post *λέγων* verbum *οὕτως* hab. CV 7 *σοφέ* om. C 8 *μου* om. S 9 *σοι* SV : *σὺ* XC 9 *προσφέρῃ* nos : *προσφέρει* XCV : *προσφέρειν* S 9 *ἐπιλάθηται* C : *ἐπιλάθητε* XS *ἐπιλάθεται* V 10 ante *τοῦ ἰδίου* verba *τῶν ἔργων* hab. S 10 *τοῦ ἰδίου δημιουργοῦ* C : *τοῦ δημιουργοῦ* S *τῷ ἰδίῳ δημιουργῷ* V 10 *μακάριον* XCV : *ἅγιον* S 10 *δὲ* om. X 10 *αὖθις* om. S 11 *ἀπεκρίνατο* XS : *ἀπεκρίθη* CV 11 *μοι* C : *με* XV : *μᾶς*, corr. *ἡμᾶς* S 11 *ἀληθινοῦ* XV : *κυρίου καὶ* S(?) om. C 12 *ἔχω* XCV : *ἔχωμεν* S 12 *καὶ* XSV : *ἢ* C 12 *παρὰ* om. C 13 post *τῶν* verba *πράττω τῶν* (sic) C 13 *Ταυρομενιτῶν* SCV : *Ταυρομενητῶν* X, hic et alibi 13 post *Ταυρομενιτῶν* verba *τὰς θυσίας* tr. V 13 *μακάριος* om. X

πεποίηκας θυσίας προσφέρειν. εἰπὲ δὲ νῦν, πόσους χρόνους ἔχεις ἐν τῷ τόπῳ τούτῳ οἰκῶν;" τὸ δὲ πάρεδρον ἀπεκρίθη, "δοῦλε τοῦ ἀληθινοῦ θεοῦ, διακόσια ἑξήκοντα ἔτη εἰσὶν ἀφ' οὗ κατὰ ἐνιαυσιαῖον χρόνον τὰς θυσίας εἰσδέχομαι, τρεῖς ἐφήβους, παῖδας ὡραίους καὶ καλούς, καὶ ἑβδομήκοντα τρία μοσχάρια ἁπαλὰ καὶ καλά, ἅπερ ᾐτησάμην αὐτούς, καὶ λοιπὸν τὴν ὑπερηφανίαν μου ἐπ' αὐτοὺς ἐφαπλώσας, πολλοὺς ἀπέκτεινα. νυνὶ δὲ αἰχμάλωτος γέγονα, καὶ οἱ ἐμοὶ βοηθοῦντες κατόχιον ἐν τῷ στόματι ἔλαβον, καὶ φόβος πολὺς περιέχει ἡμᾶς καὶ δειλία ἔπεσεν ἐφ' ἡμᾶς· ὁρῶμεν γὰρ πῦρ ἐν ταῖς χερσί σου κατεχόμενον καὶ καταφλέγοντα ἡμᾶς." ὁ δὲ μακάριος Παγκράτιος ταῦτα ἀκούσας παρὰ τοῦ παρέδρου, ἐξελθὼν ἐκ τοῦ ναοῦ καὶ κράξας φωνῇ μεγάλῃ εἶπεν, "ὁρκίζω ὑμᾶς, πνεύματα ἀκάθαρτα σὺν τῷ μιαρῷ παρέδρῳ, κατὰ τοῦ ὀνόματος τοῦ πατρὸς καὶ τοῦ ἁγίου υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ καὶ τοῦ προσκυνητοῦ καὶ ζωοποιοῦ πνεύματος, συνελθεῖν τὴν συναγωγὴν ὑμῶν τοῦ συλλαβέσθαι τὸν κωφὸν καὶ ἀναίσθητον

XSCVO

1 νῦν om. S 3 διακόσια ἑξήκοντα ἔτη εἰσὶν ἀφ' οὗ X : διακόσια ἑξήκοντα ἀφ' οὗ S διακόσια ἑξήκοντα ἔτη εἰσὶν C διακόσια ἑξήκοντα ἔτη V 3 - 4 τὰς θυσίας εἰσδέχομαι om. CV 4 εἰσδέχομαι X : εἰσδεχόμενος S 4 τρεῖς ἐφήβους, παῖδας ὡραίους καὶ καλούς nos : τρεῖς φοῖβους παῖδας ὁραίους καὶ καλούς C τρεῖς ἐφήβους καὶ ὡραίους παῖδας καὶ καλούς X τρεῖς ἐφήβους καὶ παῖδας ὡραίους καὶ καλούς V τρεῖς ὡραίους παῖδας καὶ τρεῖς ἐφήβους ὡραίους καὶ καλούς S 4 post καλούς verbum λαμβάνω hab. CV 5 post ἅπερ verbum καὶ hab. XCV 6 λοιπὸν om. S 7 νυνὶ XS : νῦν CV 7 γέγονα S : ἔμεινα XCV 7 βοηθοῦντες XS: συμβοηθοῦντες CV 8–9 καὶ δειλία - ἡμᾶς (l. 10) om. S, propter homoioteleuton 9 ἔπεσεν X : ἐπέπεσεν CV 11 φωνῇ XSC : φωνὴν V 11 μεγάλῃ om. XSV 12 πνεύματα ἀκάθαρτα S : δαίμονες ἀκάθαρτοι XCV, fort. recte 13 - 14 καὶ τοῦ ἁγίου υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ X καὶ τοῦ ἁγίου λόγου αὐτοῦ Ἰησοῦ Χριστοῦ V τοῦ υἱοῦ S υἱοῦ C
14 προσκυνητοῦ καὶ ζωοποιοῦ XCV : ἁγίου S

Φάλκονα, καὶ ῥίψαι αὐτὸν εἰς τὴν θάλασσαν σταδίους τριάκοντα, καὶ ὑμεῖς πάντες ἔσεσθε ἐν τῷ ἀφανεῖ βυθῷ σὺν αὐτῷ ἕως τῆς ἡτοιμασμένης μεγάλης ἡμέρας τῆς κρίσεως." καὶ εὐθέως, ὥσπερ ἦχον ἀνέμων, συνῆλθον σὺν τῷ λόγῳ Παγκρατίου ὡσεὶ πλῆθος κοράκων καὶ γυπῶν καὶ συνελάβοντο τὸν ναὸν σὺν τῷ ἀνδριάντι καὶ τὸν τάφον Φάλκονος καὶ ἔρριψαν αὐτὸν εἰς τὴν θάλασσαν, ὥστε ἀκοῦσαι ἡμᾶς τῆς πτώσεως αὐτοῦ ἐν τῷ ὕδατι, ὡς ἦχος μεγάλου πίπτοντος ὄρους, καὶ ἐγένετο ὁ τόπος τοῦ Φάλκονος ἀνόμοιος, ὥστε μὴ γνωρίζειν ἡμᾶς τὸν ναόν, ποῦ ἦν, ἢ πῶς διέκειτο. ὁ δὲ Λυκαονίδης θαυμάζων ἐδόξαζε τὸν κυρίον ἡμῶν Ἰησοῦν Χριστὸν ἐν τῷ γεγονότι διὰ προσευχῆς Παγκρατίου. μετὰ οὖν τρίτην ἀλεκτοροφωνίαν, ἤλθομεν ἐν τῷ οἰκίσκῳ τοῦ ναυκλήρου· νύξ γὰρ ἦν, ὅτε προσεγγίσαμεν τῷ Φάλκονι. σταθέντες οὖν σὺν τῷ μακαρίῳ Παγκρατίῳ ἐγώ τε καὶ Λυκαονίδης, ἐπετελέσαμεν τὸν ἑωθινὸν κανόνα. ὡς δὲ ἡμέρα ἐγένετο, προσελθὼν ὁ Λυκαονίδης τῷ μακαρίῳ Παγκρατίῳ, ἔφη, "δέομαί σου, τίμιε πάτερ,

XS (6 ἡμᾶς - 8 ἐγένετο mutil.) CVO

2 - 3 Mt. 25:41

2 ἔσεσθε S : ἔσεσθαι X ἔσται C ἔστε V 3 κρίσεως XS : κολάσεως CV 3 ὥσπερ om. C 3 ἦχος XSV : ἦχοι C 4 συνῆλθον X : συνῆλθων S ἦλθασιν CV 4 πλῆθος om. CV 4 - 5 καὶ γυπῶν om. S 5 συνελάβοντο SCV : συνέλαβον X 5 τὸν τάφον XS : τῷ τάφῳ CV 7 post αὐτοῦ verbum τῆς hab. C 7 ἦχον nos : ἦχος CV ἤχους X 7 μεγάλου XV : πολὺς C 8 τοῦ om. C 8 γνωρίζειν XCV : γνωρίσαι S 9 δὲ XS : οὖν CV 9 θαυμάζων XCV : θαυμάσας S, fort. recte 10 post γεγονότι verbum θαύματι hab. C 11 ante Παγκρατίου verba τοῦ μακαρίου hab. C 11 οὖν SCV : γοῦν X 11 τρίτην ἀλεκτοροφωνίαν nos : τρίτον ἀλεκτοροφονείαν S τρίτον ἀλεκτοροφωνίας X τρίτον ἀλέκτορα V ὥρας δύο C 12 οἰκίσκῳ τοῦ ναυκλήρου XV : οἰκίσκῳ τοῦ ναυκλήρῳ S ναυκληρίῳ C 13 σταθέντες S σταθέντος X σταθεὶς CV 13 σὺν τῷ μακαρίῳ Παγκρατίῳ ἐγώ τε καὶ Λυκαονίδης XS : ὁ μακάριος Παγκράτιος σὺν ἐμοὶ καὶ Λυκαονίδῃ CV 13 Λικαονίδης hic et alibi, sed non ubique, hab. S 14 ἡμέρα ἐγένετο XS : ἡμέρα ἐπληρώσαμεν V ἐπληρώσαμεν C

κέλευσόν μοι ἀνελθεῖν ἐν τῇ πόλει πρὸς Βονιφάτιον τὸν ἡγεμόνα καὶ Αὐριλιανὸν τὸν πολιτάρχην, καὶ ἰδεῖν εἰ γεγνώρισται, ὅτι παρῆς αὐτὸς ἐνταῦθα· ἔχω γὰρ ἔθος, ὅτε παραγίνομαι ἐκ τῆς ἐμῆς πραγματείας κομίζειν αὐτοῖς εἴτιδ' ἂν βουληθῶ." ὁ δὲ μακάριος Παγκράτιος ἐπευξάμενος ἀπέλυσεν αὐτὸν λέγων, "ἄπελθε, τέκνον, ἐν εἰρήνῃ, καὶ βλέπε, μή τίς σε χωρίσῃ ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ, ἀλλὰ ἀνδρεῖος γενοῦ πρὸς τὴν πίστιν, ἣν παρηκολούθησας σὺν ἡμῖν." ὁ δὲ Λυκαονίδης λαβὼν μεθ' ἑαυτοῦ ἀμφιτάπητα ἓξ πάνυ καλὰ καὶ τερπνὰ Ἀσιανά, καὶ τριάκοντα κεράμια ἐλαίου, καὶ ἕτερα τριάκοντα κεράμια οἴνου νησαίου, ἀνῆλθε πρὸς Βονιφάτιον, ἀποστείλας διὰ πιστοῦ αὐτοῦ παιδὸς πρὸς Αὐριλιανὸν τὸν πολιτάρχην τὰ πρὸς συνήθειαν διδόμενα. εἰσελθὼν οὖν ὁ Λυκαονίδης πρὸς Βονιφάτιον, εὗρεν αὐτὸν ἐν τῷ πραιτωρίῳ εὐφραινόμενον μετὰ ἑτέρων τριῶν φίλων αὐτοῦ ἐν ἀρίστῳ. θεασάμενος οὖν ὁ Βονιφάτιος τὸν Λυκαονίδην, εἶπε πρὸς αὐτόν, περιχαρὴς γενόμενος, "χαίροις, Λυκαονίδη, φίλε ἡμέτερε, καλῶς πρὸς

XS (1 *ἀνελθεῖν* - 3 *πραγματείας* mutil.) CVO

6 Rom. 8:35, 39

1 *μοι* XS : *με* CV 1 *ἀνελθεῖν* XV : *ἀπελθεῖν* C 1 *Βονιφάτιον* V : *Βονηφάτιον* XSC, hic et alibi 2 *πολιτάρχην* V : *πολυτάρχην* X *πολυτάρχειν* C 3 *γὰρ* X : *δὲ καὶ* C *δὲ* V 3 *παραγίνομαι* V : *παραγίνομαι*, corr. *-ομε* X *ἔλθω* C 4 *εἴτιδ' ἂν* V : *ἤτιδ' ἂν* XC *ἤτειαν* S 6 *μή τις* XS : *μήδεις* CV 6 *ἀλλὰ* XSV : *ἀλλ'* C 6 *ἀνδρεῖος* XC : *ἀνδρείως* S *ἀνδρίως* V 7 *σὺν* om. XS 8 *μεθ' ἑαυτοῦ* om. S 8 *ἀμφιτάπητα* nos : *ἀμφητάπητα* XS *ἀπφιτάπιτα* V *ἄμφιτα* C 8 *ἓξ* om. C 8 *καλὰ καὶ τερπνὰ* S : *καλὰ ἔντερπνα* X *καλὰ* C *τερπνὰ ἔνκαλα* V 8 *Ἀσιανά* om. C 9 *τριάκοντα* om. V 10 *νησαίου* V : *νισαίου* C *νησααίου* XS 10 *ἀνῆλθεν* XS : *ἦλθεν* CV 10 *διὰ* XS : *κατὰ τοῦ* CV 11 *συνήθειαν* S : *συνήθιαν* X *συνήθη* CV 12 *εἰσελθὼν οὖν* nos : *εἰσελθὸν οὖν* S *εἰσελθὼν τοιγαροῦν* X *καὶ εἰσελθὼν* V *καὶ εἰσελθὸν*, corr. *εἰσελθὼν* C 13 *μετὰ ἑτέρων τριῶν φίλων* X : *μετὰ ἑτέρων φίλων τριῶν* S *μετὰ τριῶν φίλων* C *μετὰ τῶν τριῶν φίλων* V 13 ante *ἀρίστῳ* verbum *τῷ* hab. C 14 *θεασάμενος οὖν* X : *θεασάμενος δὲ* S *καὶ ἰδὼς* CV 14 *ὁ* om. S 15 *περιχαρὴς γενόμενος* ante *εἶπε* tr. C 15 *γενόμενος* SCV : *γενάμενος* X

ἡμᾶς παραγέγονας, ἄξια ἡμῶν δῶρα προσενέγκας." ὁ δὲ Λυκαονίδης ἔλεγε καὶ αὐτὸς πρὸς Βονιφάτιον, "χαίροις καὶ αὐτός, κύριε ἡγεμών, ἀξίως τὸ λαμπρὸν ὑπατικὸν περιβεβλημένος, διὸ καὶ τοποκτίστης ἐκλήθης." ἐξανέστησαν οὖν οἱ φίλοι αὐτοῦ ἐκ τῆς τραπέζης. συμπαραλαβὼν δὲ ἕνα φίλον αὐτοῦ, ὃς ἦν τριβοῦνος, καὶ τὸν Λυκαονίδην, ἀνῆλθον ἔν τινι ὑπερῴῳ, καὶ καθεσθέντες ἤρξατο ὁ Βονιφάτιος ἐρωτᾶν αὐτὸν περὶ Ἀσίας καὶ Λακεδαιμονίας καὶ πασῶν τῶν μερῶν ἐκείνων, τῶν τε βασιλέων καὶ τοπάρχων. "καὶ πῶς, φίλε Λυκαονίδη, τὰ ἐπαρχικὰ πράγματα διαπρέπουσιν;" καὶ φησὶν Λυκαονίδης, "ἄκουσον, κύριε ἡγεμών, πάντα εἰς εἰρήνην εἰσίν, καὶ Ἀσία, καὶ Λακεδαιμονία, καὶ τὰ ἐπαρχικὰ μέρη καλῶς διαπρέπουσιν τοῖς πράγμασιν, διότι εἰρήνη μεγάλου θεοῦ ἐπεσκίασεν αὐτούς, καὶ σῴζει τοὺς αὐτῷ προσπελάζοντας, καὶ πᾶσαν ἀκαταστασίαν κατεπράϋνεν ὡς θεὸς ἀληθής." ὁ δὲ Βονιφάτιος ἔφη πρὸς Λυκαονίδην, "καὶ ποῖος θεός, φίλε πιστέ, πλέον τῶν θεῶν ἡμῶν ἴσχυσεν ἢ ἰσχύει;" ὁ

XSCVO

1 ante ἄξια verba ἦ καὶ hab. C 1 προσενέγκας SV : προσηνέγκας XC 2 καὶ αὐτὸς ante ἔλεγε tr. CV 2 ἡγεμών XCV : ἡγεμόν S, hic et alibi 3 λαμπρὸν om. S 3 περιβεβλημένος XSV : περιβεβλημένε C, fort. recte 3 διὸ XSV : ὡς C 3 τοποκτίστης XCV : τοπωκτίσθεις S 4 ἐκλήθης XV : ἐκλήθεις S ἐκλίθης C 4 ἐξανέστησαν XS : ἐξαναστάντες CV 4 αὐτοῦ om. C 5 συμπαραλαβὼν X : παραλαβὸν S συμπαρέλαβε CV 5 δὲ XS : καὶ V, om. C 5 post ἕνα verbum πιστὸν hab. V 5 φίλον XSV : τῶν φίλων C 6 ἀνῆλθον S : ἀνήλθων X καὶ ἀνῆλθον CV 6 καθεσθέντες XCV : καθέστων αὐτῶν S, fort. καθεσθέντων αὐτῶν emendandum ? 7 ἐρωτᾶν SCV : ἐπερωτᾶν X 8 τε om. CV 8 βασιλέων XSC : βασιλειῶν V 8 post τοπάρχων verba φησὶν ὅτι, πρὸς εἰρήνην εἰσίν hab. CV 10β ante Λυκαονίδης verbum ὁ hab. V 9 καὶ φησὶν XSV : ὁ δὲ C 9 post Λυκαονίδης verba πρὸς αὐτόν hab. C 10 εἰς XSV : πρὸς C 12 πράγμασιν XCV : προστάγμασιν S 12 διότι XSV : ὅτι C 13 αὐτῷ XSV : εἰς αὐτὸν C 14 κατεπράϋνεν XS καταπεπράϋκεν C πεπράοικεν V 14 ἀληθής CV : ἀληθινός (-εινός S) XS 14 δὲ XS : οὖν CV 14 ἔφη om. CV 14 πρὸς om. C 14 ante Λυκαονίδην verbum τὸν hab. C 15 πλέον nos : πλείων SC, fort. recte πλεῖον XV

δὲ Λυκαονίδης φησίν, "ἄκουσον, Βονιφάτιε, ἡγεμὼν καὶ λαμπρὲ ὕπατε καὶ τοποκτίστα, ἔρωτᾷς, 'ποῖος θεὸς ἰσχυρότερος τῶν ἡμετέρων θεῶν;' Ἰησοῦς Χριστὸς ὁ κύριος τοῦ παντὸς ὁ ποιητὴς οὐρανοῦ καὶ γῆς καὶ θαλάσσης, ὁ πληρώσας φωτὸς ἀϊδίου τὸν κόσμον ἅπαντα, ὁ τὰ πεπλανημένα πρόβατα εἰς τὴν οἰκείαν μάνδραν προσέλᾶσας· καὶ οὐκέτι ἡ τῶν εἰδώλων πλάνη πράττει, οὐκέτι ὄνειρα καὶ μαντείαι ἀναπτεροῦσιν ἡμᾶς, οὐκέτι υἱοὺς καὶ θυγατέρας προσφέρομεν τοῖς ἀκαθάρτοις δαίμοσι, λίθοις ἀλάλοις καὶ γυψοπλάστοις, ἀλλὰ θεῷ ἀληθινῷ, ζῶντι καὶ διαμένοντι, θυσίαν αἰνέσεως καὶ λατρείαν λογικὴν προσφέρομεν τῷ τῶν ἁπάντων θεῷ." ὡς δὲ ἤκουσεν ὁ Βονιφάτιος παρὰ Λυκαονίδους ταῦτα, ἐννεὸς γενόμενος ἔφη, "τίς ὁ λόγος οὗτος, Λυκαονίδη, φίλε πιστέ; ὄντως τὰ ῥήματά σου εἰς ἔκστασίν με ἤνεγκαν, ὡς οὐδέπω τις λόγος· ἀλλὰ παρακαλῶ σε, φίλε πιστὲ καὶ ἀγαθέ, φρᾶσον ἡμῖν σαφῶς τὰ εἰρημένα· ἡδέως γὰρ τὴν συντυχίαν εἰσδέχομαι," καὶ μόνον τοῦτον τὸν λόγον εἰρηκὼς ὁ Βονιφάτιος, πρὶν

XS (7 *υἱοὺς* - 9 *αἰνέσεως* mutil.) CVO

1 *φησὶν* om. CV 1 - 2 *Βονιφάτιε* - *τοποκτίστα* : *κύριε ἡγεμὸν* S 1 *καὶ* om. C 2 *ὕπατε* XC : *ὑπατικέ* V 2 - 3 *τῶν ἡμετέρων θεῶν* XSV : *τῶν θεῶν ἡμῶν* C 5 *προσέλασας* XCV : *ἔλασας* S 6 *πράττει* SCV : *ταράττει* X, ~~fort. recte~~ 7 *προσφέρομεν* V : *-ωμεν* XC 8 *γυψοπλάστοις* XV : *ζυγοπλάστοις* C 9 *ἀληθινῷ ζῶντι* XC : *ζῶντι καὶ ἀληθινῷ* V 10 *προσφέρομεν* V : *-ωμεν* XSC 11 *ἐννεὸς* V : *ἐνεὸς* XS *ἐνεὼς* C 11 *γενόμενος* XCV : *γενάμενος* S 12 ante *φίλε* verbum *ὦ* hab. V 12 *φίλε* om. C 12 *τὰ ῥήματά σου* om. C 12 *ἤνεγκαν* XSV : *ἤνεγκεν* C 13 *οὐδέπω* XSV : *οὐδέποτε* C 13 *τις λόγος* XSV : *ὁ λόγος σου* C, fort. recte 13 ante *φίλε* verbum *ὦ* hab. SC 13 *ἀγαθέ* CV : *ἀγαπητέ* XS, fort. recte 15 *τοῦτον* post *λόγον* tr. XSC 15 *πρὶν* XSV : *ἵνα* C

ἄρξηται τὸν σωτήριον ἐκδιηγεῖσθαι λόγον ὁ Λυκαονίδης, καὶ ἰδού, ἔφθασεν ἡ συστροφὴ τῶν ἀκαθάρτων ἱερέων· ἦλθον γὰρ στασιάζοντες φωνῇ ἰσχυρᾷ εἰς τὸ πραιτώριον Βονιφατίου, "ὦ ἡγεμών, λαμπρὲ ὕπατε καὶ τοποκτίστα, ἀξιόπιστε τῶν μεγίστων θεῶν, τί καθεύδεις, καὶ τὸ συμβᾶν οὐκ ἐξέρχῃ καὶ ζητεῖς;" οἱ οὖν παίδες Βονιφατίου ἀκούσαντες τὸν θόρυβον, προέδραμον καὶ κατασείσαντες τῇ χειρὶ τὰς ἀτάκτους φωνὰς κατέστειλαν. ὑποστρέψαντες δὲ λέγουσιν τῷ ἡγέμονι, "οὐ θέλουσιν ἡμῖν τὴν σύμβασιν τοῦ πράγματος εἰπεῖν." φόρεσας οὖν ὁ Βονιφάτιος τὴν ζώνην αὐτοῦ, ἀνῆλθεν ἐν τῷ ἀνωτέρῳ πτερυγίῳ τοῦ ὑπερῴου. θεασάμενοι δὲ αὐτὸν οἱ ὄχλοι ἔκραζον πάντες μιᾷ φωνῇ λέγοντες, "ὦ ἡγεμών, ὦ ὕπατε λαμπρέ, ὦ τοποκτίστα, τί συνέβη ἡμῖν;" ὁ δὲ Βονιφάτιος φησίν, "ἄνδρες, ἱερεῖς τοῦ μεγάλου θεοῦ Φάλκονος, τί συνέβη ὑμῖν;" οἱ δὲ ὁλολύζοντες ἔλεγον, "ἴδε, ἡγεμών, οἷον συνέβη ἡμῖν πρᾶγμα, οἷον οὐδεμία τῶν πέριξ πόλεων ὑπέστη ποτέ, οὐδὲ τὰ πατρῷα ἔθη οὕτως ἔσχον. ὁ ποθητὸς ἡμῶν Φάλκων

XS (3 *ἡγεμών* - 4 *καθεύδεις* mutil.) CVO

1 *τὸν σωτήριον ἐκδιηγεῖσθαι λόγον* X : *τῶν σωτηρίων ἐκδιηεῖσθαι λόγων* S *τὸν σωτήριον λόγον* CV 1 *καὶ ἰδοὺ ἔφθασεν* X : *ἔφθασεν* S *καὶ* CV (cf.l.) 2 *ἱερέων* XSV : *θεῶν* C 2 *γὰρ* om. CV 3 *φωνῇ ἰσχυρᾷ* XSC : *φωνὴν ἰσχυρὰν* V 4 post *θεῶν* verbum *Βονιφάτιε* hab. CV 4 *καθεύδεις* X : *καθεύδῃ* CV 4 post *καθεύδεις* verba *τὸ κράτος σου* hab. X 5 *ἐξέρχῃ* V : *ἐξέρχει* XC *ἔρχει* S 5 *καὶ ζητεῖς* XS : *ζητεῖς* C *ζητεῖν* V 5 *οὖν* XCV : *δὲ* S 5 *Βονιφατίου* om. CV 6 *προέδραμον* XSV : *προσέδραμον* C 6 *τῇ χειρὶ* S : *ταῖς χερσὶν* XV, fort. recte *τὰς χεῖρας αὐτῶν* C 7 *κατέστειλαν* XCV (ante *τὰς ἀτάκτους φωνὰς* tr. CV) : *προέστειλαν* S 7 *ὑποστρέψαντες δὲ λέγουσιν τῷ ἡγέμονι* S : *ἐλθόντες οὖν οἱ παῖδες λέγουσιν* (*ἀνήγγειλαν* C, *εἶπαν* V) *ὅτι* XCV 8 *θέλουσιν* XSC : *-ωσιν* V 8 *τὴν σύμβασιν τοῦ πράγματος εἰπεῖν* XCV : *εἰπεῖν τί τὸ σύμβαν* S 9 - 10 *τοῦ ὑπερῴου* om. CV 10 *θεασάμενοι δὲ* XS : *καὶ θεασάμενοι* CV 10 *αὐτὸν* XS : *τὸν Βονιφάτιον* CV 10 *οἱ ὄχλοι* om. CV 10 *ἔκραζον πάντες* X : *ἔκραξαν πάντες* S *εἶπων* C *εἶπον* V 10 - 11 *μιᾷ φωνῇ λέγοντες* om. XCV 11 *ὦ* (1) om. S 11 *λαμπρέ* om. C 11 *τί* S : *τί γὰρ* X *καὶ τί* CV 12 - 13 *τοῦ μεγάλου θεοῦ Φάλκονος* post *τοποκτίστα* tr. S 13 *ἔλεγον* X : *ἔλεγων* S *εἶπον* C *εἶπαν* V 14 *οἷον* XS : *ὃ* CV 15 *ποτέ* XCV : *πόποτε* S 15 *ἔσχον* V : *ἔσχων*, corr. *ἔσχον* C *ἔσχοντο* S *ὤχοντο* X

ὥλετο καὶ ἡ εὐπρέπεια τοῦ ἀνδριάντος αὐτοῦ ἀφανὴς ἐγένετο καὶ τὰ θυσιαστήρια καὶ ὁ θρόνος ὁ χρυσοκόλλητος τοῦ μεγάλου παρέδρου καὶ ἁπλῶς, κύριε ἡγεμών, οὕτως ἠφάντῳται τὸ μέγα θυσιαστήριον τοῦ μεγάλου θεοῦ ἡμῶν Φάλκονος, ὡς μὴ γνωρίζειν ἡμᾶς ἔτι τὸν τόπον τοῦ θυσιαστηρίου, οὗ δίεκειτο." ὁ δὲ Βονιφάτιος λέγει, "ἄνδρες, ἱερεῖς τῶν μεγίστων θεῶν τῆς Ταυρομενιτῶν πόλεως, μὴ ἄρα ὑπερηφανευσάμενος ἡμᾶς εἰς ἑτέραν πόλιν ἀπεδήμησεν, ἐπεὶ ποῖος θεὸς ἐν δυναστείᾳ ὑπάρχων βίαν παρά τινι πανθάνει; μὴ ἴσως τὰς καθαρὰς θυσίας οὐκ εἰσδέδεκται καί, ὡς προείρηκα, ἐν ἑτέρᾳ πόλει ἀπῆλθε καὶ μῖσος ἐμίσησεν ἡμᾶς; ἀλλὰ ἀπέλθετε ἕκαστος ὑμῶν εἰς τὸ σκήνωμα αὐτοῦ καὶ ἡσυχάσατε καὶ πάντως ποιῆσαι ἔχομεν ἔρευναν περὶ τοῦ πραχθέντος." οἱ δὲ ἱερεῖς τοῦ ἀναισθήτου Φάλκονος πρὸς Βονιφάτιον εἶπον, "ἡμεῖς καὶ τὰς θυσίας αὐτῷ προσηνέγκαμεν καὶ πᾶσαν ἀρεσκείαν κατὰ τὴν πατρῴαν παράδοσιν ἐποιησάμεθα. τί οὖν ἔδοξεν ἢ συνέβη αὐτῷ, οὐκ ἐπιστάμεθα. θέλησον δέ, κύριε ἡγεμών, ἔρευναν

XSCVO

1 *τοῦ ἀνδριάντος αὐτοῦ* XSC : *τῆς ὡραιότητος αὐτοῦ τοῦ ἀνδριάντος* V 2 *μεγάλου* om. CV 4 *ὡς* SCV : *ὡσεὶ* X 4 *τὸν τόπον* om. S 5 *οὗ* XSV : *ποῦ* C 5 *λέγει* XV : *εἶπεν* C *πρὸς αὐτοὺς* S 6 ante *Ταυρομενιτῶν* verbum *τῶν* hab. V 6 *Ταυρομενιτῶν* XV : *Ταυρομενητῶν* C *Ταυρομένη τὸν* S 6 *ἄρα* om. CV 7 *ἀπεδήμησεν* X : *ἀπειδίμησεν* SC *ἀπεπήδησεν* V 8 *καθαρὰς* V : *θερηνὰς* S *θερινὰς* X *θαρρικὰς* C 9 *προείρηκα* XSV : *προεῖπον* C 9 *ἀπῆλθεν* XSV : *ἀπεδίμησεν ἴσος* C 10 *ἡμᾶς* XC : *ὑμᾶς* SV 10 *ἀλλὰ* om. XCV 10 *ἀπέλθετε* C : *-ατε* XSV 10 *ὑμῶν* om. XCV 11 *ἡσυχάσατε* XC : *ἡσυχάσαται* V *ἐσυχάσατε* S 11 post *ἡσυχάσατε* verba *ἐν ταῖς σκηναῖς ὑμῶν* (*ἡμῶν*, corr. *ὑμῶν* X) hab. XCV 11 *ἔχομεν* V : *ἔχομεν*, corr. *-ωμεν* C *ἔχωμεν* XS, fort. recte 11 - 12 *τοῦ πραχθέντος* XCV : *τούτου* S 13 *εἶπον* om. CV 14 *παράδοσιν* XCV : *παράθεσιν* S 14 *οὖν* XS : *δὲ* CV 14 post *ἤ* verbum *τί* hab. C

ποιήσασθαι, μὴ καὶ εἰς ἑτέραν πόλιν μετεποίησεν, ἵνα ἄξιοι γενώμεθα τῆς προσκυνήσεως αὐτοῦ, καὶ ἐὰν εἴπῃ ἡμῖν τὴν αἰτίαν, ὅτι ἕνεκεν θυσίας ἑτέρας ζητῶν, μῖσος ἐμίσησεν ἡμᾶς, προστιθέμεθα ὡς οἰκέται τῆς μεγάλης αὐτοῦ προνοίας." ὁ δὲ Βονιφάτιος πρὸς αὐτούς, "ἄνδρες Ταυρομενίται, ἰδού, εἶπον ὑμῖν, ἀπέλθετε ἕκαστος εἰς τὴν σκηνὴν αὐτοῦ καὶ ἡσυχάσατε, καὶ εἰ θεός ἐστιν, πάντως φανερωθῆναι ὑμῖν ἔχει." οἱ δὲ ἄνδρες ὡς ἐξ ἑνὸς στόματος ἔκραζον λέγοντες, "ὦ Βονιφάτιε, οὐχὶ σὺ ἐπίστασαι τὸν φοῖβον καὶ καθαρὸν Φάλκονα υἱὸν Φαλκονίλλης; οὐχὶ τὰς προνοίας πολλάς σοι ἐποιήσατο; οὐχὶ πολλάκις συμποσίων παρόντων τὸν καθαρὸν αὐτοῦ βίον ἡμῖν ἐσαφήνιζες; καὶ πῶς ἄρτι, ὡς μὴ ἐπιστάμενος αὐτόν, λέγεις, 'εἰ θεός ἐστιν, ἰσχυρῶς φανήσεται ὑμῖν';" ἀποκριθεὶς δὲ ὁ Βονιφάτιος λέγει, "εἶπον ὑμῖν, ὦ ἄνδρες σοφοί, ὅτι πάντως εὑρεῖν ἔχω τὴν αὐτοῦ ὥλεσιν, ἢ ὡς μὴ προσενέγκαντας ὀρθῶς τὰς θυσίας ἢ ὡς ὑπερήφανος ἐβδελύξατο ἡμᾶς." οἱ δὲ ἀκούσαντες παρὰ Βονιφατίου ταῦτα, ἀπῆλθεν ἕκαστος

XS (4 ἄνδρες - 6 ἡσυχάσατε, 14 ἐβδελύξατο - 55.1 εἰσελθὼν mutil.) CVO

1 μὴ καὶ XS : καὶ ἡ CV 1 ἵνα om. CV 1 γενώμεθα nos : γενόμεθα XSCV 2 ἐὰν om. C 3 προστιθέμεθα S : προστίθεμεν X προστίθομεν C προστίθωμεν V fort. προστιθώμεθα emendandum 3 ὡς οἰκέται post προνοίας tr. S 4 αὐτούς XS : τοὺς ἄνδρας CV 5 ἀπέλθετε C : -ατε XV 6 ὑμῖν XS : ἡμῖν CV, fort. recte 7 ἔκραζον λέγοντες S : ἔκραζον X ἔφησαν CV 8 καὶ καθαρὸν om. C 8 καθαρὸν XS : καθαρώτατον V 9 σοι ante πολλὰς tr. C 9 post οὐχὶ (2) verba ὅραμοι καὶ ἐπὶ τῶν Ἑλλήνων τὴν σωφροσύνην ἐγαινου [...] in marg. add. X¹ 11 ἄρτι SV : ἀρτίος X ἀρτίως C 11 λέγεις SCV : λέγης X 11 - 12 εἰ θεός ἐστιν, ἰσχυρῶς φανήσεται ὑμῖν V : εἰ θεὸς ἰσχυρός ἐστιν, φανήσεται ὑμῖν ἔχει S : εἰ θεὸς ἰσχυρὸς φανήσεται ὑμῖν X εἰ θεὸς ἰσχυρὸς φανήσεται ἡμῖν ἔχει C 11 post θεός verbum ἰσχυρὸς hab. S 12 ἀποκριθεὶς δὲ XS : πάλιν ἀποκριθεὶς CV 12 λέγει XS : εἶπεν CV 13 post σοφοί verbum μακροθυμήσατε hab. C 13 ὅτι XSV : καὶ C 13 τὴν αὐτοῦ ὄλεσιν (ὤλεσιν S) XSV : τὴν ἀπόλιαν αὐτοῦ C 13 ἢ ὡς μὴ XCV : ἐγὼ καὶ οἱ (οἱ add. supr. lin.) μὴ S 14 προσενέγκαντας nos : προσενέγκαντες XSCV 14 ὀρθῶς XCV : αὐτῷ S 15 ἡμᾶς XC : ὑμᾶς V 15 οἱ om. C 15 ἀπῆλθεν XV : ἀπῆλθον C

αὐτῶν εἰς τὸ ἴδιον σκήνωμα. εἰσελθὼν οὖν Βονιφάτιος, ὅπου ἦν Λυκαονίδης σὺν τῷ φίλῳ αὐτοῦ καθεζόμενος, ὁ μὲν τριβοῦνος, ὡς μὴ ἀκούσας τί λελάληται, ἀναστὰς ἀνεχώρησεν. ὁ δὲ Βονιφάτιος φησὶν πρὸς Λυκαονίδην, "ἤκουσας, φίλε πίστε, τὰς ἀτάκτους φωνὰς τῶν ἱερέων;" ὁ δὲ Λυκαονίδης, "τί γάρ ἐστιν, κύριε ἡγεμών;" ὁ δὲ Βονιφάτιος ὅτι, "ὡς λέγουσιν, ὁ θεὸς αὐτῶν Φάλκων ἄφαντος ἐγένετο, καὶ ἦλθον κατακράζοντες, καὶ ἀπορῶ μὴ εὑρηκὼς τί ποιήσω." ὁ δὲ Λυκαονίδης ἀρξάμενος τῆς ἀληθινῆς συντυχίας εἶπεν, "ἄκουσον, κύριε ἡγεμών, λαμπρὲ Βονιφάτιε, ἀξίως τὸ ὑπατικὸν περιβεβλημένος, ἀξιοῦμεν τὸ σὸν θεῖον νεῦμα καὶ μεγαλόψυχον, ὅτι, ὡς προείρηκα, τὰ τῆς αἰσχύνης ἱερατεύματα ἡ τρισυπόστατος θέοτης κατῄσχυνεν, καὶ οὐκέτι τοῖς ἀκαθάρτοις δαίμοσιν θύομεν, ἀλλ' ὡς προείρηκα, θεῷ ζῶντι καὶ διαμένοντι, καὶ οὐκέτι πράττουσιν αἱ τῶν εἰδώλων φαντασίαι, οὐδὲ ὀνειράτων καὶ μαντείων μηνύματα· ὁ γὰρ ὕψιστος θεὸς ἀπέστειλε τὸν υἱὸν αὐτοῦ εἰς τὸν κόσμον ἐν ὁμοιώματι ἀνθρώπου

XS (usque ad 1 *εἰσελθὼν* mutil.) CVO

1 *αὐτῶν* om. C 1 ante *Βονιφάτιος* verbum *ὁ* hab. V 2 ante *Λυκαονίδης* verbum *ὁ* hab. CV 2 - 3 *καθεζόμενος, ὁ μὲν τριβοῦνος ὡς μὴ ἀκούσας τί λελάληται* (*λελάληται* S *λέλαται*, corr. *λελάληται* X), *ἀναστὰς ἀνεχώρησεν* (*ἀνεχώρισεν* S) XS : *ἀνέστημεν ἅμα καὶ ὁ τριβοῦνος ὡς μὴ ἀκοῦσας τί λελάληται καὶ ἀνεχώρησεν* C *καθεζομένῳ ἀνέστη μὲν ὁ τριβοῦνος ὡς μὴ ἀκοῦσας τί λαλεῖται καὶ ἀνεχώρησεν* V 3 *ὁ δὲ Βονιφάτιος* (*Βονηφάτιος* codd., correxi) *φησὶν* XS : *καὶ φησὶν ὁ Βονηφάτιος* C *καὶ φησὶν Βονιφάτιος* V 4 *Λυκαονίδην* XCV : *αὐτόν* S 4 *πίστε* CV : *Λυκαονίδην* S, om. X 5 ante *ἱερέων* verbum *ἀνιέρων* hab. C 6 *ὡς λέγουσιν* XCV : *καθὼς λέγουν* S 7 *εὑρηκὼς* X : *εὑρικὼς* S *εὑρίσκον* C *εὑρίσκων* V 7 *ποιήσω* SC : *ποιῆσαι* XV 8 *τῆς ἀληθινῆς συντυχίας* X : *τῆς καλῆς συντυχίας* S *τὴν ἀληθῆ συντυχίαν* (*συντυχείαν* C) CV 8 *εἶπεν* om. S 9 *Βονιφάτιε* (*Βονηφάτιε* XC) XCV : *ὕπατε* S 9 *τὸ ὑπατικὸν* XC : *τῷ ὑπατικὸν* S *τῷ ὑπατικῷ* V 10 *ἀξιοῦμεν τὸ σὸν θεῖον νεῦμα καὶ μεγαλόψυχον* CV : *ἀξίωμα γνώτω ἡ σὴ* (*σὺ* S) *τιμιότης* (*τιμιώτης* S *τιμηότης* C, correxi) *καὶ τὸ μεγαλόψυχον* (*μεγαλώψυχον* S) *καὶ θεῖόν σου νεῦμα* XS 10 *νεῦμα* XSCV, fortasse *πνεῦμα* emendandum ? 11 *ἱερατεύματα* XCV : *ἱερατεύμα* S 12 *θύομεν* XSC : *-ωμεν* V 12 post *θεῷ* verbum *τῷ* hab. V 13 *πράττουσιν* SCV : *πράττου* X 13 *αἱ τῶν* XCV : *αὐτῶν* S 14 *καὶ μαντείων* om. C

ἐκ παρθένου τεχθέντα, ἵνα ἡμᾶς καθαρίσῃ ἀπὸ πάσης ἁμαρτίας, καὶ πλανηθέντας ἀνακαλέσηται, καὶ πρὸς ἑαυτὸν ἑλκύσῃ, ὡς θεὸς δυνατός, κἀγώ, κύριε ἡγεμών, ἐγνωρικὼς τὴν μεγάλην αὐτοῦ καὶ ἀνείκαστον δύναμιν, ὅτι θεὸς ἰσχυρός ἐστιν, πρὸς αὐτὸν πεπίστευκα, διότι καὶ εἶδον τοὺς ἁγίους αὐτοῦ μαθητὰς θαυμάσια μεγάλα ποιήσαντας, ἅπερ ποτὲ ἡ τῶν ἀκαθάρτων θεῶν θρησκεία οὐδὲ πεποίηκεν οὐδὲ ποιήσει, καὶ λέγω σοι, κύριε ἡγεμών, οὐκέτι δὴ Φάλκονι καὶ τῇ τοῦ Ἥρωνος θυγατρὶ καὶ τοῖς λοιποῖς θεοῖς θύω, ὧν οἱ ἐρασταὶ μέτοχοι τῆς κολάσεως γίνονται μετὰ τοῦ πατρὸς αὐτῶν τοῦ διαβόλου, οἳ καὶ παραδίδονται πυρὶ ἀσβέστῳ. τολμῶ δὲ καὶ λέγω τῇ σῇ ἀξίᾳ, λαμπρὲ ὕπατε καὶ ἡγεμὼν τῆς τῶν Ταυρομενιτῶν πόλεως, καὶ οὐκ ἀρνοῦμαι τὴν σὴν ἐνδοξότητα, ἃ ἐθεασάμην μυστήρια, καὶ θαυμάζω, κύριε ἡγεμών, πῶς σωζόμεθα, ἀμελήσαντες μέχρι τοῦ παρόντος <καὶ> καταφρονήσαντες τῆς ἑαυτῶν σωτηρίας· ἀλλ' εἰ κελεύεις, ἐγώ σοι διηγήσομαι μυστήρια σωτηριώδη." ὁ δὲ Βονιφάτιος, "λέγε,

XSCVO

1 post ἵνα verbum καὶ hab. C 1 ἁμαρτίας X : ἀνομίας SCV 2 ἑαυτὸν XSV : αὐτὸν C 3 ἐγνωρικὼς : γεγνωρικῶς XC γεγνωρικῶς, corr. ἐγνωρικῶς V γνωρικὼς S 4 πεπίστευκα XS : κατέφυγον CV 4 διότι καὶ S : ἐπειδὴ γὰρ X ἐπεὶ CV, fort. recte 5 εἶδον CV : ἴδον S(ante θαυμασία tr.)X 5 τοὺς ἁγίους αὐτοῦ μαθητὰς XCV : τοὺς μαθητὰς αὐτοῦ S 5 post μαθητὰς verba καὶ ἀποστόλους hab. C 5 θαυμάσια μεγάλα X : μεγάλα θαυμάσια C θαυμάσια S μεγάλα θαύματα V 5 ποιήσαντας XCV : ἐκτελούντας S 5 - 6 ἅπερ ποτὲ XCV : οἷα S 6 ἡ XCV : οἱ S 6 θρησκεία X : θρισκία S πλάνη C, om. V 6 οὐδὲ (1) XCV : οὔτε S 6 πεποίηκεν XCV : ἐποίησεν S, fort. recte 7 κύριε om. X 7 καὶ XSV : ἡ C 7 τῇ om. XCV 7 Ἥρωνος XSC : Ἥρωος V 8 θυγατρὶ XS : θυγάτηρ CV 8 τοῖς λοιποῖς θεοῖς XS : τῶν λοιπῶν θεῶν CV 9 - 10 μέτοχοι τῆς κολάσεως γίνονται om. C 10 τολμῶ δὲ καὶ XSV : τολμῶν δὲ C 10 λαμπρὲ et ὕπατε tr. S 10 ὕπατε καὶ om. C 11 τῶν om. C 11 ἡγεμὼν XCV : ἡμῶν S 13 σωζώμεθα XS : ζώμεθα C σωζόμεθα V 13 παρόντος CV : παρόντως XS 13 <καὶ> supplevi 14 καταφρονήσαντες XS : καταφρονησαὶ ὄντες CV 14 τῆς ἑαυτῶν σωτηρίας σωτηριώδη om. CV 14 ἀλλ' S : καὶ X 15 ὁ δὲ SV : καὶ ὁ XC 15 λέγε, Λυκαονίδη XCV : λέγει πρὸς Λυκαονίδην S

Λυκαονίδη, φίλε πιστέ· ὡς προεῖπον γάρ, ἡνίκα τὴν συντυχίαν ταύτην εἰσφέρεις, ἡ καρδία μου ἄγαν αἰνίγματα λαμβάνει προνοίας μεγάλης, καὶ μὴ ἀποκρύψῃς, φίλε πιστὲ καὶ ἀγαθέ, ἀπ' ἐμοῦ τί, ἀλλὰ θάρρησόν μοι πάντα. μὴ πτοηθῇς ἔχων παρρησίαν πρός με ὡς οὐδεὶς ἐνώπιόν μου." ὁ δὲ Λυκαονίδης τῆς διηγήσεως ἐπιλαβόμενος, ἔλεγε πρὸς Βονιφάτιον, "ἐπειδή, κύριε ἡγεμών, ἐγνωρικῶς εἶ, ὅπως τῷ ἰνδίκτῳ τῷ παρελθόντι ἐξῆλθον τοῦ ποιῆσαι πραγματείας, καὶ λαίλαπος ἐγερθέντος, κατήχθημεν ἐν Συρακουσῶν τῇ πόλει, κινδυνεύσας ἡμέραν μίαν ἕως μεσονυκτίου, καὶ εἰσῆλθον ἐν τῷ μικρῷ λιμένῃ, κἀκεῖσε ποιήσαντός μου ἡμέρας δύο, εὗρον Ῥόμυλλον τὸν πρωτοναύκληρον, καὶ αὐτὸν εἰς †παράγωγον ὄντα, καὶ εὐδίου τοῦ πλοὸς γεγονότος, ποιήσαντες ὁμόπλοιαν, ἐξεπλεύσαμεν, καὶ καταλάβοντες τὰ τῆς Ἀσίας μέρη ἤλθομεν εἰς Πόντον, κἀκεῖθεν εἰς τὴν τῶν Γαλατῶν χώραν, κἀκεῖθεν εἰς Ἀντιόχειαν. ποιήσαντες οὖν τὰς πραγματείας ἡμῶν καὶ ἑτοίμως ἔχοντες τοῦ ἀποπλεῖν, ἦλθον ἄνδρες δύο καὶ

XS (4 *πάντα* - 5 *διηγήσεως*, 15 *καὶ* (1) - 58.1 *πόθεν* mutil.) CVO

1 *γὰρ ἡνίκα* X : *ἡνίκα γὰρ* S *ἡδέως* C *γὰρ ὡς* V 1 post *συντυχίαν* verba *σου ἀκούω. ὡς γὰρ λελάληκας* hab. C 1 *ταύτην* V : *ταύτης* XC, om. S 2 *εἰσφέρεις* XV : *συνέφερες πρώην* S, om. C 2 *λαμβάνει* XCV : *προέλαμβανεν* S 2 post *καὶ* (1) verba *τὰ νῦν* hab. S 3 *φίλε πιστὲ καὶ ἀγαθέ* om. S 3 *καὶ ἀγαθέ* om. X 3 *ἀπ' ἐμοῦ* S : *ἀφ' ἡμῶν* XCV 3 *τί ἀλλὰ* om. XCV 4 *πάντα* om. CV 4 post *πάντα* verba *ἅπερ ἐδιδά*[...] hab. S 4 *ἔχων* V : *ἔχεις* XC 4 *οὐδεὶς* X : *καὶ* C om. V 5 post *μου* verbum *εἶς* (*ἧς* C) hab. CV 5 - 6 *πρὸς Βονιφάτιον* om. CV 6 *ἐγνωρικῶς* nos : *γεγνωρικῶς* XSCV 6 *ὅπως* X : *πῶς* CV 8 *Συρακουσῶν* XC : *Συρακουσαίων* V 9 *εἰσῆλθον* X : *εἰσελθὼν* SCV 10 post *δύο* verba *εὐθείον πλοὸς ἡμῖν γεγονότως* (*εὐθύου πλοὸς γεγονότος* V) hab. CV 10 *πρωτοναύκληρον* XV : *προτοναύκληρον* S *πρώτον ναύκληρον* C 11 post *αὐτὸν* verbum *καὶ* hab. X 11 *παράγωγον* XSV : *παγωγὸν* C 11 post *ὄντα* verba *τοῦ ἀποπλεῖν καὶ* (*καὶ* om. C) hab. CV 11 *εὐδίου* nos : *εὐθείου* XSCV 12 *ὁμόπλοιαν* XSV : *ὁμόπλοιον* C 12 *ἐξεπλεύσαμεν* XS : *ἐξήλθομεν* C *ἐξήλθαμεν* V 12 post *καὶ* verbum *ἐξελθόντες* (*ἐξελθώτες* C) hab. CV 12 *καταλαβόντες* X : *καταλαβώτες* S *κατελάβομεν* CV 12 - 13 *τὰ τῆς Ἀσίας μέρη* CV : *τὴν Ἀσείαν* XS, fort. recte (*τὴν Ἀσίαν*) 13 *ἤλθομεν* XS : *καὶ ἤλθαμεν* CV 13 *κἀκεῖθεν εἰς* XS : *καὶ πᾶσαν* CV 14 *κἀκεῖθεν* : *ἠθ' οὕτως* S 14 *κἀκεῖθεν εἰς Ἀντιόχειαν* om. CV (sed cf. supr. p. 16 l. 15) 15 *ἑτοίμως* - *ἀποπλεῖν* (cf. p. 201. 1) 15 *ἔχοντες* XV : *ἐχόντων* C

ἐπερώτησαν ἡμᾶς παρρησίᾳ λέγοντες, 'πόθεν ἐστέ, ἀδελφοί;' ἡμεῖς δὲ ἀποκριθέντες πρὸς αὐτοὺς εἴπαμεν, 'ἐξ ἀλλοδαπῆς γῆς τυγχάνομεν.' οἱ δὲ πρὸς ἡμᾶς, 'ποίας ταύτης;' πρὸς οὓς ἀνταπεκρίθημεν, 'τῆς Σικελῶν νήσου τῶν μεγάλων πόλεων τῆς Ταυρομενίας καὶ τῶν Συρακουσῶν.' αὐτοὶ δὲ περιχαρεῖς γενόμενοι ὑπέστρεψαν, μηδὲν ἕτερον εἰπόντες, καὶ ὡσεὶ ὥρας μιᾶς διάστημα, καὶ ἰδού, ἦλθον ἕτεροι ἄνδρες πλειοτέραν δόξαν περιβεβλημένοι, οἳ ἦσαν ἀπόστολοι Ἰησοῦ Χριστοῦ μετὰ τῶν πρώην δύο ἀνδρῶν, καὶ ἰδού, ὡς πῦρ ἐφάνησαν ἡμῖν. ἐξέστημεν δὲ ἅπαντες ἡμεῖς ἐπὶ τῇ θέᾳ τῶν ἀνδρῶν, καὶ γνῶντες ὅτι οἱ ἀπόστολοι εἰσίν, ἐπέσαμεν ἐπὶ πρόσωπον, καὶ φόβῳ πολλῷ προσήλθομεν αὐτοῖς. οἱ δὲ ἅγιοι ἀπόστολοι ἰδόντες ὅτι φόβος θεῖος περιεῖχεν ἡμᾶς, καὶ ὅτι ἡ χάρις τοῦ ἁγίου πνεύματος ἐπεσκίασεν ἡμᾶς, ἦλθον ἱλαρῷ προσώπῳ καὶ φησὶν πρὸς ἡμᾶς, 'χαίρετε ἐν κυρίῳ, πάντες ὑμεῖς. χαίρετε ἐν Χριστῷ Ἰησοῦ, ἀδελφοὶ ἡμέτεροι,' καὶ αὖθις ἀνεβοήσαμεν καὶ ἡμεῖς ὡς ἐξ ἑνὸς στόματος <εἴπομεν> ἐν χαρᾷ, 'χαίρετε καὶ ὑμεῖς,

XS (usque ad l *πόθεν* mutil.) CVO

l *ἐπερώτησαν* X : *ἠρώτησαν* CV l *πόθεν - ἀδελφοί* (cf. p. 20 l. 4) l - 2 *ἡμεῖς δὲ ἀποκριθέντες πρὸς αὐτοὺς εἴπαμεν* X : *ἡμεῖς δὲ ἀποκριθέντες εἶπωμεν* S *καὶ ἡμεῖς ἀπεκρίθημεν πρὸς αὐτοὺς* C *καὶ ἡμεῖς ἀπεκρίθημεν πρὸς τοὺς ἄνδρας* V 2 *γῆς* XC : *χώρας* SV 2 *τυγχάνομεν* CV : *τυγχάνωμεν* X *ὑπάρχωμεν* S 2 - 3 *οἱ δὲ πρὸς ἡμᾶς - πόλεων* om. C 2 - 3 *οἱ δὲ - ἀνταπεκρίθημεν* om. V 3 - 4 *τῆς Σικελῶν - Συρακουσῶν* (cf. p. 20 l. 5– l. 7) 3 ante *τῆς* verbum *ἐκ* hab. S 4 *τῆς* om. X 4 *τῶν Συρακουσῶν* nos (cf. p. 20 l. 6 supr.) : *τῆς Συρακουσῶν* C *τῆς Συρακουσίων* XS, fort. recte *τὴς Συρακουσαίων* V 5 *αὐτοὶ δὲ - ὑπέστρεψαν* (cf. p. 20 l. 10 supr.) 5 *αὐτοὶ δὲ - εἰπόντες* : *οἱ οὖν μηδὲν ἕτερον πρὸς ἡμᾶς εἰπόντες, μόνον ὑπέστρεψαν περιχαρεὶς* (*περιχαρὴς* V) *γενάμενοι* (*γενόμενοι* V) CV 6 *καὶ ἰδού* om. CV 6 *ἦλθον ἕτεροι ἄνδρες* XV : *ἄνδρες ἕτεροι ἦλθον* S *ἦλθον ἄνδρες* C 7 *δόξαν περιβεβλημένοι* cf.p. 21 l. 1 7 post *Χριστοῦ* verba *τοῦ ἀληθινοῦ θεοῦ* hab. CV 7 - 8 *μετὰ τῶν πρώην* (*πρόην* S) *δύο* (*τῶν* add. X) *ἀνδρῶν* XS : *σὺν αὐτοῖς οὖν καὶ οἱ δύο ἄνδρες οἱ ἐλθόντες πρώην* C *καὶ οἱ δύο ἄνδρες οἱ ἐλθόντες πρώην* V 8 - 9 *ἐξέστημεν δὲ ἅπαντες ἡμεῖς* XV : *ἐξέστημεν καὶ ἡμεῖς ἅπαντες ἡμεῖς* C *καὶ βλέποντες αὐτοὺς ἐξέστημεν* S, fort. recte 9 post *ἀνδρῶν* verbum *ἐκείνων* hab. S, fort. recte 10 *εἰσίν* XSC : *ἦσαν* V 10 post *πρόσωπον* verbum *ἡμῶν* hab. XCV 10 *προσήλθομεν* CV : *-ωμεν* XS 11 *περιεῖχεν* X : *περιῆχεν* S *περιέσχεν* V 11 *ἡμᾶς* XSV : *ἐφ' ἡμᾶς* C 12 post *ἱλαρῷ* verbum *τῷ* (*τι* S) hab. XSC 13 *φησὶν* XS : *ἔφησαν* CV 13 *πρὸς ἡμᾶς* XS : *ἡμῖν* CV 13 *χαίρετε - ὑμεῖς* om. CV 14 - 15 *ἡμεῖς - χαρᾷ* : *ἡμεῖς δὲ πάντες ὡς ἐξ ἑνὸς στόματος εἴπομεν* C *οἱ δὲ πάντες ὡς ἐξ ἑνὸς στόματος εἴπομεν ἐν χαρᾷ* V, fort. recte

ἀπόστολοι καὶ μαθηταὶ Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ καὶ διδάσκαλοι ἐθνῶν καὶ φωστῆρες ἁπάσης τῆς οἰκουμένης. τί πρὸς ἡμᾶς ἐληλύθατε; ἀναξίων ἡμῶν ὄντων, ἡμεῖς ὀφείλομεν πρὸς ὑμᾶς παραγενέσθαι, καὶ ὑμεῖς ἤλθετε πρὸς ἡμᾶς.' οἱ δὲ ἅγιοι ἀπόστολοι φησὶν πρὸς ἡμᾶς, 'ἡμεῖς ἤλθομεν σήμερον πρὸς ὑμᾶς καταλῦσαι, καὶ μεγάλης σωτηρίας πρόξενοι ὑμῖν γενέσθαι.' ἡμεῖς δὲ αὐτίκα πεισθέντες τῇ διδαχῇ αὐτῶν, πεπιστεύκαμεν εἰς τὸν κυρίον Ἰησοῦν Χριστόν, καὶ κατηχήσαντες, ἔδωκαν ἡμῖν τὴν δι' ὕδατος καὶ πνεύματος ἀναγέννησιν, καὶ μετὰ τὸ βαπτισθῆναι ἐμέ τε καὶ Ῥόμυλλον καὶ καθεξῆς ἅπαντας τοὺς ναυτικοὺς τῶν δύο πλοιαρίων, ἠξιώθημεν τῶν ἀχράντων μυστηρίων, καὶ πληρωθείσης πάσης ἀκολουθίας, συνῆλθε πλῆθος ἄπειρον ἀσθενούντων παντοίας ἀσθενείας καὶ δαιμονιώντων, ἰδόν, λαμπρὲ ὕπατε καὶ τοποκτίστα, μεγάλα καὶ ἐξαίσια θαύματα, ἅπερ Χριστὸς ὁ θεὸς τοῦ παντὸς ἐπετέλεσε διὰ τῶν ἁγίων αὐτοῦ ἀποστόλων." καὶ ὁ Βονιφάτιος πρός με, "λέγε, φίλε πιστὲ

XSCVO

{3 ὀφείλομεν V : ὠφείλομεν S ὀφείλαμεν X ὠφείλωμεν C
{4 παραγένεσθαι XS : ἐλθεῖν C παρεῖναι V ...

1 καὶ (1) om. C 1 - 4 τί πρὸς ἡμᾶς - πρὸς ἡμᾶς (cf. p. 21 l. 3-5) 3
{~~o>fei'lomen V : w>fei'lomen S o>fei'lamen X w>fei'lwmen C~~ 4
{~~parage'nesqai XS : e>lqei : n C parei>nai V~~, fort. recte (cf. p. supr.) 21.4 4
ἤλθετε nos : ἤλθατε XCV 4 δὲ om. V 5 φησὶν om. CV 5 post ἡμᾶς verbum ἔφησαν hab. CV 5 ἤλθομεν XCV : -ωμεν S 5 πρὸς ὑμᾶς S : ἐν ὑμῖν XCV 6 ὑμῖν XS : ἡμῖν C om. V 6 ἡμεῖς δὲ XS : καὶ ἡμεῖς CV 7 πεπιστεύκαμεν εἰς - Χριστὸν : ἦλθον V, om. C 8 ἡμῖν SCV : ὑμῖν, corr. ἡμῖν X 9 ἐμέ τε (τε om. C) καὶ Ῥόμυλλον XCV : τὸν Ῥόμυλλον κἀμὲ S 10 καθεξῆς nos : καθεξεῖς X om. SCV 10 ἅπαντας X : πάντας SC πάντες V 11 ἀχράντων XSC : θείων V 11 πάσης XSC : ἁπάσης V 11 post ἀκολουθίας verba ἠξιώθημεν τροφῆς (τρωφῆς S) μετ' εὐλογίας (εὐλογείας S) hab. XS, fort. recte 12 συνῆλθεν CV : συνήλθων δὲ S συνῆλθον δὲ X 12 ἄπειρον om. S, ante πλῆθος tr. CV 12 παντοίας ἀσθενείας καὶ om. V 13 ἰδόν V : εἶδων C καὶ ἰδὼν S καὶ ἴδαν X 13 καὶ τοποκτίστα om. C 14 θαύματα XCV : πράγματα S 14 τοῦ παντὸς om. S 14 ἐπετέλεσεν XSV : ἀπετέλεσεν C, post ἀποστόλων (5) tr. SCV 14 post ἐπετέλεσεν verba τοιάδε, κύριε Βονιφάτιε hab. V, τοιάδε hab. C 14 - 15 τῶν ἁγίων αὐτοῦ ἀποστόλων XCV : τῶν ἀποστόλων αὐτοῦ S 15 καὶ ὁ XSV : ὁ δὲ C 15 πρός με om. XCV 15 λέγε XS : εἰπὲ ἡμῖν CV

καὶ ἀγαθέ, καὶ μηδὲν ἀποκρύψῃς ἀπ' ἐμοῦ· οἶδε γὰρ ἡ ἄνω πρόνοια, ὅτι, ὡς λέγεις, ἡ καρδία μου ἤνοικται," καὶ ὁ Λυκαονίδης, "ἄκουσόν μου, Βονιφάτιε, κύριε ἡγεμών. εἶδον δαίμονας λόγῳ ἀπελαυνομένους. εἶδον τυφλοὺς ἀναβλέποντας. εἶδον χωλοὺς περιπατοῦντας. εἶδον λεπροὺς καθαριζομένους καὶ λοιπὰς νόσους ἀφῇ χειρὸς ἀπελαυνομένας καὶ πάθη ἀνίατα φυγαδευόμενα, καὶ θεραπειῶν ἀξιωμένους πάντας τοὺς προσερχομένους. ἡμεῖς δέ, ὡς εἴδομεν ταῦτα πάντα, ἐδοξάσαμεν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν ἀληθινὸν θεόν. ἰδὼν οὖν ὁ μακάριος Πέτρος ὁ ἀπόστολος τὸ εὐπρόθυμον ἡμῶν καὶ εὐπαρρησίαστον εἰς τὴν πίστιν τοῦ Χριστοῦ, σπουδῇ καὶ πόθῳ πολλῷ ἀπέστειλε σὺν ἡμῖν ἄνδρας δύο πρώην οὓς εἴρηκα ἐλθεῖν ἐν τοῖς πλοίοις, λέγων πρὸς ἡμᾶς, 'ἰδού, τούτους τοὺς ἄνδρας, τεκνία μου, ἀπολύω μεθ' ὑμῶν ὑπομιμνήσκειν ὑμᾶς τὸν σωτήριον λόγον,' καὶ εὐθέως ἅπαντες ἡμεῖς πεσόντες ἐπὶ πρόσωπον προσεκυνήσαμεν τοῖς ἁγίοις ἀποστόλοις καὶ παρελάβομεν τοὺς θείους ἄνδρας τούτους,

XS (2 καρδία - 4 β εἶδον, 12 λέγων - 13 ὑπομιμνήσκειν mutil.) CVO

1 μηδὲν XSV : μὴ C 1 ἀπ' ἐμοῦ S : ἀφ' ἡμῶν XCV, fort. recte 1 οἶδε XSV : εἶδεν C 1 ἄνω om. XCV 1 πρόνοια XCV : πρόνοιαν S 2 post λέγεις verbum ταῦτα hab. CV 2 καὶ ὁ X : ὁ δὲ SCV 3 μου om. XC 3 κύριε ἡγεμών om. XV 3 εἶδον CV : ἰδὼν S ἴδον X 4 εἶδον (1,2) CV 6 - 7 καὶ θεραπειῶν - προσερχομένους om. C 7 τοὺς προσερχομένους om. V 7 ἡμεῖς δὲ ὡς XS : ὡς δὲ C ὡς V 7 εἴδομεν C : ἴδωμεν S ἴδομεν XV 7 - 8 ἐδοξάσαμεν τὸν κύριον ἡμῶν (ἡμῶν om. X) Ἰησοῦν Χριστὸν τὸν ἀληθινὸν θεὸν XS : κατεφύγομεν ὑπὸ τὴν σκέπην τῶν πτερύγων Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ CV 8 ἰδὼν SCV : ἰδὸν 9 post εὐπρόθυμον verba τῆς πίστεως hab. CV 9–10 καὶ εὐπαρρησίαστον εἰς τὴν πίστιν τοῦ Χριστοῦ om. CV 11 ἀπέστειλεν XS : ἀπέλυσε CV, fort. recte (v.infr.) 11 σὺν ἡμῖν XS : μεθ' ἡμῶν CV, fort. recte (v.infr.) 11 πρώην om. CV 11 ἐλθεῖν om. C 12 λέγων XSV : λέγοντας C 12 πρὸς ἡμᾶς om. SCV 12 τοὺς ἄνδρας om. SCV 13 ἀπολύω SCV : ἀπολύομεν X 13 ὑπομιμνήσκειν XSC : ὑπομνήσκειν V 13 ὑμᾶς SCV : ἡμᾶς X 13 τὸν σωτήριον λόγον XSV : λόγον τοῦ σωτηρίου C 14 ἡμεῖς om. C 15 πεσόντες ἐπὶ πρόσωπον XS : ἐπὶ πρόσωπον πεσόντες CV 14 - 15 τοῖς ἁγίοις ἀποστόλοις XV : τοὺς ἁγίους ἀποστόλους S, fort. recte τοῖς ποσὶν τῶν ἀποστόλων C

ὄνομα τῷ ἑνὶ Μαρκιανός, καὶ ὄνομα τῷ ἑτέρῳ Παγκράτιος. ἐπευξάμενοι οὖν ἡμῖν, καὶ ἐπιδόντες εὐλογίας πνευματικὰς καὶ διδάξαντες πᾶσαν ἐντολὴν τηρεῖν τῆς πίστεως τοῦ Χριστοῦ, ἀπέλυσαν ἡμᾶς ἐν χαρᾷ, καὶ εὐθὺς ἐξεπλεύσαμεν, ἔχων μὲν Ῥόμυλλος τὸν ἁγιώτατον Μαρκιανόν, ἐγὼ δὲ ἐν τῷ ἐμῷ πλοίῳ τὸν μακάριον Παγκράτιον. ἐλθόντες οὖν μέσον τῶν δύο πόλεων, ἐξεγερθέντων δύο ἀνέμων, ἕκαστον ἐν τῷ ἰδίῳ τόπῳ ὡσεὶ χείμαρροι δύο τὰς δύο σκάφας ἠκόντισαν. χωρισθέντες οὖν ἀπ' ἀλλήλων, ἤλθομεν ἡμεῖς ἐν τῷ ναυκληρίῳ μου. ὡς οὖν ὡρμήσαμεν, ἤρξαντο οἱ ἀκάθαρτοι δαίμονες φωνῇ ἰσχυρᾷ κατακράζειν ἐμοῦ τε καὶ τοῦ ἀποστόλου τοῦ Χριστοῦ, ὡς δῆθεν γινώσκοντες ἡμᾶς, καὶ ἐπειδή, κύριε ἡγεμών, ἦλθον οἱ ἱερεῖς τῆς αἰσχύνης κατακράζοντες καὶ τὰς κόμας τῆς κεφαλῆς αὐτῶν κατατίλλοντες καὶ τὰ ἱμάτια διαρρήξαντες. ἄκουσον νουνεχῶς, Βονιφάτιε, λαμπρὲ ὕπατε καὶ τοποκτίστα, τί πέπρακται εἰς Φάλκονα τὸν μιαρόν. ὡς οὖν ἤρξαντο κράζειν τὰ ἀκάθαρτα πνεύματα, αὖθις ὁ

XSCVO

1 τῷ ἑνὶ XCV : τὸ ἓν S 2 ἡμῖν om. CV 2 ἐπιδόντες XV : ἐπιδιδόντες SC 2 - 3 καὶ διδάξαντες XCV : διδάξαντας S 3 τηρεῖν post διδάξαντες tr. CV 3 τῆς πίστεως om. S 3 τοῦ Χριστοῦ V : τοῦ Χριστοῦ Ἰησοῦ S τοῦ κυρίου Ἰησοῦ X, om. C 3 - 4 ἀπέλυσαν - ἐξεπλεύσαμεν : ἐξήλθομεν V, om. C 4 ἔχων μὲν XS : ἔχοντες CV 4 - 5 τὸν ἁγιώτατον om. XS, fort. recte 5 ἐν τῷ ἐμῷ πλοίῳ τὸν μακάριον om. XS, fort. recte 6 ἐλθόντες οὖν μέσον τῶν δύο πόλεων XS : μεσοπόρον δὲ ἐσχηκότες τοῦ πλοὸς τῶν δύο πόλεων CV, fortasse recte 6 post δύο (1) verbum λήξεων hab. CV 6 ἐξεγερθέντων C : ἐξηγερθέντων XSV 7 ante ἕκαστον verbum ἤγεν hab. XSV 7 σκάφας X : σκάφους S σκάφας, corr. σκάφεις C σκαφεῖς V 8 ἠκόντισαν XV : ἠκόντησαν C ἠκόντησεν S 8 χωρισθέντες οὖν S : χωρησθέντες δὲ X καὶ χωρήσαντες C ἀποχωρήσαντες V 8 ἤλθομεν XS : κατήχθημεν CV 8 ante ἡμεῖς verba κύριε ἡγεμών hab. CV 9 ὡρμήσαμεν C : ὁρμήσαμεν XSV 9 ἀκάθαρτοι om. S 10 - 11 φωνῇ ἰσχυρᾷ κατακράζειν, ἐμοῦ τε καὶ τοῦ ἀποστόλου τοῦ Χριστοῦ, ὡς δῆθε (δήθην S, δίθεν X, correxi) γινώσκοντες (γινώσκειν S) ἡμᾶς XS : κράζειν φωνῇ ἰσχυρᾷ, φησίν, καταγινώσκοντες ἐμὲ καὶ τὸν ἀπόστολον τοῦ Χριστοῦ CV, fort. recte 12 κόμας V : κώμας XC τρίχας S 13 κατατίλλοντες XV : τήλλοντες S, om. C 13 διαρρήξαντες XSV : κατατίλλοντες CV 14 Βονιφάτιε λαμπρὲ ὕπατε καὶ τοποκτίστα V : ὦ Βονηφάτιε C, om. XS, fort. recte 14 τί XSV : ἃ C 14 πέπρακται XS : ἐπράχθη CV 15 οὖν om. CV 15 ἤρξαντο XSC : ἤρξατο, corr. ἤρξαντο V 15 κράζειν XS : κατακράζειν CV 15 αὖθις om. CV

κύριός μου Παγκράτιος ὁ ἀληθινὸς δοῦλος Χριστοῦ, ἐποίησε τὴν ἐν Χριστῷ σφραγῖδα καὶ ὥρκισεν αὐτοὺς κατὰ τοῦ ὀνόματος Ἰησοῦ Χριστοῦ καὶ τοῦ ἀοράτου πατρὸς αὐτοῦ καὶ τοῦ ζωοποιοῦ πνεύματος, καὶ σὺν τῷ χαλεπῷ καὶ ὁλωλότι παρέδρῳ, ἅπαντες σεσιγήκασιν ἐν τῷ στόματι κατόχιον δεξάμενοι, καὶ κατέστειλαν τῶν ἀτάκτων φωνῶν τὸν θρύλλον. ὅτε οὖν σεσιγήκασιν, λέγει τῷ παιδαρίῳ αὐτοῦ, 'τέκνον, ἔνεγκε ὁ παῖς τὰ ὅπλα ἡμῶν, καὶ προσέλθωμεν τῷ μιαρῷ καὶ ἀναισθήτῳ Φάλκονι.' ἐνέγκας οὖν τὰ ὅπλα τῆς Χριστιανικωτάτης πίστεως, παρέστησεν αὐτά, ὡς ὀφείλων τῷ ἀναισθήτῳ Φάλκονι προσελθεῖν. εἰδὼς οὖν ἐγὼ ὅτι τῷ ἀναισθήτῳ Φάλκονι θέλει προσεγγίσαι, διεκώλυον αὐτὸν τοῦ μὴ προσελθεῖν αὐτῷ εἰπών, 'κύριε Παγκράτιε, δοῦλε τοῦ ἀληθινοῦ θεοῦ, μὴ ὡς ἔτυχεν τῷ ἀνδριάντι προσέλθῃς, ὅτι ὑπερήφανός ἐστιν, καὶ χωρὶς θυσίας οὐδεὶς προσπελάζει αὐτῷ. εἰ δὲ καὶ προσπελάσει, ἀποκτέννει αὐτόν· οὕτως γὰρ παρηκολούθησε τῷ ἀκαθάρτῳ παρέδρῳ, ὡς μὴ δὲ τοὺς ἰδίους

XS (14 προσπελάζει - 63.1 εἰσδέχεσθαι mutil.) CVO

1 ἀληθινὸς XS : ἀληθεὶς C ἀληθὴς V 1 ante Χριστοῦ verbum τοῦ hab. C 2 ὥρκισεν CV : ὅρκισεν X ὅρκησεν S 3 αὐτοῦ post ζωοποιοῦ tr. C 4 καὶ (1) om. C 4 ante ἐν verbum καὶ hab. S 5 δεξάμενοι XCV : ἔλαβον S 5 post ἀτάκτων verba καὶ μιαρῶν hab. CV 6 τὸν θρύλλον om. CV 6 τῷ om. C 7 ἔνεγκε C : ἔνεγκα V ἄγαγε XS 7 ὁ παῖς om. S 7 τῷ μιαρῷ om. S 9 post πίστεως verbum καὶ hab. C 9 ὀφείλων V : ὀφείλον XS ὠφείλον C 10 εἰδὼς XSC : ἰδὼς V 10 τῷ om. XC 10 ἀναισθήτῳ om. XCV 10 θέλει post προσεγγίσαι tr. CV 11 διεκώλυον nos : διεκόλυον XSV διεκώλυσα C 11 προσελθεῖν XS : προσεγγίσαι CV 11 εἰπών XCV : λέγων αὐτῷ οὕτως S 12 ὡς ἔτυχεν XSC : οὕτως V 13 προσέλθῃς XCV : προσέλθεις S 14 αὐτῷ XSC : αὐτοῦ V 14 εἰ δὲ καὶ X : εἰ δὲ καὶ αὐτὸς S εἰ C εἰ καὶ V 14 ἀποκτέννει XC : ἀποκτένεται V 14 αὐτόν om. V

ἱερεῖς εἰσδέχεσθαι ἄνευ θυσίας.' ὁ δὲ ἅγιος Παγκράτιος, ἀκούσας τὸ διακωλύεσθαι παρ' ἐμοῦ, ἀποκριθεὶς εἶπε πρός με, 'τέκνον, ἡμεῖς οὐκ ἐλάβομεν πνεύματα δειλίας, οὐδὲ φοβούμεθα αὐτῶν τὰς ἀνισχύρους φαντασίας, ἐνδυσάμενοι τὴν χάριν τοῦ ἁγίου πνεύματος, τὸν θώρακα τῆς πίστεως, ἀλλὰ τοῦτον τῇ δυνάμει τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ῥήματι ὀλέσομεν καὶ ἄφαντον ποιήσομεν ἐκ τοῦ τόπου τούτου σὺν τῷ χαλεπῷ καὶ μιαρῷ παρέδρῳ.' ὅτε οὖν ἐγένετο τὰ τῆς νυκτὸς ἑσπέρια, λέγει πρός με, 'θέλεις ἐλθεῖν καὶ ἰδεῖν τὴν ὄλεσιν τοῦ ἀναισθήτου Φάλκονος τῇ δυνάμει τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ;' ἐγὼ δὲ ὑπακοὴν πληρώσας, ἐξῆλθον καὶ σταθεὶς ἄντικρυς, ἐξεδεχόμην ὡς κατὰ τὸ εἰωθὼς τὴν τοῦ παρέδρου μήνυσιν ἀνακράζειν τοῖς ἀκαθάρτοις δαίμοσι συλλαμβάνειν τὸν προσιόντα εἰς τὸ ἀνίσχυρον αὐτοῦ θυσιαστήριον πρὸς τὴν τῆς θυσίας ἀναίρεσιν. ἀπελθὼν οὖν, ἄξιε ἡγεμών, ὁ κύριός μου Παγκράτιος καὶ εἰσελθὼν ἐν τῷ ναῷ καὶ κρούσας τὸν ἀνδριάντα τῇ δεξιᾷ χειρί, οὐδαμοῦ φωνή, οὐδαμοῦ ταραχὴ

XS (usque ad 1 *εἰσδέχεσθαι*, 10 *καὶ σταθεὶς* - 11 *παρέδρου* mutil.) CVO

4-5. 1 Th. 5:8

1 post *Παγκράτιος* verba *κύριε ἡγεμὼν* hab. CV 1 - 2 *τὸ διακωλύεσθαι* (*διακολύεσθαι* C) *παρ' ἐμοῦ* CV : *τοῦ διακολύεσθαι παρ' ἐμοῦ* X *παρ' ἐμοῦ τοῦ κωλυθῆναι αὐτὸν* S 2 *πρός με* XCV : *μοι* S 4 *τοῦ* om. V 4 *θώρακα* XV : *θόρακα* C *θώρα* S 5 *τοῦτον* XSC : *τούτῳ* V 6 *ὀλέσομεν* X : *ὠλέσομεν* SCV 6 *ποιήσομεν* XC : *-σωμεν* SV 7 verba *χαλεπῷ* et *μιαρῷ* tr. CV 8 *τὴν ὄλεσιν* (*ὤλεσιν* C) post *Φάλκονος* tr. XCV 9 *δὲ* XS : *οὖν* CV 13 *ἀναίρεσιν* XSV : *μετάστασιν* C 13 *ἄξιε* XSV : *κύριε* C, fort. recte 15 *τὸν ἀνδριάντα* XCV : *τῷ ἀνδριάντι* S 15 *τῇ δεξιᾷ χειρί* XSV : *με τὴν δεξιὰν αὐτοῦ χεῖρα* C 15 post *χειρὶ* verbum *καὶ* hab. X 15 *οὐδαμοῦ φωνή* om. C 15 post *φωνή* verbum *ἀνεπέμπετο* hab. S, fort. recte 15 ante *ταραχὴ* verbum *ἡ* hab. CV

τῶν ἀκαθάρτων δαιμόνων, οὐδαμοῦ ἡ τοῦ μιαροῦ παρέδρου φαντασία, ἀλλὰ μόνον καὶ κενὸν ἅπαν τὸ θυσιαστήριον καὶ αἱ φιάλαι καὶ ὁ χρυσοκόλλητος θρόνος τοῦ μιαροῦ παρέδρου, ὅνπερ ποτέ, κύριε ἡγεμών, φόβῳ πολλῷ ἐτιμῶμεν, καὶ οὐδείς ποτε ἐτόλμα προσελθεῖν ἢ προσψαῦσαι αὐτῷ, ἀλλ' ἦν ἔρημα ὅλα . θαυμάσας οὖν ἐγὼ ἐδόξασα τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν καταργήσαντα τὸ ἀνίσχυρον κράτος τοῦ μιαροῦ Φάλκονος. ἐμπεριπατήσαντος τοιγαροῦν τοῦ ἁγίου Παγκρατίου ἐκεῖ ὡσεὶ ὥρας διάστημα, ἐξῆλθεν ἔξωθεν τοῦ ναοῦ καὶ σταθεὶς ἔκραξε φωνῇ ἰσχυρᾷ λέγων, 'ὁρκίζω ὑμᾶς, πνεύματα ἀκάθαρτα, συνελθεῖν τὴν συναγωγὴν ὑμῶν καὶ συλλαβέσθαι ἅπαν τὸ θυσιαστήριον σὺν τῷ χαλεπῷ παρέδρῳ, καὶ ῥίψαι εἰς τὴν θάλασσαν, καὶ ὑμᾶς αὐτοὺς ἐν τῷ ἀφανεῖ βυθῷ ἀπολέσαι.' καὶ εὐθέως ἤλθασιν ὡς ἦχος ἀνέμων βιαίων ῥυζόντων ὡσεὶ γυπῶν καὶ κοράκων, [ἤδη] καὶ συνέλαβον τὸν Φάλκονα καὶ ἔρριψαν εἰς τὴν θάλασσαν ὡσεὶ σταδίους τριάκοντα, ὥστε τὸ ἦχος τῆς πτώσεως αὐτοῦ ἀκοῦσαι ἡμᾶς ἐν τῇ ξηρᾷ

XS (5 προσψαῦσαι - θαυμάσας mutil.) CVO

2 μόνον καὶ κένον ἅπαν V : κενὸν ἅπαν X μόνον κένον S μόνον καὶ κένον C 4 ἐτιμῶμεν nos : ἐτιμοῦμεν XSCV 5 ἦν om. C 5 post ὅλα verba καὶ (καὶ om. C) ἄλαλα hab. CV 5 ἐδόξασα XS : μᾶλλον δὲ δοξάσας CV 6 τὸ ἀνίσχυρον κράτος XCV : τὸ ἀνίσχυρον θράσος (post Φάλκονος tr) S 7 ante ἐμπεριπατήσαντος verba μετὰ μιᾶς ὥρας διάστημα hab. CV 7 τοιγαροῦν om. CV 7 - 8 ἁγίου Παγκρατίου XS : μακαρίου CV 8 ἐκεῖ XS : τὰ ἐκεῖσε CV 8 ὡσεὶ ὥρας διάστημα om. CV 8 ναοῦ XS : θυσιαστηρίου C μιαροῦ θυσιαστηρίου V 9 σταθεὶς om. CV 9 λέγων om. CV 9 ante πνεύματα verbum τὰ hab. S 11 ῥίψαι CV : ῥίψατε XS 12 - 14 καὶ ὑμᾶς - τὴν θάλασσαν (p. 64 l. 14-15) om. XS propter homoeoteleuton ? 15 ὥστε XS : ὡς καὶ CV 15 ἦχος C : ἠχὴ V 15 ἀκοῦσαι ἡμᾶς post ἦχος tr. CV

ἑστῶτας, καὶ οὕτως ὤλετο ὡς μηκέτι γνωρίζειν ἡμᾶς ποῦ ἦν, ἢ πῶς διεκεῖτο. ὡς οὖν ἑώρακα τὸ γενόμενον θαῦμα, προσέσπευσα τοῦ ἐλθεῖν πρός σε καὶ ἀναγγεῖλαι σοι καὶ θαρρῆσαι ὡς φίλῳ ὀρθῷ καὶ ἀγαθῷ, κύριε ἡγεμών, λαμπρὲ ὕπατε καὶ τοποκτίστα, μεγαλόψυχε Βονιφάτιε. τοὺς δὲ κακίστους ἱερεῖς τοὺς τὴν τοῦ Φάλκονος μὴ ἐνδιδόντας ζήτησιν ποιεῖσθαι, ἡ χάρις τοῦ ἁγίου πνεύματος τούτους πείσει τῇ ἀληθείᾳ προσκολλᾶσθαι καὶ μὴ ματαίων καὶ ἀψύχων εἰδώλων καὶ γυψοπλάστων ζητήσεις ποιεῖσθαι. ἐγὼ οὖν, κύριε ἡγεμών, ἅπερ ἑώρακα σωτηρία, ἀνήγγειλά σοι. σοῦ δέ ἐστιν τηρεῖν καὶ ποιεῖν πάντα τὰ συμφέροντά σοι." ἀκούσας δὲ ταῦτα Βονιφάτιος παρὰ Λυκαονίδους, ἔπεσεν ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν εὐχαριστῶν τῷ θεῷ καὶ ἀσπαζόμενος τὸν Λυκαονίδην οὕτως εἶπεν αὐτῷ, "ἄξιε Λυκαονίδη, φίλε πιστέ, καὶ ποῦ ἐστιν, ὅνπερ λελάληκας ~~ἡμῖν~~, θησαυρὸν Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν; τί τοῦτον οὐκ ἀνήγαγες μετὰ σεαυτοῦ; οὐχὶ ἐγώ, Λυκαονίδη, ἄρχων τοῖς ἐμοῖς εἰμί; οὐχὶ τῆς

XS (11 ἔπεσεν - θεῷ mutil.) CVO

1 ἑστῶτας S : ἑστῶτες X, om. CV 1 καὶ οὕτως XCV : οὕτως δὲ S 1 ὤλετο S : ὄλετο X ὀλέσθη C ὠλώθη V

1 ἦν om. V 2 ὡς οὖν ἑώρακα XCV : ἑωρακὸς δὲ ἐγὼ S 2 γενόμενον XSV : γενάμενον C 2 προσέσπευσα C : προσέπεσα V : προσέπεσα τοῖς ποσὶ τοῦ κυρίου μου Παγκρατίου XS, fort. recte 3 πρός σε om. XS 3 καὶ θαρρῆσαι om. XS 3 ὀρθῷ XCV : πιστῷ S, fort. recte 4 ante μεγαλόψυχε verbum καὶ hab. XS 5 τὴν τοῦ Φάλκονος XS : τῷ Φάλκονι CV 6 πείσει XV : πείση S ποιήσει C 6 ante τῇ verbum ἐν hab. X 7 καὶ (3) om. C 8 ζητήσεις ποιεῖσθαι (ποιῆσθαι X, correxi) X (cf. supr. l. 6) : ποιεῖσθαι ζητήσεις S θυσίας προσφέρειν CV 9 σοῦ XSV : σὺ C 9 ἐστιν τηρεῖν καὶ ποιεῖν X : ἐστιν ποιεῖν καὶ τηρεῖν S τήρει C ἐστιν τὸ τηρεῖν V 10 τὰ συμφέροντά σοι XS : πάντα CV 10 ante Βονιφάτιος verbum ὁ hab. CV 11 ἐπὶ τὴν γῆν om. C 12 ἀσπαζόμενος XC : ἀσπασάμενος V 12 εἶπεν αὐτῷ S : ἔλεγεν V λέγων XC(ante οὕτως tr.) 13 καὶ om. 13 καὶ ποῦ ἐστὶν om. C 13 post λελάληκας verbum ἡμῖν hab. S 14 ἡμῶν ante θεοῦ tr. CV 14 ἀνήγαγες XSV : ἤνεγκας C 15 οὐχὶ ἐγὼ XCV : οὐκ ἔχω S 15 τοῖς ἐμοῖς XSC : τῶν ἐμῶν V 15 - 66.1 τῆς καθέδρας XS : τῇ καθέδρᾳ CV

καθέδρας τοῦ μεγίστου καὶ ἐν πολέμοις θαυμαστοῦ Ταύρου ἠξίωμαι; οὐχὶ πολλὰς προνοίας τῶν ἐνταῦθα πεποίηκα; οὐχὶ τοποκτίστης κέκλημαι; οὐχὶ πάσιν τούτοις κύριος ὑπάρχω; καὶ ἵνα τί οὐκ ἤνεγκας τὸν ἅγιον ἄνδρα, ἵνα θεαθῇ παρ' ἡμῶν καὶ ἡμεῖς παρ' αὐτοῦ;" ὁ δὲ Λυκαονίδης φησὶ πρὸς τὸν ἡγεμόνα, "κύριε ἡγεμών, εἰ εὕροιμι χάριν ἐνώπιόν σου, τὰ ἀληθῆ σοι ἐρῶ. ἐπτόημαι μήπως οἱ ἀναίσχυντοι ἱερεῖς, μισητοὶ καὶ αὐθάδεις ὑπάρχοντες, στάσιν ποιήσωσιν, ἔχοντες εἰς συμμαχίαν Σατανᾶν συμβεβλημένον αὐτοῖς καὶ Αὐριλιανὸν τὸν πολιτάρχην, καὶ ἀκαταστασίαν ἡμῖν ποιήσωσιν, ἐὰν παρρησιασθῇ ὁ ἀνήρ· ἀλλά, κύριε ἡγεμών, βουλὴν καλὴν ποιήσωμεν φυλάσσουσαν ἡμᾶς, ἕως τοῦ θεαθῆναι τὰ ἀμφότερα ἀλλήλοις, ὡς καὶ θεάσηταί σε Παγκράτιος ὁ ἀληθινὸς δοῦλος τοῦ Χριστοῦ." ὁ δὲ Βονιφάτιος ἔφη πρὸς Λυκαονίδην, "ἄπελθε, φίλε πιστέ, καὶ πᾶσαν ἀρεσκείαν ὡς ἐξ ἐμοῦ τῷ ἁγίῳ Παγκρατίῳ ποίησον. παρακαλῶ δὲ σὲ εἰπεῖν μοι ποῖά εἰσιν τὰ ὅπλα, ἅπερ λέγεις, ὅτι διακατεῖχεν ὡς ὤλεσε τὸν Φάλκονα;" ὁ

XS (4 θεαθῇ - 5 ἡγεμόνα mutil.) CVO

1 ante ἠξίωμαι verbum ἐπιβῆναι hab. CV 2 πολλὰς CV : πολλὰ XS 3 πᾶσιν XS : ἅπασιν CV 3 ἵνα om. CV 4 ἄνδρα om. C 5 κύριε ἡγεμών om. C 5 εἰ (ἡ C) εὕροιμι XCV : ἡ εὕρων S, fort. recte (εἰ εὕρων) 6 τὰ ἀληθῆ σοι ἐρῶ om. C 6 τὰ ἀληθῆ X : τὰ ἀληθεί S τὸ ἀληθές V 6 ἀναισχυντοι XS : ἀναίσθητοι (ἀνέσθητοι C) CV 7 μισητοὶ (μησιτοὶ S) XSC : μίσοι V 7 ὑπάρχοντες SCV : τυγχάνοντες X 7 post στάσιν verbum ἡμῖν hab. CV 7 - 8 εἰς συμμαχίαν om. S 8 ante Σατανᾶν verba τὸν ἀντίπαλον hab. CV 8 συμβεβλημένον emendavi : συμβλήσκοντα (συμβλίσκοντα C) αὐτοῖς XCV μεθ' ἑαυτῶν S fort. συμβεβλήκοτα emendandum ? 8 Αὐριλιανὸν SV : Ἀβριλιανὸν XC, hic et alibi 8 Αὐριλιανὸν post πολιτάρχην tr. S 8 ante τὸν πολιτάρχην verba καὶ γνωρίσωσιν μεθ' ἑαυτόν hab. S 9 πολιτάρχην XSV : πολυτάρχην C, hic et alibi 9 ἡμῖν ποιήσωσιν XCV : ἄρξονται S, fort. recte 9 ἐὰν παρρησιασθῇ (παρρησία σοι X) ὁ ἀνήρ XCV : κατὰ τοῦ δικαίου ἀνδρὸς ἐκείνου S, fort. recte 10 ποιήσωμεν C : -σομεν XSV 11 τοῦ CV : ὅτου XS, fort. recte 11 τὰ ἀμφότερα XSV : ἀμφοτέρους C 11 ὡς om. S 11 θεάσηταί XSV : θεάσεταί C 12 ἀληθινὸς XS : ἀληθὴς V ἀληθεὶς C 12 τοῦ Χριστοῦ XCV : Ἰησοῦ Χριστοῦ S 12 ἔφη om. CV 13 ante Λυκαονίδην verbum τὸν hab. C 13 πιστέ ante φίλε tr. SV 14 post ἐμοῦ verbum ποίει hab. XS 14 post Παγκρατίῳ verbum ποίει hab. V 14 ποίησον om. XSV 14 post σὲ verba κύρι Λυκαονίδη hab. CV 14 εἰπεῖν μοι om. C 15 διακατεῖχεν C : διεκατήχεν XSV 15 ὤλεσεν SV : ὄλεσεν XC

δὲ Λυκαονίδης πρὸς τὸν ἡγεμόνα, "ἄκουσον, ἡγεμών, οὐκ ἐπίσταμαι ἅπερ διακατεῖχεν μυστικῶς ἐν ταῖς χερσὶν αὐτοῦ. ὅμως, ἅπερ ἐθεασάμην διακατέχοντα, ὅτε προσῆλθε τῷ μιαρῷ καὶ ἀκαθάρτῳ Φάλκονι, ἐρῶ σοι· σταυροῦ τύπον, δύο εἰκόνας, μίαν μὲν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ μίαν τοῦ ἀποστόλου Πέτρου." καὶ ὁ Βονιφάτιος φησὶν πρὸς αὐτόν, "καὶ πῶς θεασώμεθα, φίλε πιστέ, τὸν ἄνδρα τοῦτον;" ὁ δὲ Λυκαονίδης πρὸς αὐτόν, "ἄκουσον, κύριε ἡγεμών, εἰ ὅλως φιλεῖς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν καὶ θέλεις ἀδιστάκτῳ λογισμῷ προσελθεῖν αὐτῷ καὶ τῷ καλῷ ποιμένι θεαθῆναι, ἄκουσόν μου συμβουλίαν χρηστὴν καὶ ἀκεραίαν δι' ἧς εὑρήσεις τὸ ποθουμένον σοι." ὁ δὲ Βονιφάτιος φησὶν πρὸς Λυκαονίδην, "καὶ λέγε, φίλε ἐν ἐμοί, τὴν καλὴν συμβουλίαν σου, καὶ ἀκούσομαι τοῖς καλῶς λεγομένοις παρὰ σοῦ." ὁ δὲ Λυκαονίδης λέγει, "ἄκουσον, κύριε ἡγεμών, κέλευσον ἐν τῇ πόλει κήρυκας βοῆσαι καὶ εἰς τοὺς τῆς ἐπαρχίας ὑποτασσομένους σοι ἱππεῖς ταχυδρόμους ἀπελθεῖν καὶ μηνῦσαι αὐτοῖς ὅπως συνέλθοιεν

XCSVO

1 τὸν ἡγεμόνα XSV : αὐτόν C 1 ἄκουσον ἡγεμών om. C 2 ἅπερ XS : ὅτι ταῦτα CV 2 - 4 διακατεῖχεν - σοι : διακατέχοντα ἀπαγγελῶ σοι, ὅτε προσῆλθεν τῷ μιαρῷ Φάλκονι C 2 διακατεῖχεν nos : διεκατεῖχεν (δηεκατεῖχεν S) XS διακατέχει V 2 μυστικῶς post χερσὶν tr. X 2 post μυστικῶς verba σὺν παιδαρίῳ hab. XV 2 ante ἐν verbum τὸ hab. V 2 αὐτοῦ om. V 4 - 5 δύο εἰκόνας - Πέτρου : καὶ τρεῖς εἰκόνας, μίαν μὲν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἑτέραν τῆς παναγίας ἀχράντου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἑτέραν τοῦ μακαρίου Πέτρου τοῦ ἀποστόλου καὶ τοὺ ἁγίου πατρὸς ἡμῶν Παγκρατίου C, fort. recte 5 μίαν om. X 5 ante ἀποστόλου verbum μακαρίου hab. V 5 - 6 καὶ ὁ Βονιφάτιος om. C 5 καὶ ὁ XS : ὁ δὲ V 6 φησὶν πρὸς αὐτόν om. XCV 6 θεασώμεθα SV : -σόμεθα XC 7 ante ἄνδρα verbum ἅγιον hab. V 7 αὐτόν SCV : Βονηφάτιον X 7 ἄκουσον, κύριε ἡγεμών om. S 9 λογισμῷ XSV : γνώμῃ C 10 post συμβουλίαν verbum ἣν hab. C 10 δι' ἧς om. C 10 τὸ ποθουμένον S : τὸν ποθουμένον XV, om. C 11 ante σοι verbum ἐν hab. C 11 φησὶν om. CV 11 post Λυκαονίδην verbum ἔφη hab. V 11 καὶ om. V 11 ἐν ἐμοί om. C 12 post καλὴν verbum σοῦ tr. C 12 ἀκούσομαι XCV : -σωμαι S 12 - 13 τοῖς καλῶς - σοῦ : τί καλῶς φθέγγεσε πρὸς ἡμᾶς C 13 λέγει XS : ἔφη CV 13 κέλευσον XS : ἀπόστειλον C δῶς V 14-15 ὑποτασσομένους σοι X : σοι ὑποτασσομένους S ἐπιτασσομένους CV 15 ἵππεις XSV : ἵππους C 15 μηνῦσαι V : μηνοίσαι X μηνοίσε S μηνυθείη C 15 ὅπως (ὅππως X) συνέλθοιεν XS : ἐλθεῖν CV, fort. recte

χάριν ἀδνουμίου, καὶ ὅταν συνέλθῃ ἡ τάξις, τότε κατέρχῃ εἰς τὸ πεδίον Σιμονίδους, καὶ προφάσεως τούτου ποιοῦμεν δοχήν, καὶ συμπαραγίνεται καὶ ὁ ἅγιος ἄνηρ Παγκράτιος καὶ θεάσεσθε ἀλλήλοις, καὶ ὅτι ἐκέλευσας ἐρωτῆσαι περὶ τῶν ὅπλων, αὐτός σοι γνωρίσει· ἐστὶν γὰρ ὁ ἀνὴρ ὅλος χρηστὸς καὶ ἀγαθός, καὶ πάντα σοι δηλοποιήσει φανερὰ καὶ ἑτοιμότατα, καὶ οὐδὲν ἀπὸ σοῦ ἀποκρύψει· ἀλλ' ὡς ὑπάρχων πλήρης χάριτος καὶ πνεύματος ἁγίου, πάσης χαρᾶς ἐμπλήσει σε. ἄκουσον δέ, κύριε ἡγεμών, ὅρα μὴ ὡς λήρους λογίσῃ τοὺς λόγους τοῦ σοῦ φίλου καὶ οἰκέτου." ὁ δὲ Βονιφάτιος λέγει, "τέκνον Λυκαονίδη, εἴτιδ' ἂν ἐστιν εἰς τὴν καρδίαν σου, φανέρωσον ἡμῖν καὶ ἀφρόντιστος ἔσο περὶ τούτου." ὁ δὲ Λυκαονίδης, "ἄκουσον, κύριε ἡγεμών, σκάνδαλόν μοι ἐστιν, μήπως οἱ ἀναίσθητοι ἱερεῖς ἅμα Αὐριλιανῷ συσκευὴν ποιήσωσι καὶ πάντας τοὺς πιστοὺς φίλους σου πείσωσιν, ἵνα συναντισχεθῶσιν, τοὺς δὲ ἐναντίους τρέψωσιν. ὅμως ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ πάντα βραβεύσειεν τὰ πρὸς

XS (5 *καὶ πάντα* - 6 *ἀποκρύψει* mutil.) CVO

1 *ἀδνουμίου* XV : *ἀδνυμίου* C *ἀδνομίου* S 1 *ὅταν συνέλθῃ ἡ τάξις* om. C 1 *εἰς* XSV : *ἐπὶ* C 2 *προφάσεως* XSV : *προφάσει* C 2 *δοχήν* XS : *δοχεῖον* CV. 2 - 3 *καὶ συμπαραγίνεται* - *ἀλλήλοις* : *καὶ οὕτως ὁρᾶται παρὰ σοῦ ὁ μακάριος Παγκράτιος* C 3 *συμπαραγίνεται καὶ* XS : *συμπαρὴ* V 3 *ἅγιος ἄνηρ* XS : *μακάριος* V 3 *θεάσεσθε* nos : *θεάσεσθαι* S *θεάσησθε* X *θεάσησθαι* V 4 *καὶ ὅτι* XS : *ὅτι δὲ* C *ὅτι* V 4 *ἐκέλευσας* XC : *ἐκέλευσες* V, om. S 4 post *ἐρωτῆσαι* verbum *με* hab. X 4 post *ὅπλων* verba *κύριε ἡγεμών* hab. CV 4 *αὐτός σοι γνωρίσει* om. CV 5 *γὰρ* om. SCV 5 *ὅλος* XCV : *ὅλως* S 5 *καὶ ἀγαθός* om. C 5 *πάντα* C : *ἅπαντα* XV 6 *ἀπὸ σοῦ* post *ἀποκρύψει* tr. X 6 - 8 *ἀλλ' ὡς* - *σε* : *ἀλλ' ὡς ἅγιος πλήρης πνεύματος ἁγίου ὑπάρχων καὶ χάρητος* C 7 *πνεύματος ἁγίου* et *χάριτος* tr. V 8 *ὅρα μὴ ὡς λήρους λογίσῃ* (*λογήσει* XS, correxi) XS : *καὶ μὴ λογήσει ὡς λήρους* CV 8 *τοὺς* om. V 9 *λέγει* XSC : *λέγε* V 9 post *λέγει* verba *πρὸς αὐτόν* hab. S 9 - 10 *τέκνον Λυκαονίδη* XS : *κύριε Λυκαονίδη, φίλε πιστέ* C *Λυκαονίδη* V 10 *εἰτιδ' ἂν* XS : *ἤτι ἐὰν* C *εἴτι ἐὰν* V 10 *φανέρωσον* S : *φανεροποίησον* (*φανερωποίησον* X) XCV 11 *ἀφρόντιστος ἔσο περὶ τούτου* nos : *ἄφροντις ἔσω περὶ τούτου* X *ἀφρόντιστος ἔση περὶ τούτου* S *ποιήσωμεν* CV fort. *ἀφρόντιστος ἔστων περὶ τούτου* emendandum 11 post *Λυκαονίδης* verba *πρὸς Βονιφάτιον* hab. CV 13 *πάντας* XSC : *ἅπαντας* V 14 *πείσωσιν* X *πίσωσιν* SV *πέμψωσιν* C 14 *συναντισχεθῶσιν* XSV : *σοι ἀντιθῶσιν* C 15 *βραβεύσειεν* XS : *βραβεύσει* C, fort. recte *βραβεύση* V 15 - 69.1 *τὰ πρὸς λυσιτέλειαν* X : *τὰ πρὸς λυ*[...] S (mutil.), om. CV, fort. recte

λυσιτέλειαν, ἅμα τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι ὅταν δὲ πληρώσῃς τὸ ἀδνοῦμιν, ἀνακλιθήσει ἐν τῷ ναυκληρίῳ μου, καὶ ἀπολαύσεις τῆς τοῦ καλοῦ ποιμένος διδασκαλίας." ἤρεσεν οὖν ἡ συμβουλὴ Λυκαονίδους Βονιφατίῳ, καὶ πάραυτα ἐξέπεμψε κήρυκας εἰς τὴν πόλιν κηρύσσειν, καὶ ἱππεῖς εἰς ἅπασαν τὴν ἐπαρχίαν, καὶ συστροφῆς μερικοῦ λαοῦ τῆς Ταυρομενιτῶν ἐπαρχίας γενομένης, ἦλθον εἰς τὴν πόλιν ὡσεὶ διακόσιαι χιλιάδες. ἀνελθόντες οὖν ἐν τῷ πραιτωρίῳ Βονιφατίου, ἤρξαντο φωνὰς ἐπαίνων τῷ ἡγεμόνι ἐπᾴδειν, ὃς ἐξενέγκας ἀσπίδα πληρεστάτην χρυσίου ἐπαίρε τοὺς ὄχλους ἄνωθεν ἐκ τοῦ περιόντος ὑπερῴου. οὗτοι δὲ φωνὰς ἐξήχουν ἐκμελούσας τερπνότητι. ἀκούσας δὲ Αὐριλιανὸς ὁ πολιτάρχης παρὰ τῶν μιαρῶν ἱερέων περὶ Φάλκονος, καὶ ὅτι, ὡς ἦλθον πρὸς Βονιφάτιον, ἐβδελύξατο αὐτούς, ἠβουλήθη συσκευὴν ποιῆσαι κατὰ Βονιφατίου. ὡς δὲ ἤκουσε παρὰ τῶν τῆς ἐπαρχίας στρατευομένων, ὅτι φωνὰς ἐπᾴδουσιν ἐν τῇ πόλει, ἐπεὶ οὐ προσεποιήσαντο οἱ τῆς πόλεως Βονιφάτιον, ἀλλὰ τὸ προσυνήθες

XS (1 λυσιτέλειαν - 2 μου mutil.) CVO

1 ἅμα τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι om. X 1 ὅταν XV : ὅτε C 1 πληρώσῃς V : -σεις XC 2 ἀδνοῦμιν nos : ἀδνοῦμιν, corr. ἀδνούμιον V ἀδνούμην XC 2 ἀνακλιθήσει nos : ἀνακληθήσει X ἀνακλίνης C ἀνακλίνη V 2 ἀπολαύσεις CV : -σης X 3 ante ἤρεσεν verba καὶ τοῦτο εἰπῶν hab. S 3 οὖν om. S 3 ἡ συμβουλὴ X : ἡ βουλὴ CV ὁ λόγος S 3 Λυκαονίδους XS : Λυκαονίδη V, om. C 4 Βονιφατίῳ XCV : πρὸς Βονιφάτιον S 4 κήρυκας SCV : κήρυκα X 5 ἱππεῖς XSV : ἱπποῖς C 5 - 6 καὶ συστροφῆς - ἐπαρχίας om. S propter homoeoteleuton 5 ~~δ~~ συστροφῆς XSV : συστροφῇ C 6 ἐπαρχίας γενομένης SV : ἐπαρχίας X πόλεως C 7 ἀνελθόντες οὖν XSV : καὶ ἀνελθόντες C 8 ἐπαίνων XS : ἐπαίνας CV 8 post ἡγεμόνι verbum Βονιφατίῳ (ΒονηφατίῳC) hab. CV 8 ἐπᾴδειν ante τῷ ἡγεμόνι tr. S 8 ὃς XSV : καὶ C 8 ante ἀσπίδα verbum σκουτάριον (σκουταρίων S) hab. XS 9 ἐπαίρεν X : ἐπέρεν SCV 9 ἐκ om. V 9 περιόντος XV : περιόντως S, om. C 10 οὗτοι δὲ S : αἱ οὖν XCV 10 φωνὰς nos : φωναῖς S φωναὶ XCV 10 ante ἐξήχουν verbum σφοδρῶν hab. XCV 10 ἐκμελούσας XSV : εὐμελοῦσαι C 11 - 12 καὶ ὅτι XS : ὅτι καὶ CV 12 ὡς ἦλθον XSV : εἰσῆλθον C 13 δὲ post ἤκουσεν tr. C 14 - 15 ὅτι φωνὰς ἐπᾴδουσιν ἐν τῇ πόλει, ἐπεὶ οὐ προσεποιήσαντο emendavi : ὅτι φωνὰς ἐπᾴδουσιν· κἂν γὰρ κήρυκες ἔκραξαν ἐν τῇ πόλει, οὐ προσεποιήσαντο X ὅτι φωνὰς ἐπᾴδουσιν οἱ κήρυκες ἐν τῇ πόλει, οὐ προσεποιήσαντο S ὅτι φωνὰς ἐπᾴδουσιν (᾽ενάδουσιν V), ἐπεὶ, κἂν κηρύκες ἔκραξαν ἐν τῇ πόλει, οὐ προσεποιήσαντο CV 15 πρὸ συνῆθες nos : πρὸ συνήθος X πρὸ συνήθως CV σύνηθες S 15 post συνῆθες verbum συσκευὴν hab. XCV

ἤθελον ποιῆσαι, καί, ὡς προείρηται, ὡς ἤκουσεν ὁ Αὐριλιανὸς τοὺς ἐπαίνους τοῦ λαοῦ πρὸς Βονιφάτιον, ἐν τῷ θώρακι φθίσιν ἐγκυήσας, παραπληκτικῇ νόσῳ συνεσχέθη, καὶ ἀπενεκρώθη θεηλάτῳ ὀργῇ. οἱ οὖν μιαροὶ ἱερεῖς ἐμαίνοντο κατὰ Βονιφατίου. οὐ μέντοι γεγνωρίκασιν ὅτι ὁ Λυκαονίδης ἦν τὸν μακάριον Παγκράτιον ἐνέγκας, ἵνα δι' αὐτοῦ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τὴν σωτηρίαν τοῦ περιουσίου αὐτοῦ λαοῦ περιποιήσηται καὶ ἡ τῶν ἀνισχύρων θεῶν πλάνη διασκεδασθῇ. ὁ δὲ Βονιφάτιος τοῖς στρατιώταις σιτάρχησιν δεδωκὼς καὶ δονατίβας πρὸς ἀπόλαυσιν τῆς χρείας, συνετάξατο τῷ λαῷ τῇ ἐπαύριον κατελθεῖν ἐν τῷ συνήθει τόπῳ τοῦ ἀδνουμῆσαι κατὰ τὸ εἰωθώς, καὶ ποιήσας δεῖπνον τοῖς τούτου χιλιάρχοις καὶ ἑκατοντάρχοις καὶ πεντηκοντάρχοις, εὐωχεῖσθαι ἐκέλευσεν ἐν βρώσει καλλίστῃ καὶ πόσει οἴνου τερπνοῦ. πληρωθέντος οὖν τοῦ δείπνου, ἐσάλπισεν ὁ σαλπιστὴς καὶ ἐξανέστησαν οἱ πάντες καὶ ἐπελάβοντο τῶν ἰδίων ἵππων, καὶ κατῆλθον ἐν τῷ λεχθέντι τόπῳ. περὶ οὖν τοῦ φωνῆσαι τὸν ἀλεκτρυόνα,

XS (15 *λεχθέντι* - 71.1 *Βονιφάτιος* mutil.) CVO

1 *καί* om. CV 1 *ὡς* (2) V : *ἡνίκα* XS om. C 1 ante *Αὐριλιανὸς* verbum *ὁ* hab. SCV 2 *φθίσιν* nos : *φθήσιν* CV *φησὶν* XS 2 *ἐγκυήσας* nos : *ἐγκοιήσας* V *ἐκκλήσας* S *ἐκβήσας* X *ἐγκύψας* C 4 *ἐμαίνοντο* XC : *ἐμένοντο* V *εἰσεμαίνοντο* S 4 *γεγνωρίκασιν* V : *γεγνωρήκασιν* C *γεγνώκεισαν* X *γε ἔγνωσαν* S 5 *ὁ* om. SC 6 *τοῦ* XCV : *τὴν* S 6 *αὐτοῦ* post *λαοῦ* tr. S 8 *σιτάρχησιν* : fort. *σιταρχίαν* emendandum 8 *πρὸς* XSV : *εἰς* C 9 *τῇ ἐπαύριον* XSV : *αὔριον* C 10 *ἀδνουμιᾶσαι* nos : *ἀδνουμίσαι* C *ἀδνουμῆσαι* XSV 13 *σαλπιστὴς* XV : *σάλπιξ* SC 14*ἐξανέστησαν οἱ πάντες καὶ ἐπελάβοντο τῶν ἰδίων ἵππων* S : *ἐξανέστη ἕκαστος καὶ ἐπελάβετο τὸν ἴδιον ἵππον* XCV 15 *κατῆλθον* X : *κατήλθων* S *κατέβησαν* V *ἐκατεβήσαν* C 15 *τοῦ* XSV : *τὸ* C

κατῆλθε καὶ ὁ Βονιφάτιος σὺν τοῖς παισὶν αὐτοῦ καὶ Λυκαονίδῃ· ὁ γὰρ στρατὸς προεξελθὼν ἦν διὰ τὸ εἶναι τὸν τόπον πετρώδη καὶ κατόδυνον ὡς δεκάκις χιλίους ἄνδρας ἐκφέρειν μόνον διὰ τὸ στενὸν τοῦ τόπου. φθάσαντες οὖν εἰς τὸ πεδίον, καὶ εἷς ἕκαστος τὴν ἑαυτοῦ δέρριν σκηνοπηγήσας, ἐξεδέχοντο τὸ ἐπάγγελμα Βονιφατίου. κατελθὼν οὖν ἐν τῷ ῥοίζῳ ὁ Βονιφάτιος καλέσας τὸν Λυκαονίδην εἶπεν αὐτῷ κατ' ἰδίαν, "ἄπελθε, φίλε, καὶ ποίησον ὡς ὑπέσχου μοι, καὶ τοῦ ἁγίου Παγκρατίου ὡς ἐμοῦ παρόντος ἀσπᾶσαι τοὺς πόδας, κἀγὼ πληρώσας τὸ ἀδνοῦμιν, ἐλθὼν τὴν αὐτοῦ ἁγιωσύνην ἀσπάσομαι," καὶ ὁ μὲν Βονιφάτιος σὺν τοῖς παισὶν αὐτοῦ ἐπορεύθη εἰς τὸ ἀδνουμιᾶσαι. ὁ δὲ Λυκαονίδης ταχύνας ἦλθεν καὶ αὐτὸς εἰς τὸ οἰκεῖον ναυκλήριον, ἵνα τὴν δοχὴν ἑτοιμάσῃ καὶ τὸν ἅγιον Παγκράτιον, ὡς παρόντος Βονιφατίου, πολλῆς τιμῆς ἀξιώσῃ, ὡς ἤδη μέλλοντος Βονιφατίου ἐκεῖσε καταλύειν τὸ ἀδνοῦμιν πληρώσαντος. ἐλθὼν οὖν ὁ Λυκαονίδης εἰς τὸ ναυκλήριον, εὗρεν ἡμᾶς τὸν ἑωθινὸν κανόνα περὶ τὰ τέλη ἐχόντας· ἦμεν γὰρ κατὰ τὸ

XS (usque ad 1 *Βονιφάτιος*, 10 *τοῖς παισὶν* - 11 *ναυκλήριον* mutil.) CVO

1 *κατῆλθε* - *Λυκαονίδῃ* : *σὺν τῶν ἑαυτοῦ παίδων καὶ Λυκαονίδου ἐξῆλθεν* C 1 *ὁ* (1) om. V 1 *σὺν τοῖς παισὶν αὐτοῦ* S : *σὺν τοὶς παιδαρίοις αὐτοῦ* XC *σὺν τῶν ἑαυτοῦ πάίδων* V 1 *Λυκαονίδῃ* S : *Λυκαονίδους* XCV 1 *ὁ γὰρ* XS : *ἐπεὶ ὁ* CV 2 *πετρώδη* (*πετρώδει* S) ante *εἶναι* tr. XS 3 *δεκάκις* XSV : *δέκας* C 3 *μόνον διὰ τὸ στενὸν τοῦ τόπου* om. S 4 *εἷς* om. CV 5 *οὖν* om. V 6 *ῥοίζῳ* X : *ῥίζῷ* SCV 6 *τὸν Λυκαονίδην* post *Βονιφάτιος* tr. CV 6 *αὐτῷ κατ' ἰδίαν* om. CV 7 *μοι* om. CV 9 *ἀδνοῦμιν* CV : *ἀδνούμην* XS 9 *ἀσπάσομαι* XCV : *-ωμαι* S 9 - 10 *καὶ ὁ μὲν Βονιφάτιος σὺν τοῖς παισὶν αὐτοῦ ἐπορεύθη* X : *καὶ ὁ μὲν Βονηφάτιος σὺν* [...] S (mutil.) *καὶ ἀπῆλθεν ὁ Βονιφάτιος μετὰ τῶν ἑαυτοῦ παίδων* CV 10 *ἀδνουμιᾶσαι* V : *ἀδνουμῆσαι* XC 10 *ὁ δὲ* XC : *ὁ οὖν* V 11 *ταχύνας* om. CV 11 *ἦλθεν* XV : *εἰσῆλθεν* C 11 *οἰκεῖον ναυκλήριον* XS : *ναυκλήριον* C *ναυκλήριον αὐτοῦ* V 13 *ἤδη* X : *ἤδει* S *καὶ* CV 13 *Βονιφατίου* nos : *Βονηφατίου* XSC *Βονιφατίῳ* V 13 - 14 *ἐκεῖσε* - *πληρώσαντος* om. S 14 *πληρώσαντος* emendavi : *πληροῦντι* XS *πληρῶν* CV 14 *ὁ* om. X 14 *ὁ Λυκαονίδης* om. C 14 *εἰς τὸ ναυκλήριον* X : *εἰς τὸ ἴδιον ναυκλήριον* S *ἐν τῷ ναυκληρίῳ* CV 15 *περὶ τὰ τέλη* XV : *εἰς τὰ τέλει* S, fort. recte *περὶ τὰ τελευτέα* C 15 ante *κατὰ* verbum *ὡς* hab. CV

εἰωθὼς ἡσυχαστικῶς καθ' ἑαυτοὺς ψάλλοντες, ἐγώ τε καὶ ὁ μακάριος Παγκράτιος. πληρώσας οὖν τὴν εὐχήν, καὶ εἰπόντων ἡμῶν τὸ 'ἀμήν', ἐμοῦ τε καὶ Λυκαονίδους, ἐκαθέσθη ὁ μακάριος Παγκράτιος, καὶ προτρεψάμενος ἡμᾶς, συνεκαθέσθημεν αὐτῷ, καὶ ἤρξατο συνδιασκοπεῖν Λυκαονίδην τὸ πῶς ὁ ἡγεμὼν ἐδέξατο αὐτόν. ὁ δὲ Λυκαονίδης φησίν, "καλῶς, πάτερ, διὰ τῶν ἁγίων εὐχῶν σου· ἀλλὰ παρακαλῶ τὴν σὴν ἁγιωσύνην, ἀπέλθω πρῶτον τοῖς παισίν. τὰ τῆς χρείας τῆς δοχῆς ἐπιτρέψω, καὶ οὕτως ἔρχομαι καὶ σαφῶς ἅπαντα διηγοῦμαι τῇ σῇ ἁγιωσύνῃ." ἀπελθὼν οὖν τάχιστα καὶ διαταξάμενος τοῖς παισὶν αὐτοῦ καθὼς ἠβουλήθη, ὑποστρέψας εὗρεν ἡμᾶς ἐν αὐτῷ τῷ τόπῳ καθεζομένους, οὗ ἔασεν ἡμᾶς, καὶ ἐπιτραπεὶς ὑπὸ τοῦ μακαρίου, ἐκαθέσθη, καὶ ἤρξατο διηγεῖσθαι αὐτῷ ἅπαντα, τὸ πῶς οἱ ἀναίσθητοι ἱερεῖς κατέκραζον τῷ ἡγεμόνι. "καί, ὡς ἠρξάμην," φησί, "λέγειν τὰ περὶ σοῦ, πάτερ ἅγιε, ὅτι ἕτοιμός ἐστιν τὸν Χριστὸν ἐνδύσασθαι, καὶ εἴ τι πληρώσῃ τὸ ἀδνοῦμιν, τάχιστα ἔρχεται τοῦ

XSCVO

14-15 cf. Rom. 13:14

1 ἐγώ τε XS : ὅ τε ἐγὼ V ἐγὼ C 3 ἐμοῦ τε καὶ Λυκαονίδους om. C 3 Λυκαονίδους XV : Λυκαονίδης S 3 ante ἐκαθέσθη verbum καὶ hab. C 3 Παγκράτιος om. C 4 προτρεψάμενος XSV : ἐπιτρεψάμενος C 5 συνδιασκοπεῖν XV : διασκοπεῖν C ἐρωτᾶν S, fort. recte 5 δὲ XS : οὖν CV 6 φησίν om. CV 7 παρακαλῶ τὴν σὴν ἁγιωσύνην om. XS, fort. recte 7 παρακαλῶ C : παρακαλὴν V 7 ἀπέλθω XSV : ἀπελθεῖν C 8 τῆς δοχῆς XS : τοῦ δοχείου C τῆς δοχείου V 8 ἐπιτρέψω XS : ἐπιτάξω CV 8 ἅπαντα post διηγοῦμαι tr. C 9 διηγοῦμαι om. V 9 ἀπελθὼν XS : ἀπῆλθεν CV 9 διαταξάμενος XS : διετάξατο CV 10 αὐτοῦ καθὼς ἠβουλήθη XS : καὶ εὐθέως CV 11 καθεζομένους post ἡμᾶς tr. CV 11 - 12 ἔασεν - ἐκαθέσθη om. C 11 οὗ ἐάσεν XS : οὗ ἦν καὶ ἐάσας V 11 καὶ ἐπιτραπεὶς correxi : καὶ ἐπιτραπῆς XS ἐπιτραπῆς δὲ V 12 καὶ ἤρξατο XS : ἤρξατο οὖν V 12 post ἤρξατο verba ὁ Λυκαονίδης καὶ hab. V 12 διηγεῖσθαι (διηγῆσθαι X) XSC : διηγήσατο V 12 αὐτῷ om. CV 12 post πῶς verbum ἦλθων hab. C, ἦλθον hab. V 13 κατέκραζον X : ἔκραζον S κατακράζοντες CV 13 φησίν om. C 14 λέγειν om. V 14 ante ἕτοιμός verba καὶ (καὶ om. V) ὅτι hab. XCV 15 εἴ τι nos : ἤ τι S ὅτι XCV 15 πληρώσῃ S : ὧδε ἔχει σήμερον πληρῶν XV ἔχει σήμερον πληρῶν C 15 post ἀδνοῦμιν verba καταλῦσαι ἵνα μόνον hab. XCV 15 τάχιστα ἔρχεται τοῦ ὀφθῆναι om. XCV ↑ 73.1

ὀφθῆναι τῷ τιμίῳ προσώπῳ σου. ὁ δὲ Αὐριλιανὸς ὁ πολιτάρχης, ὁ ποτὲ τύραννος, ὁ πολλὴν σπουδὴν ἐνδεικνύμενος περὶ τὰ μάταια πράγματα, θεηλάτῳ ὀργῇ κατεκεντήθη, ὥστε ἡμιθανῆ τυγχάνειν αὐτὸν καὶ ἀκίνητον ὅλον," καὶ διηγησάμενος αὐτῷ ἅπαντα κατ' ἔπος, ἐξανέστημεν ἀπὸ τοῦ ναυκληρίου, καὶ ἀπελθὼν ἀφ' ἡμῶν ὡσεὶ λίθου βολήν ὁ ἅγιος καταμονὰς προσηύξατο οὕτως, "δόξα σοι, κύριε Ἰησοῦ Χριστέ, λόγε συναΐδιε τοῦ πατρός, μονογενῆ, ὅτι κατηξίωσας σὰρξ γενέσθαι ἀτρέπτως καὶ ἀναλλοιώτως, ἵνα θεωρήσῃς τὴν ἐμὴν ταπεινωθεῖσαν σάρκα ὑπὸ τῆς ἁμαρτίας. καὶ νῦν δέομαί σου, κύριε Ἰησοῦ Χριστέ, ῥῦσαι τυραννούμενον τὸ πλάσμα σου ὑπὸ τοῦ διαβόλου, ἀποστείλας τὸν φωτισμὸν τοῦ ἁγίου σου πνεύματος εἰς τὰς καρδίας αὐτῶν, ἵνα σε τὸν μόνον ἀγαθὸν καὶ φιλάνθρωπον θεὸν γνωρίσωσιν εἶναι ἴδιον δημιουργὸν καὶ θυσίαν αἰνέσεως καὶ ἐξομολογήσεως προσενέγκωσιν τῇ σῇ ἀγαθοσύνῃ. φιλάνθρωπε κύριε Ἰησοῦ Χριστέ, ἐγκαίνισον εἰς αὐτοὺς πνεῦμα ἅγιον, πνεῦμα ἰσχύος, πνεῦμα σοφίας

XS (1 *πολιτάρχης - ποτὲ*, 12 *φιλανθρώπον* - 14 *σῇ* mutil.) CVO

12 - 13 Hebr. 13:15 15 Col. 1:9 15-74.2 cf. Is. 11:2

1 *σου* post *τιμίῳ* tr. X 1 post *σου* verbum *ὀφθῇ* (*ὠφθῇ* C *θεαθῇ* X, corr. *ὀφθῇ* X[1]) hab. XCV, *ὀφθηῇ αὐτῷ* hab. V 2 *πολλὴν* XCV : *πολὺν* S 2 *ἐνδεικνύμενος* post *μάταια* tr. X 2 *περὶ τὰ μάταια πράγματα* om. CV 3 *αὐτὸν* XCV : *αὐτῷ* S 4 *αὐτῷ* om. XCV 4 *ἅπαντα κατ' ἔπος* X : *καθέπως ἅπαντα* S *ἅπαντα καθέπως* V *ἅπαντα καθ' ἑνὸς* C 6 *ὁ ἅγιος* XS : *σταθεὶς* V, om. C 6 *προσηύξατο* ante *καταμονὰς* tr. CV 7 *λόγε* XSV : *δόξα σοι* C 8 *καὶ* om. CV 8 *θεωρήσῃς* emendavi : *θεώσῃς* XS *θεώσεις* C *θεώσῃ* V fort. *θεάσῃ* emendandum ? 9 *σου* om. CV 12 *μόνον* om. CV 12 *γνωρίσωσιν* X : *γνώσωσιν* CV 13 *καὶ* (1) CV : *ὅπως* X, fort. recte 14 *προσενέγκωσιν* XV : *προσενέγκαι* C 14 *ἀγαθοσύνῃ* XCV : *ἁγιωσύνῃ* S, fort. recte 14 *κύριε* om. V 15 *πνεῦμα ἰσχύος* om. CV

2 *ταύτην τὴν σάρκα φορέσας ἐπὶ τῆς γῆς* C : *σάρκα φορέσας ἐπὶ τῆς γῆς* S *τὴν αὐτὴν σάρκα φορέσας* X *φορέσας τὴν σαρκὰ ἐπὶ τῆς γῆς* V 2 *ὀφθήσομαι* V : *ὠφθήσωμαι* S *ὠφθήσομε* XC 2 - 3 *τὸ κατ' εἰκόνα ἐμὴν πλασθὲν* V : *τὴν κατ' εἰκόνα ἐμὴν πλασθήσαν* XC, fort. recte *τὴν εἰκόνα τὴν ἐμὴν πλασθήσαν* S 3 *ἀνακαλέσομαι* XCV : *-σωμαι* S 4 *αἰωνίᾳ* post *παραδώσω* tr. S 4 *πάντων* XCV : *καὶ* S 4 *γὰρ* om. XSC 5 *με* XCV : *μὲν* S 5 *μου* om. X 6 - 7 *τοῦ οὐρανοῦ* om. XSC 7 ante *προσχὼν* verbum *ὅθεν* hab. V 7 - 8 *διανοίᾳ* et *ὑπερηφανίᾳ* tr. S 8 *ἐκπέπτωκας* emendavi : *ἐκπεπτώκεις* XS *ἐκπέπτωκεις*, corr. *ἐκπέπτοκεις* C *ἐκπέπτωκες* V 9 *καὶ* om. V 9 *δι' ὃν* XCV : *δι' ὧν* S 10 *ἐμὴν* XCV : *ἐμοὶ* S 10 *αὐτόν* X : *αὐτῳ* SCV 10 *διὰ τοῦτο* CV : *καὶ* XS 10 *κατέλθω* CV : *κατέλθω* X, *καὶ ἔλθω* X^2 *κατελθὼν* S 10 *τῆς* om. S 11 *οὕτως* SCV : *οὗτος* X 11 *ἀνθρωπίνην* S : *ἀνθρωπίαν* XCV 12 *κατὰ* XCV : *καὶ τὰ* S 12 *οἰκονόμησεν* XCV : *οἰκονόμισεν* S 13 - 14 *ὁ μόνος ἀναφής* om. C 14 ante *πνεύματι* verbum *ἁγίῳ* hab. V, fort. recte

λαμβάνει. σωθέντος οὖν, ὡς προείρηται, τοῦ δικαίου τούτου Νῶε, ηὐξήθη πάλιν ἡ ἀνθρωπότης καὶ ἔθετο ὁ θεὸς διαθήκην μετανοίας εἰς σωτηρίαν τοῖς πιστεύσουσιν εἰς αὐτόν, καὶ κόλασιν τοῖς τούτῳ μὴ πειθομένοις· ἀλλ' ἐπανέλθωμεν πάλιν ἐπὶ τὸν Νῶε. ἔδειξε δὲ καὶ κατὰ Νῶε τὴν αὐτοῦ πάγκακον πονηρίαν, καὶ μόνον ὅτι ᾠκοδόμησε θυσιαστήριον καὶ προσήνεγκε θυσίαν τῷ κυρίῳ, καὶ ὠσφράνθη κύριος ὁ θεὸς καὶ εὐλόγησεν αὐτόν, προσδεξάμενος τὰς θυσίας αὐτοῦ. τρίζων δὲ τοὺς ὀδόντας ἐπέτρεχε αὐτῷ, ἵνα τι κατ' αὐτοῦ εὕρῃ, καὶ καταγνώσῃ τοῦ δικαίου ἀνδρὸς ἐνώπιον τοῦ θεοῦ, ἀλλ' οὐχ ηὑρίσκεν, διότι ἦν Νῶε πεποιθὼς ἐπὶ τὸν θεόν. ἐφύτευσεν οὖν ἄμπελον καὶ ἔπιεν ἐξ αὐτῆς οἶνον καὶ ἐμεθύσθη καὶ ὕπνωσεν καὶ ἐφάνη ἡ γύμνωσις αὐτοῦ. ὁ οὖν διάβολος, ἐμβαλὼν τῷ ἑνὶ υἱῷ αὐτοῦ, ἄφνω ὑπεισῆλθε τῇ οἰκίᾳ, καὶ θεωρήσας τὴν γύμνωσιν τοῦ πατρὸς αὐτοῦ, κατεγέλασεν αὐτόν, μὴ κρύψας τοῦ ἰδίου πατρὸς τὴν γύμνωσιν, ἀλλ' ἐξελθὼν ἀνήγγειλε τοῖς ἀδελφοῖς αὐτοῦ, οἳ δὲ ἀπῆλθον ὀπισθοφανῶς, καὶ κατεκάλυψαν τὴν

XS (15 *ἀπῆλθον* - 100.1 *γύμνωσιν* mutil.) CVO

2 - 3 2 Cor. 7:10 5 - 7 Gen. 8:21 13 - 100.1 Gen. 9:20

1 *λαμβάνει* SCV : *λαμβάνη* X 2 *διαθήκην* XCV : *διάκην* S 3 *τούτῳ* XSV : *τοῦτο* C 5 *αὐτοῦ* ante *πονηρίαν* tr. S 6 *τῷ* om. XSC 6 *ὠσφράνθη* CV : *ὀσφράνθη* XS 8 *δὲ* om. V 8 *ἐπέτρεχε* SCV : *ἐπέχαιρεν* X 8 *εὕρῃ* XV : *εὕρει* SC 9 *καταγνώσῃ* nos : *καταγνώσει* XSCV 9 *τοῦ δικαίου ἀνδρὸς* V : *τῷ δικαίῳ ἀνδρὶ* SC *τῷ ἀνδρὶ* X 9 *ἀλλ'* XCV : *καὶ* S 9 *ηὑρίσκεν* XV : *εὑρίσκεν* SC 10 *διότι* S : *ὅτι* XCV 11 *ἐξ αὐτῆς* om. S 11 *οἶνον* XCV : *οἴνου* S 12 *υἱῷ αὐτοῦ* XCV : *αὐτῷ υἱῷ* S 13 *αὐτόν* SC : *αὐτῷ* XV 15 *αὐτοῦ* om. XC 15 *ἀπῆλθον* V : *-ων* X *-αν* C

γύμνωσιν τοῦ πατρὸς αὐτῶν, καὶ τοῦτο τοῦ διαβόλου τὸ μηχάνημα, ἵνα τὴν πατρικὴν γύμνωσιν καταγελάσας, καταραθῇ. ἀνένηψε δὲ Νῶε ἐκ τῆς μέθης, καὶ ἔγνω ὅσα ἐποίησαν αὐτῷ οἱ υἱοὶ αὐτοῦ. ἔγνω δὲ καὶ πῶς κατεγέλασεν αὐτῷ Χάμ, καὶ πῶς ἐπεκάλυψαν Σὴμ καὶ Ἰαφὲθ τὴν γύμνωσιν αὐτοῦ, καὶ τούτοις τοῖς δυσὶ ἔδωκεν εὐλογίας, τὸν δὲ Χὰμ κατηράθη, ὥστε εἶναι οἰκέτην τῶν ἀδελφῶν αὐτοῦ πάντοτε, ἐν ζυγῷ δουλείας. οὕτως λοιπὸν ἔχαιρεν ὁ δόλιος, ὡς τὸν καρπὸν τῆς ὀσφύος τοῦ δικαίου πεποιηκὼς καταραθῆναι. ἐμηχανᾶτο δὲ πολυτρόποις ἐννοίαις, θέλων τὰς ἐντολὰς λήθην παραδραμεῖν ποιῆσαι τὰς πρὸς τὸν δίκαιον Νῶε παρὰ θεοῦ δοθείσας, καὶ ἐδίδασκε τοὺς υἱοὺς αὐτοῦ μὴ ἐπιλάθεσθαι τῆς διαθήκης τοῦ θεοῦ, ἐπεὶ ἦν ὁ θεὸς ἐντειλάμενος αὐτοῖς κρέας ἐν αἵματι μὴ φαγεῖν, ἀλλὰ πάντα ὡς χόρτον λάχανα ἐσθίειν, καὶ μὴ λατρεύειν τῇ κτίσει παρὰ τὸν κτίσαντα, ἀλλὰ μόνῳ θεῷ τῷ δημιουργήσαντι τὴν κτίσιν. ἔσπευδεν οὖν ἐκκλῖναι ὁ διάβολος τὸν Νῶε καὶ τοὺς υἱοὺς αὐτοῦ ἐκ τῶν ἐντολῶν τοῦ θεοῦ. οὗτος οὖν ὁ δίκαιος

XS (usque ad 1 *γύμνωσιν*, 9 *ἐννοίας* - 10 *ἐδίδασκε* mutil.) CVO

2 - 7 Gen. 9:24 11 - 12 Gen. 9:4, 3

1 *τὸ* om. C 1 *διαβόλου* XC : *δολίου* V 3 *ἐποίησαν* SC : *ἐποίησεν* XV 3 ante *ἔγνω* (2) verbum *καὶ* hab. V 3 *πῶς* S : *ὅπως* XCV 4 *ἐπεκάλυψαν* nos : *ἐπεκάλυψεν* XSC *ἐκάλυψαν* V 4 *Σὴμ* XCV : *Σὴθ* S 5 *ἔδωκεν* XS : *δέδωκεν* CV 7 *οὕτως* SCV : *οὗτος* X 8 post *δικαίου* verbum *ἀνδρὸς* hab. V 8 *πολυτρόποις* X : *πολυτρώποις* SCV 9 *ποιῆσαι* XV : *ποιήσας* C 11 *διαθήκης* XCV : *δικαιοσύνης* S 11 *ἐπεὶ* XCV : *ἐπιδὴ* S 11 *ἦν ὁ θεὸς ἐντειλάμενος* XCV : *ὁ θεὸς ἐνετείλατο* S, fort. recte 12 *κρέας* XSC : *κρέα* V 13 *λατρεύειν* S : *λατρεύσαι* XCV 13 *τῇ κτίσει* C : *τῇ κτήσει* S *τὴν κτίσει* X *τὴν κτίσιν* V 14 *διάβολος* SCV : *δόλιος* X 15 *ἐκ* om. XSC 15 *οὗτος* XCV : *οὕτως* S

πολλαῖς δεήσεσι καὶ προσευχαῖς ἀκλινῶς ἐκέχρητο πρὸς τὸν θεόν, ὥστε μὴ εὑρεῖν χώραν κατηγορίας τὸν διάβολον κατ' αὐτοῦ, ἄχρις οὗ τὸν ἀνθρώπινον ὑπεξῆλθε βίον. μετὰ οὖν τὸ παρελθεῖν τὸν δίκαιον Νῶε καὶ πληθυνθῆναι τὴν ἀνθρωπότητα, ἦσαν πάντες, γλῶσσα μία καὶ χεῖλος ἕν. ἐπέδραμεν οὖν αὐτοῖς ὁ δόλιος καὶ ἐνέβαλε ποιῆσαι κατὰ τοῦ θεοῦ ἀδικίαν, οἳ ἐξελθόντες καὶ εὑρόντες πεδίον, εἶπον ἐν ἑαυτοῖς, 'δεῦτε καὶ οἰκοδομήσωμεν ἑαυτοῖς πόλιν καὶ πύργον, οὗ ἡ κεφαλὴ φθάσει εἰς τὸν οὐρανόν,' ὃ καὶ ἐποίησαν. ὁ οὖν ἀγαθὸς καὶ φιλάνθρωπος θεός, γνοὺς τὴν τοῦ διαβόλου πρὸς αὐτοὺς ἐπίβασιν, καταβὰς συνέχεεν ἐκεῖ τὰς γλώσσας αὐτῶν, καὶ διεσπάρη εἷς ἕκαστος αὐτῶν ἐπὶ τῆς γῆς κατὰ τὴν διάλεκτον, ἣν ἦν λαβὼν παρὰ θεοῦ. ὁ οὖν διάβολος οὐκ ἐπαύετο τὰ δύστηνα τοξάρια αὐτοῦ ἐπιτείνων αὐτοῖς, ὧν διασπαρέντων, ἐπήγειρεν αὐτοῖς θυμὸν καὶ ὀργήν, καὶ πρὸς ἀλλήλους θηριώδη γνώμην εἶχον, ὥστε μνησικακεῖν καὶ πολέμους συνεχεῖς κατ' ἀλλήλων κροτεῖν, καὶ λήθην τοῦ δημιουργοῦ ποιήσασθαι· ἀναστήσας

XSCVO

4 - 5 Gen. 11:1 7 - 8 Gen. 11:4

2 τὸν διάβολον XCV : τοῦ διαβόλου S 3 ὑπεξῆλθεν SCV : ὑπεξέλθῃ X 5 ἐπέδραμεν - ποιῆσαι : ἐπέβαλεν οὖν αὐτοῖς ὁ δόλιος τοῦ ποιῆσαι S, fort. recte 6 ante πεδίον verbum τῷ hab. S 6 ἑαυτοῖς XSV : αὐτοῖς C 7 οἰκοδομήσωμεν V : ᾠκοδομήσωμεν X ᾠκοδομήσαμεν S ᾠκοδομήσομεν C 8 φθάσει X : φθάσῃ SC φθάσαι V 10 διεσπάρη XC : διεσπάρει SV 10 ἐπὶ τῆς γῆς XCV : ἐν ταῖς χώραις S 11 ἣν λαβὼν C : λαβὼν XV ἔλαβον S 11 θεοῦ C : θεῷ XSV 11 ὁ οὖν XCV : καὶ ὁ S 12 ἐπαύετο nos : ἐπαύετω S ἐπαύσατο XCV, fort. recte 12 αὐτοῦ om. C 13 ἐπήγειρεν nos : ἐπίγειρεν XSC, om. V 14 εἶχον C : ἔχειν XSV 15 κροτεῖν XSV : κρατεῖν, corr. κροτεῖν C

γὰρ αὐτοῖς θεοὺς ἀλλοτρίους, χρυσοὺς καὶ ἀργυροῦς, λίθους ἀψύχους καὶ ξύλα, τούτους θεοὺς ὀνομάζεσθαι πεποίηκεν, ὡς καὶ ἄλσει καὶ πυρὶ καὶ ὕδατι θύειν παρῄνεσε παρὰ τὸν κτίσαντα. ἐμπλήσας οὖν τὰ ἑαυτοῦ ἀγγεῖα τῆς ῥίζης πάντων τῶν κακῶν τῆς φιλαργυρίας, ἐπληθύνθη ἡ ἀδικία καὶ κατεμολύνθη ἡ γῆ ἐν τοῖς αἵμασιν· λαβὼν γὰρ ὁ διάβολος ἄνδρας πονηροὺς καὶ ποιήσας αὐτοῖς διαδήματα διάλιθα καὶ σὺν χρυσίῳ στέμματα καὶ θρόνους χρυσοκολλήτους, εἰς φυσίωσιν ἀλλήλων πεποίηκεν, καὶ λοιπὸν φθόνος καὶ φόνος ἦν κεχυμένος ἐπὶ τῆς γῆς, καὶ αἵματα ἐφ' αἵμασι ἐμίσγετο. ὁ οὖν ἀγαθὸς καὶ φιλάνθρωπος θεὸς ἐνεκαίνισεν τὸ πνεῦμα αὐτοῦ τὸ ἅγιον εἰς τὰς καρδίας τῶν ἀνθρώπων, ἵνα γνῶσι τὸν ἀληθινὸν θεὸν καὶ ἴδιον δημιουργὸν καὶ ἀποστραφῶσι ἀπὸ τοῦ ἀλλοτρίου διαβόλου. ἦν δέ τις ἐκ τῆς αὐτῆς γενεᾶς ἄνθρωπος ὀνόματι Ναχώρ. οὗτος γεννᾷ υἱὸν καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Θαρά. οὗτος δὲ ὁ Θαρὰ ἐγέννησε τρεῖς υἱοὺς καὶ ἐκάλεσε τὸν πρωτότοκον Ἀβραάμ, τὸν δεύτερον Ναχώρ, τὸν δὲ τρίτον ἐκάλεσεν Ἀράν. οὗτος δὲ

XS (9 *ἀγαθὸς* - 10 *ἀνθρώπων* mutil.) CVO

12 - 13 Gen. 11:22

2 ὡς om. S, fort. recte 2 ἄλσει] *dubium* Usp 3 ἑαυτοῦ XSC : ἑαυτῶν V 4 ἐπληθύνθη - $^{5}_{\Lambda}$αἵμασιν : ἐπληθύνθη ἡ γῆ καὶ κατεμολύνθη τοῖς αἵμασι X 5 κατεμολύνθη XCV : κατεμωλύθη S 6 - 7 διαδήματα διάλιθα καὶ σὺν χρυσίῳ στέμματα nos : διαδήματα διάλιθα καὶ σὺν χρυσίου στέμματα V διαδήματα διάλιθα σὺν χρυσίῳ τε στέμματα S διαδήματα καὶ διάλιθα σὺν χρυσίῳ στέμματα X, om C 8 φθόνος et φόνος tr. CV 8 κεχυμένος nos : κεχυμμένος XSCV 9 αἵματα CV : ἅρματα XS 9 ἐμίσγετο V : ἐμίσγυσιν X ἐσμίγασιν S ἐμίσγασιν C 11 τὸν XS : αὐτὸν CV 11 καὶ (1) om. XCV 12 ἀπὸ τοῦ ἀλλοτρίου διαβόλου S : τὸν ἀλλότριον διάβολον XC τὸν ἀλητήριον διάβολον V 12 ἄνθρωπος om. S 13 οὗτος XCV : οὕτως S 13 Θαρά XSV : Θαρράν C 14 οὗτος XCV : οὕτως S 14 Θαρά XSV : Θαρράς C 14 post πρωτοτόκον verbum αὐτοῦ hab. X 15 Ἀβραάμ XCV : Ἄβραμ hic et alibi, sed non ubique S 15 ante δεύτερον verbum δὲ hab. C 15 οὗτος XCV : οὕτως S

ὁ Ἀβραὰμ ἀναβλέψας εἰς τὸν οὐρανὸν καὶ ἐπικαλεσάμενος τὸν δημιουργὸν τῶν ἁπάντων, προσεκολλήθη αὐτῷ ἐξ ὅλης καρδίας καὶ ἐξ ὅλης διανοίας. τῷ δὲ Ἀβραὰμ ἔδωκε κύριος υἱὸν ἐξ ἐπαγγελίας καὶ εὐλόγησεν αὐτὸν σφόδρα. ἔτι δὲ πειράζων αὐτὸν ὁ θεὸς ᾐτήσατο τὸν υἱὸν αὐτοῦ εἰς θυσίαν, ὃν καὶ προθύμῳ καρδίᾳ προσενέγκαι ἐσπούδασεν, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην, καὶ φίλος θεοῦ κληθείς, ἤκουσεν Ἀβραάμ, ὡς καὶ ἀγγέλους ὑπεδέξατο ἐν τῇ σκηνῇ αὐτοῦ, ὃ ἦν προμηνυόμενον μυστήριον πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, καὶ πατέρα πολλῶν ἐθνῶν ἐκάλεσεν αὐτὸν κύριος ὁ θεός. οὗτος ὁ Ἀβραὰμ πολλοῖς πειρασμοῖς περιεβάλλετο ὑπὸ τοῦ διαβόλου, καὶ κύριος ἦν ἐκ δεξιῶν αὐτοῦ καὶ ἐρρύετο αὐτὸν ἐκ πάσης θλίψεως ἐπερχομένης αὐτῷ. ὁ δὲ διάβολος ἔτι ὁρῶν τὸν Ἀβραὰμ πολλοστὸν θείᾳ προνοίᾳ καὶ χάριτι, ἐπλήττετο καὶ ἐπήγειρε βασιλεῖς κατ' αὐτοῦ, καὶ ἐκ πασῶν ἐρρύσατο αὐτὸν ὁ κύριος. ηὐξήθη οὖν τὸ παιδάριον, τῆς καλῆς ῥίζης ὁ βλαστός, ὃς ἦν προσενεχθεὶς εἰς θυσίαν τῷ θεῷ, καὶ

XSCVO

4 - 6 Gen. 22 7. cf. Gen. 18

2 τῶν XSC : τὸν V 3 post διανοίας verba ἀγαπήσας ἑαυτὸν τούτῳ hab. V 4 δὲ om. XCV 4 εὐλόγησεν XSC : ηὐλόγησεν V 4 αὐτὸν SCV : αὐτῳ X 5 προθύμῳ καρδίᾳ nos : προθύμῃ (προθύμει S) καρδίᾳ XSC προθυμίᾳ καρδίας V 5 - 6 προσενέγκαι ἐσπούδασεν V προσηνέγκαι ἐσπούδασεν X προσήνεγκεν ἐσπούδασεν C προσήνεγκεν S 6 δικαιοσύνην XCV : δικαιοσύνη S 7 ὡς XSC : ὃς V 8 ἦν om. XSC 8 μυστήριον om. SV 9 αὐτὸν om. S 10 οὗτος XCV : οὕτως S 10 διαβόλου XS : δολίου CV 11 ἐρρύετο XSC : ἐρρύσατο V 12 ἐπερχομένης XCV : -μένοις S 12 δὲ S : οὖν XCV 13 ἐπήγειρε nos : ἐπείγειρεν S ἐπίγειρεν XC ἐπέγειρεν V 13 κατ' XCV : ὑπ' S 14 post πασῶν verbum αὐτοῦ hab. V 14 ἐρρύσατο XSV : ἐρρύετο C 14 ante τὸ verbum καὶ hab. V

οὗτος ὁ Ἰσαὰκ κατὰ πᾶσαν ἐντολὴν τοῦ θεοῦ ἐπορεύετο. ἡττᾶτο οὖν ὁ διάβολος, καὶ ὁ ἀγαθὸς θεὸς ἤγγιζε τῇ ἀνθρωπότητι καὶ οἰκειοῦτο τὴν ἰδίαν εἰκόνα. ὁ δὲ δόλιος ἔσπευδε περιτρέχων καὶ ἐρανιζόμενος κατηγορίας, ἵνα κατηγορήσῃ ἐνώπιον τοῦ θεοῦ τοὺς εὐσεβεῖς. παρελθόντος οὖν τοῦ δικαίου Ἀβραὰμ τὸν ἀνθρώπινον βίον, ἦρξε καὶ κατὰ Ἰσαὰκ τὰς παμπονήρους αὐτοῦ μηχανᾶς, ἀλλ' οὐκ ἴσχυσεν ἐκκλῖναι τὸν Ἰσαὰκ ἐκ τῆς εὐθείας ὁδοῦ. ἐγέννησεν οὖν δύο παιδάρια ὁμογάστρια, καὶ τὸν μὲν πρῶτον ἐκάλεσεν Ἠσαῦ, τὸν δὲ δεύτερον ἐκάλεσεν Ἰακώβ. αὐξηθέντων οὖν τῶν παιδαρίων, πολλοὺς διωγμοὺς διαβολικοὺς ὁ Ἠσαῦ πρὸς τὸν Ἰακὼβ ἐποίησεν. ἦν δὲ οὗτος ὁ Ἰακὼβ εὐλογημένος παρὰ θεῷ. ὁ δὲ Ἠσαῦ, ὅλως πεπυρωμένος ζήλῳ διαβολικῷ, ἐπεβούλευε πάντοτε τῷ ἰδίῳ ἀδελφῷ. ὁ δὲ θεὸς ὁ φυλάξας τὸν δίκαιον Νῶε καὶ Ἀβραὰμ καὶ Ἰσαάκ, αὐτὸς ἀπέστειλε τὸν ἄγγελον αὐτοῦ καὶ ἐρρύσατο τὸν Ἰακὼβ ἐκ χειρὸς Ἠσαῦ. οὗτος ὁ Ἰακὼβ ἐθεώρησε κλίμακα ἀπὸ γῆς εἰς οὐρανὸν φθάνουσαν καὶ παρεμβολὴν

XSCVO

12 - 14 Gen. 32:24 15 - 105.1 Gen. 28:12

1 οὗτος XCV : οὕτως S 1 τοῦ θεοῦ S : θεοῦ XC, om. V 1 ἐπορεύετο XSC : πεπόρευται V 1 ἡττᾶτο XCV : ἡτταίτω S 2 οἰκειοῦτο V : οἰκειούτω X οἰκιούτω S οἰκιοῦτο C 3 post δόλιος verbum δὲ tr. XCV 4 κατηγορίας XC : κατειγορίας S κατηγορίαις C 4 κατηγορήσῃ V : -ήσει SC -ίσει X 4 εὐσεβεῖς XCV : εὐσεβῶς S 5 ante τοῦ verbum καὶ hab. V 5 ἦρξε XSV : ἤρξατο C 6 ἴσχυσεν XCV : ἴσχυεν S 7 ἐκκλῖναι - ὁδοῦ : κατ' αὐτοῦ S, fort. recte 7 - 8 παιδάρια ὁμογάστρια XSC : παιδὰς ὁμογάστριας V 8 Ἠσαῦ XV : Ἰσαῦ S Ἰσαῦ, corr. Ἠσαῦ C 8 τὸν δὲ XCV : καὶ τὸν S

11 ὅλως XSV : ὅλος C 11 πεπυρωμένος XSC : πυρούμενος V 12 ἐπεβούλευε CV : ἐπεβούλευσεν X ἀλλ' ἐπεζήλωσεν S 12 τῷ ἰδίῳ ἀδελφῷ V : τὸν ἴδιον ἀδελφὸν XC καὶ τὸν ἀδελφὸν S 12 φυλάξας XSC : φυλάσσων V 14 οὗτος XCV : οὕτως S 15 κλίμακα] виничину Usp 15 ἀπὸ γῆς om. XS 15 οὐρανὸν CV : οὐρανοὺς XS

ἀγγέλων δι' αὐτῆς ἀναβαίνοντας καὶ καταβαίνοντας. οὗτος καὶ μετὰ ἀνθρώπου θείου ἐπάλαισεν. τοῦτον τὸν Ἰακὼβ ἐκάλεσε κύριος ὁ θεὸς Ἰσραήλ. οὗτος ὁ Ἰακὼβ ἐγέννησε δώδεκα υἱούς, οἳ καὶ ἐκλήθησαν οἱ δώδεκα πατριάρχαι καὶ ἐγένοντο δώδεκα φυλαί. οὗτοι κατέβησαν εἰς Αἴγυπτον μετὰ Ἰακὼβ τοῦ πατρὸς αὐτῶν, οὓς καὶ κατεδουλώσαντο οἱ Αἰγύπτιοι ἔτη τετρακόσια. ὁ οὖν διάβολος ἔτι ἐπέβλεπε τὸν ἀγαθὸν καὶ φιλάνθρωπον θεὸν προσεγγίζοντα καὶ ἐγκαινίζοντα τὸ ἅγιον αὐτοῦ πνεῦμα τοῖς αὐτῷ προσπελάζουσιν, καὶ ἔλεγεν ἐν ἑαυτῷ ὁ διάβολος, 'ὀλιγοστός ἐστιν ὁ λαὸς τοῦ θεοῦ. τί; ὅτι ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον ἀντίπαλον ἐμόν. ἐν Ἐδὲμ παράδεισον ἐφύτευσε καὶ ἔθετο αὐτὸν ἐκεῖ, ἐντολὴν αὐτῷ δεδωκώς, καὶ μὴ φυλάξας τὴν ἐντολὴν τοῦ θεοῦ, ἐξόριστος τοῦ παραδείσου γέγονεν, καὶ τοῦτο ἐνὶ λόγῳ πεποίηκα, καὶ μετὰ ταῦτα, τὴν τεκνογονίαν αὐτοῦ πρὸς φόνον ἤνεγκα καὶ ὑποχείριον ἔσχον τὸν πάντα καρπὸν αὐτοῦ, καὶ θυμῷ ὀργισθεὶς κύριος ὁ θεὸς δι' ὃν τὰς ἐμὰς βουλὰς ἔπραττον, κατακλυσμὸν ἐνέγκας, τούτους ἔφθειρεν,

XSCVO

1 ἀναβαινόντας XCV : -οντες S 1 καὶ κατ(α)βαίνοντας om. C 1 - 2 οὗτος - ἐπάλαισεν om. S 1 - 2 οὗτος - ἐπάλαισεν] человѣкомъ божественнымъ боролся Usp 2 ἀνθρώπου XC : ἀγγέλου V 2 ἐκάλεσεν post θεὸς tr. C 3 οὗτος XV : οὕτως S οὕτως, corr. οὗτος C 3 καὶ om. XCV 6 ὁ οὖν XCV : καὶ ὁ S 6 ἔτι om. S 8 αὐτῷ XSC : αὐτὸ V 8 καὶ ἔλεγεν XCV : ἔλεγεν οὖν S 8 διάβολος XSC : δόλιος V 9 ἐστιν om. XSC 10 ἐφύτευσεν XS : ἐνεφύτευσεν V 11 αὐτῷ om. S 12 τοῦτο V : τοῦτω S οὕτω XC 13 αὐτοῦ XCV : αὐτῷ S 14 ἔσχον XCV : ἔσχεν S 14 ὁ θεὸς om. S 14 δι' ὃν XC : δι' ὧν SV 15 ἐνέγκας XSC : ἐπενέγκας V

καὶ μετὰ τὸν κατακλυσμόν, οὗς εὗρον προσκολληθέντας αὐτῷ, †ὑπήρκεσα τοῖς ἐμοῖς μηχανήμασι, καὶ τὸν μὲν Χὰμ ὄντα υἱὸν Νῶε δικαίου ἀνδρὸς πεποίηκα καταραθέντα εἰς δουλείαν ζυγοῦ γενέσθαι, τὸν δὲ Ἀβραὰμ ὑπὸ πολλῶν πειρασμῶν ὑπέβαλον διὰ τῶν ἐμῶν βασιλέων, καὶ Ἰσαὰκ καὶ Ἰακώβ, οἷς αὐτοψεὶ ἐλάλησεν, καὶ νῦν ὁρῶ τὰς ἐμὰς βασιλείας ὑπὸ πλήθους λαῶν κατακεκοσμημένας, οἳ καὶ προσκυνοῦσι τοῖς ἐμοῖς θελήμασι καὶ πείθονται τῶν ἐμῶν ἐπαγγελμάτων, τὸν δὲ Νῶε καὶ Ἀβραάμ, Ἰσαὰκ καὶ Ἰακώβ, τούτους ἡ θεία δόξα ἐπέλαμψεν καὶ ἡ δέησις αὐτῶν ἡ πρὸς τὸν θεόν ἐνίκησέ με,' καὶ προσέσχε κύριος ὁ θεὸς τοῖς διαλογισμοῖς τοῦ δολίου, ὅτι ταῦτα καθ' ἑαυτὸν ἔλεγεν, καὶ εὐλόγησε τὸν Ἰσραήλ, καὶ ἦν λοιπὸν ὁ θεὸς πληρῶν τὸν ὅρκον τὸν πρὸς τὸν Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, καὶ ἐπέβλεψε κύριος ὁ θεὸς ἐπὶ τὸ ἴδιον πλάσμα, καὶ ἐπληθύνθη ὁ λαὸς τοῦ Ἰσραὴλ ἐν Αἰγύπτῳ. ὁ οὖν διάβολος εἰδὼς τὴν πληθὺν τοῦ Ἰσραήλ, ἦλον ἐδέξατο ἐν τῇ μιαρᾷ καρδίᾳ αὐτοῦ λέγων, 'εἰς κενὸν κοπιῶ. οὐκ

XSCVO

1 τὸν SCV : τῶν, corr. τὸν X 1 εὗρον XSV : εὕρων C 2 ὑπήρκεσα V : ὑπήρκεσεν XSC 2 post ὑπήρκεσα verbum αὐτοῖς hab. V 4 ὑπέβαλον nos : ὑπέβαλα XSCV 5 βασιλέων S : βασιλειῶν XCV 5 αὐτοψεί emendavi : αὐτόψεσιν XCV καὶ αὐτόθεσιν S, fort. αὐτόθεν emendandum 5 ἐλάλησεν XSV : ἐλάλησα C 8 ἐπαγγελμάτων SCV : ἐπαλμάτων X 8 τὸν δὲ om. XCV 8 ante Ἰσαὰκ verbum καὶ hab. C 8 καὶ (1) om. V 8 ἡ CV : ἦν X ἦν εἶχων S 10 τοὺς διαλογισμοὺς V : τοῖς διαλογισμοῖς XSC 10 δολίου XSV : διαβόλου C 11 καὶ (1) om. S 11 εὐλόγησεν XSC : ηὐλόγησεν V 11 τὸν XSV : αὐτὸν C 12 τὸν (3) om. S 13 ὁ λαὸς τοῦ X : ὁ θεὸς τοῦ S ὁ λαὸς τοῦ θεοῦ CV 14 ἐν Αἰγύπτῳ om. S 14 ὁ οὖν XCV : καὶ ὁ S 14 εἰδὼς X : ἰδὼς SCV

ἀπώσατο ὁ θεὸς τὸ πλάσμα αὐτοῦ· βλέπω γὰρ τὸν Ἰακώβ, ὅτι πλῆθος πολὺ ἐγένετο ὑπὲρ τὴν βασιλείαν μου Αἴγυπτον.' καὶ ἐξάπτει τὴν καρδίαν βασιλέως Αἰγύπτου, καὶ ἐκκλησιάσας πάντας τοὺς σοφούς, καὶ βουλευσάμενος μετ' αὐτῶν, τὰ μὲν ἄρρενα βρέφη τικτόμενα, ἀποκτένεσθαι ἐκέλευσε, τὰ δὲ θήλεια ζωογονεῖσθαι καὶ πάντας τοὺς υἱοὺς Ἰσραὴλ ἐν ἔργοις σκληροῖς κακοῦσθαι. ἐν τούτοις οὖν τοῖς βρέφεσιν ἐπιβλέψας ὁ κύριος, διεφύλαξεν ἕνα, ὃν ἀνείλατο ἡ θυγάτηρ Φαραὼ εἰς υἱόν, καὶ ἐκάλεσε αὐτὸν Μωϋσήν. ηὐξήθη οὖν τὸ παιδάριον καὶ ἐλθὼν ὁρᾷ καὶ εἷς Αἰγύπτιος παρέπληττε Ἰσραηλίτην. περιβλεψάμενος οὖν ὁ Μωϋσῆς καὶ μὴ ἑωρακώς τινα, ἀπελθὼν ἐποίησεν ἐκδίκησιν τῷ ἀδελφῷ αὐτοῦ, ἀποκτείνας τὸν Αἰγύπτιον. ἀκούσας οὖν τὸν ὀνειδισμόν, πτοηθεὶς ἔφυγεν εἰς Μαδιάμ, καὶ ἔλαβεν γυναῖκα καὶ ἐγέννησεν υἱοὺς δύο. ἦν δὲ ποιμαίνων τὰ πρόβατα τοῦ πενθεροῦ αὐτοῦ ἐν τῇ ἐρήμῳ καὶ ὤφθη αὐτῷ ὁ θεὸς ἐν φλογὶ πυρὸς τῇ βάτῳ καιομένῃ. ἑωρακὼς δὲ Μωϋσῆς τὴν βάτον καιομένην καὶ μὴ

XSCVO

9 - 11 Ex. 2:12 12 - 13 Ex 3:1 14 - 108.1 Ex. 3:3

1 γὰρ S : δὲ XCV 2 πολὺ XSC : πολὺν V 2 ἐξάπτει XSV : ἐξάπτῃ C 3 ἐκκλησίασας XSV : ἐγκλησίασας C 4 μὲν om. S 4 τικτόμενα XCV : ἀποτικτόντα S 5 ἀποκτένεσθαι XSV : ἀποκτήνεσθαι C 5 ἐκέλευσε XCV : ἐποίησεν S 5 τὰ δὲ θήλεια : τὰ δὲ θῆλυ XSCV 5 τοὺς om. XCV 7 ὁ om. XV 7 ἡ om. XC 8 post ἐκάλεσε verbum θὲν add. X[1] 8 αὐτὸν XSC : τὸ ὄνομα αὐτοῦ V 8 Μωϋσῆν V : Μωϋσῆ XSC 8 οὖν XSC : δὲ V 9 Αἰγύπτιος XCV : Αἰγύπτιον S 9 παρέπληττε CV : παρέπληγεν XS 9 Ἰσραηλίτην SV : Εἰσραηλίτην X Ἰσραλίτην C 10 περιβλεψάμενος XCV : περιβλεβλάμενος S 11 τῷ ἀδελφῷ C : τῶν ἀδελφῶν XS, fort. recte τὸν ἀδελφὸν V 12 ante Μαδιάμ verbum τὴν hab. V 14 καὶ om. V 14 θεὸς XCV : κύριος S, fort. recte 14 - 15 τῇ βάτῳ om. S 15 ἑωρακὼς S : ἑώρα XCV 15 - 108.1 καὶ μὴ καταφλεγομένην om. XSC

καταφλεγομένην, εἶπεν, 'διαβὰς ὄψομαι τὸ ὅραμα τὸ μέγα τοῦτο.' ὅτε οὖν προσήγγισε τοῦ ἰδεῖν τὸ ὅραμα, ἤκουσε φωνὴν λέγουσαν πρὸς αὐτόν, 'Μωϋσῆ, Μωϋσῆ.' ὁ δὲ σὺν φόβῳ πολλῷ ἀποκριθεὶς εἶπεν αὐτῷ, 'τί ἐστιν, κύριε;' εἶπε δὲ πρὸς αὐτόν, 'ἐγώ εἰμι ὁ θεὸς τῶν πατέρων σου Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ· μὴ φοβοῦ. λῦσον τὸ ὑπόδημα ἐκ τῶν ποδῶν σου· ὁ γὰρ τόπος ἐν ᾧ σὺ ἕστηκας, γῆ ἁγία ἐστίν. εἶδον δὲ τὴν κάκωσιν τοῦ λαοῦ μου τοῦ ἐν Αἰγύπτῳ, καὶ θέλω ἵνα διὰ χειρῶν σου ἐξέλθωσιν.' ταῦτα ὁ θεὸς λελαληκώς, καὶ τὰ ὀπίσθια αὐτῷ ὑπέδειξεν. ὁ δὲ Μωϋσῆς πρὸς τὸν θεὸν ἀπεκρίνατο, 'πῶς, κύριε, ὅλως οὐδὲν ὤν, τὸν λαόν σου ἐκ χειρὸς τῶν Αἰγυπτίων λυτρώσομαι;' ὁ δὲ κύριος φησίν, 'ἐγὼ ἐντέλλομαί σοι· σὺ δὲ πρὸς Ἀαρὼν τὸν ἀδελφόν σου.' καὶ ἀπῆλθεν Μωϋσῆς εἰς Αἴγυπτον καὶ ἔδωκεν ὁ θεὸς χάριν ἐν σημείοις καὶ τέρασι καὶ διέσωσε τὸν Ἰσραὴλ ἐκ δουλείας Αἰγυπτίων. οὗτος ὁ Μωϋσῆς μετὰ θεοῦ ἔλεγεν, καὶ εἴτιδ' ἂν ἤκουσεν, ἀνήγγειλεν εἰς τὰ ὦτα τῶν υἱῶν Ἰσραήλ, καὶ ἐρρύσθη Ἰσραὴλ ἐν βραχίονι

XS (13 *Αἰγυπτίων* - 14 *ἔλεγεν* mutil.) CVO

2 - 3 Ex. 3:4 4 - 7 Ex. 3:5 8 Ex. 3:7

1 ante *εἶπεν* verbum *καὶ* hab. XCV 1 *ὄψομαι* XV : *ὄψωμαι* S *ὄψωμε*, corr. *-ωμαι* C 2 *οὖν* om. S 2 - 3 *πρὸς αὐτόν* SCV : *αὐτῷ* X 3 *πολλῷ* om. S 3 *ἀποκριθεὶς* XSC : *ἀποκριθεῖ καὶ* C 4 *τί ἐστιν - αὐτόν* om XSC 4 post *αὐτὸν* verba *ὁ θεὸς* hab. XSC 6 *ἐκ* om. S 6 *ὁ γὰρ τόπος ἐν ᾧ σὺ ἕστηκας* V : *ἡ γὰρ γῆ ἐφ' ἣν σὺ ἵστασαι* (*εἵστασαι* C) XSC 7 *εἶδον* XC : *ἴδων* SV 7 *δὲ* om. S 7 *Αἰγύπτῳ* XCV : *Αἰγύπτου* S 9 *αὐτῷ* CV : *αὐτοῦ* XS, fort. recte 10 *ὅλως* X : *ὅλος* SCV 10 *οὐδὲν* S : *οὐδὲν* X, corr. *οὐθὲν* X^1 *οὐθὲν* CV, fort. recte 10 *ὤν* XCV : *ὄν* S 10 *τῶν* om. XSC 10 *λυτρώσομαι* XCV : *-ωμαι* S 11 *ἐντέλλομαί* SCV : *-ωμαί* X 14 *οὗτος* XSV : *οὕτως* C 14 *ἀνήγγειλεν* XSV : *ἀνήγγελλεν* C 15 *τῶν υἱῶν* om. S 15 *ἐρρύσθη* XSV : *ἐρύσθη* C

κραταιῷ. ῥάβδῳ πατάξας Μωϋσῆς τὸ ὕδωρ τῆς θαλάσσης καὶ σχισθὲν εἰς δύο χώρας, ἐπέρασεν Ἰσραὴλ ὡς διὰ ξηρᾶς. ὁ οὖν διάβολος εἶδεν ὅτι ἐξῆλθεν ὁ λαὸς Ἰσραὴλ ἐξ Αἰγύπτου καὶ φησὶν πρὸς τοὺς ἑαυτοῦ ἐραστάς, 'ἐξέλθετε ὄπισθεν αὐτῶν.' οἱ οὖν Αἰγύπτιοι ἀναζεύξαντες τὰ ἅρματα αὐτῶν ἐξῆλθον. ἐπαναστραφὲν δὲ τὸ ὕδωρ, ἐκάλυψεν τοὺς Αἰγυπτίους. ἔχαιρε δὲ ὁ διάβολος ἐπὶ τῷ γεγονότι τοῖς Αἰγυπτίοις καὶ ἔλεγεν ἐν ἑαυτῷ, 'εἰς τοῦτο κοπιῶ, καὶ σπουδὴ μοί ἐστιν ταῦτα ὑπηρετεῖν τῷ πλάσματι τοῦ θεοῦ. ὄντως εὐχαριστῶ τοῖς ἐμοῖς παντέχνοις ἐπινοήμασιν.' ὁ δὲ θεὸς ἦν μετὰ Ἰσραήλ. τούτῳ τῷ λαῷ κύριος ὁ θεὸς τὴν μὲν νύκτα στῦλον πυρὸς προπορεύεσθαι καὶ φωτίζειν προσέταξεν, τὴν δὲ ἡμέραν ἐν τῷ καύσωνι τοῦ ἡλίου νεφέλη ἐπεσκίαζεν αὐτούς, καὶ ἄρτον οὐράνιον ἔδωκεν αὐτοῖς, ὡς καὶ πετεινὰ προσέταξεν αὐτοῖς εἰς ἀπόλαυσιν, μάννα δὲ εἰς πλησμονὴν καὶ παντοῖα ἀγαθά. ὅτε οὖν ὁ ἐχθρὸς ἐπέτεινε τὰ πολύπλοκα αὐτοῦ δίκτυα, ἐπελάθοντο τῶν εὐεργεσιῶν τοῦ θεοῦ, καὶ οὐκ ἐμνήσθησαν τῆς ἡμέρας,

XSCVO

1 - 2 Ex. 14:22 10 - 12 Ex. 13:21

1 κραταιῷ XSV : ὑψηλῷ C 1 τὸ XSV : τῷ C 2 εἶδεν SC : ἴδεν X ἰδὼς V 3 Ἰσραὴλ om. X 3 καὶ om. XCV 3 - 4 πρὸς τοὺς ἑαυτοῦ ἐραστάς] своимъ любовникомъ Usp 5 ἐξῆλθον X : ἐξῆλθεν SCV 5 δὲ om. S 5 τὸ SCV : τῷ X 6 - 7 καὶ ἔλεγεν XCV : ἔλεγεν δὲ S 9 τούτῳ SCV : τοῦτο X 10 νύκτα XCV : νύκταν S 11 τοῦ ἡλίου XCV : τῷ ἡλίῳ S 12 ἐπεσκίαζεν XSV: ὑπεσκίαζεν C 12 οὐράνιον XS : οὐρανοῦ CV 12 αὐτοῖς XSC : αὐτοὺς V 12 ὡς XCV : ὃς S 13 ἀπόλαυσιν SCV : ἀνάπαυσιν X 13 εἰς XCV : ἡ S 13 - 14 παντοῖα ἀγαθά XCV : παντὸς ἀγαθοῦ S 14 αὐτοῦ δίκτυα X : αὐτοῦ δείκτυα S δείκτυα αὐτοῦ C δίκτυα αὐτοῦ V 15 τοῦ θεοῦ XCV : αὐτοῦ S

ἧς ἐλυτρώσατο αὐτοὺς ἐκ χειρὸς ἐχθρῶν, οὐδὲ τοῦ στύλου τοῦ πυρός, οὐδὲ τῆς νεφέλης, οὐδὲ τοῦ μάννα, οὐδὲ τῆς ὀρτυγομήτρας, ἀλλὰ παρεπίκραναν τὸν ὕψιστον ἐν ἀνύδρῳ, καὶ ἐμοσχοποίησαν, ὄντι Μωϋσῇ πρὸς κύριον ἐν τῷ ὄρει τοῦ λαβεῖν τὰς πλάκας τοῦ νόμου, καὶ ἔθυσαν τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας τοῖς δαιμονίοις, μιγέντες ἐν τοῖς ἔθνεσι καὶ ἐπόρνευσαν ἐν αὐτοῖς καὶ ἔμαθον τὰ ἔργα αὐτῶν, καὶ ὀργισθεὶς κύριος ἐπὶ τοὺς υἱοὺς Ἰσραήλ, ἠβουλήθη ἀποκτεῖναι αὐτοὺς ἐν τῇ ἐρήμῳ. ὁ δὲ Μωϋσῆς παρεκάλεσεν, μεσίτης ὢν θεοῦ καὶ ἀνθρώπων, ἐπεὶ εἴρηκεν αὐτῷ ὁ κύριος, 'δεῦρο καὶ ἀποκτενῶ αὐτοὺς καὶ ποιήσω σε εἰς ἔθνος μέγα.' ὁ δὲ Μωϋσῆς διὰ τῆς ἱκεσίας αὐτοῦ, ὡς ἄνθρωπος θεοῦ, ἐλυτρώσατο αὐτούς. ὁ οὖν διάβολος, ὁ ἀπ' ἀρχῆς τὸ πλάσμα τοῦ θεοῦ ἀπατῶν, ἐτήρει τὰς ἑαυτοῦ βασιλείας, ὡς ἐνομίζε, στελέχει σιδηρῷ, καὶ τὸν Μωϋσῆν ἐπειρᾶτο ἡττῆσαι, καὶ ἦν κύριος ὁ θεὸς μετὰ Μωϋσέως, καὶ Μωϋσῆς μετὰ τοῦ λαοῦ, καὶ παρεῖδεν κύριος τὰ πλημμελήματα Ἰσραήλ, καὶ ἔθετο ἰσχὺν ἐν αὐτῷ τοῦ ἐξολοθρεῦσαι

XS (15 πλημμελήματα - 111.1 ἔθνη mutil.) CVO

9 - 10 Ex. 32:11

2 - 3 ἀλλὰ παρεπίκραναν SCV : ἀλλ' ἐπαρεπίκραναν X 4 πρὸς κύριον om. S 5 post θυγατέρας verbum αὐτῶν hab. V 8 παρεκάλεσεν om. S 8 ὢν SCV : ὂν X 8 θεοῦ XSV : θεὸν C 9 ἐπεὶ om. S 9 αὐτῷ om. C 9 ὁ κύριος X : ὁ θεὸς SC κύριος V 9 καὶ om. C 9 ἀποκτενῶ V : ἀπόκτεινον S ἀποκτείνω XC 10 σε om. C 11 ante διάβολος verbum παγκάκιστος hab. V 11 οὖν XSC : δὲ V 12 ἐτήρει XSC : παρετήρει V 12 ἐνομίζε XCV : ἐνόμιζον S 13 σιδῆρῷ S : σιδηρᾷ XCV 13 ἐπειρᾶτο XV : -άτω SC 13 - 14 ὁ θεὸς om. XSV 14 παρεῖδεν XV : παρήδεν S παρῆκεν C

πάντα τὰ ἔθνη τὰ κύκλῳ, καὶ πάσας τὰς βασιλείας, αἳ τὸ ὄνομα κύριου οὐκ ἐπεκαλέσαντο. ἀνέξευξε δὲ Ἰσραὴλ ἅρμα θεῖον, καὶ ἀπέκτεινε κύριος ὁ θεὸς ἔθνη καὶ βασιλεῖς κραταιούς, καὶ ἐξολοθρεύθησαν πάντα τὰ στέμματα τὰ χρυσοκόλλητα. ὁ οὖν διάβολος πάλιν ἐπέτρεχε τοῖς υἱοῖς Ἰσραήλ, διδάσκων αὐτοὺς ποιεῖν τὰ τῆς ἰδίας πλάνης ἔργα, καὶ προτέραν ὁδὸν ἤρξαντο ἀναζητεῖν, καὶ ὠργίσθη θυμῷ κύριος, καὶ ἀπώσατο τὸν Ἰσραὴλ καὶ τὴν κληρονομίαν αὐτοῦ ὑπερεῖδεν. οὗτος ὁ ἄνθρωπος τοῦ θεοῦ ὁ Μωϋσῆς προεφήτευσε, λέγων ἐνώπιον τῶν υἱῶν Ἰσραὴλ περὶ τοῦ υἱοῦ καὶ λόγου τοῦ θεοῦ Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν ὅτι, 'προφήτην ὑμῖν ἀναστήσει κύριος ὁ θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμέ. αὐτοῦ ἀκούσεσθε, καὶ εἴ τις οὐκ εἰσακούσεται αὐτοῦ, ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἐκ τοῦ λαοῦ Ἰσραήλ·' ἀλλὰ καὶ ἑτέραν προφητείαν αὐτὸς εἴρηκεν, ὅτι, 'ὄψεσθε τὴν σωτηρίαν ὑμῶν ἐπὶ ξύλου κρεμαμένην.' ἤκουσεν δὲ ὁ διάβολος τὴν φωνὴν τοῦ Μωϋσέως καὶ ἐννεὸς ἐγένετο ἐν ἑαυτῷ λογισάμενος, 'τίς ἡ φωνὴ αὕτη, ἣν ἐφθέγξατο

XS (usque ad 1 ἔθνη, 10 ὑμῖν - 11 ἀκούσεσθε mutil.) C (4 χρυσοκόλλητα - 6 ὠργίσθη mutil.) VO

10 - 12 Deut. 18:15

1 ante ἔθνη verba ὁ θεὸς hab. XCV 2 ἀνέξευξεν SCV : ἀνέξευξαι X 2 Ἰσραὴλ om. V 3 ὁ θεὸς om. CV 4 τὰ (2) om. V 4 ὁ οὖν XC : ὁ δὲ V καὶ ὁ S 4 πάλιν om. C 4 ἐπέτρεχε SV : ἐπέτρεψεν XC 6 ὁδὸν XCV : ὁδῶν S 6 ὠργίσθη V : ὀργίσθη XSC 7 οὗτος XV : οὕτως S 8 ὁ om. XSC 8 προεφήτευσεν XCV : προεφύτευσε S 11 ἀκούσεσθε nos : ἀκούσεσθαι XC ἀκούσησθε V 11 εἴ XV : ἤ SC 11 εἰσακούσεται C : ἠσακούσεται X ἠκούσεται S εἰσακούσηται V 13 ante αὐτὸς verbum ὁ hab. CV 13 ὄψεσθε nos : ὄψεσθαι XCV : ὤψεσθαι S 13 σωτηρίαν XSC : ζωὴν V 13 ὑμῶν XSV : ἡμῶν, corr. ὑμῶν C 14 δὲ om. XCV 14 τοῦ om. S 14 Μωϋσέως XSC : Μωυσῆ V

ὁ Μωϋσῆς; μὴ καὶ ἐπὶ γῆς βεβούλευται ὁ θεὸς κατελθεῖν.' καὶ παρετηρεῖτο ὁ διάβολος ἡμέραν καθ' ἡμέραν τὸ κατάλοιπον τοῦ Ἰσραήλ. ἐτελεύτησε δὲ Μωϋσῆς ὁ οἰκέτης κυρίου, καὶ ἀνέστησεν ὁ θεὸς ἀντ' αὐτοῦ Ἰησοῦν ὄντα λειτουργὸν Μωϋσέως, ὃς καὶ πολέμους ἐκρότησε καὶ ἀπέκτεινε βασιλεῖς δυνατούς, καὶ τοὺς καταλειφθέντας υἱοὺς Ἰσραήλ εἰσήνεγκεν εἰς τὴν γῆν, ἣν κύριος ὁ θεὸς ὤμοσεν τοῖς πατράσιν ἡμῶν Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ. οὗτος δὲ ὁ Ἰησοῦς τὸν ἥλιον ἔστησεν, ἐπικαλεσάμενος κύριον τὸν θεὸν τοῦ οὐρανοῦ, καὶ τὴν σελήνην μὴ τρέχειν πεποίηκεν, ἕως ὅτου τοὺς ἐχθροὺς κυρίου ἀπέκτεινεν. ἐτελεύτησε δὲ καὶ ὁ Ἰησοῦς οἰκέτης κυρίου, καὶ ἤρξατο ὁ Ἰσραὴλ μειοῦσθαι καὶ σμικρύνεσθαι. ἀνέστησαν δὲ κριταὶ κρίνειν τὸν Ἰσραὴλ καὶ ἦν ὁ καιρὸς ἐν σμικρότητι καὶ οὐκ ἦν αὐτοῖς ἀρχηγός. ᾐτήσαντο δὲ κύριον τὸν θεὸν βασιλέα ἔχειν αὐτοῖς. ὁ δὲ κύριος πρὸς αὐτούς, 'Βλέπε, Ἰσραήλ, βασιλέα αἰτεῖς; μὴ εἰς τὴν καρδίαν σου κατὰ τοῦ θεοῦ ἀδικίαν λογίσῃ, καὶ γογγυσμὸς ἐν ὑμῖν ὑπεισέλθῃ.' ὑπήκουσε

XSCVO

1 βεβούλεται XSV : βούλεται C 2 παρετηρεῖτο XS : παρετηρῆτο C παραιτηρεῖτο V 2 διάβολος XS : δόλιος V 2 κατάλοιπον XSV : κατάλειπον C 3 ὁ (1) om. SCV 4 Ἰησοῦν XCV : υἱὸν S 5 δυνατούς XSC : κραταιοὺς V 6 εἰσήνεγκεν V : ἠσήνεγκεν XS : εἰσένεγκεν C 7 ante Ἀβραὰμ verbum τοῦ hab. S 7 καὶ (1) om. V 7 οὗτος XCV : οὕτως S 8 ἔστησεν] *устави* Usp 9 τρέχειν] *тещи* Usp 9 ὅτου V : οὗ XS, fort. recte, om. C 9 κυρίου XCV : αὐτοῦ S 10 ὁ (1) om. XCV 10 ὁ (2) om. S 11 κριταὶ XCV : κριτὰς S 12 ἐν XSV : εἰ C 13 ἔχειν XS : ἄρχειν CV 13 δὲ om. C 14 αἰτεῖς XSC : αἰτῆς V 14 post αἰτεῖς verbum με hab. V 15 λογίσῃ XV : λογήσῃ C λογήσει S 15 ὑπεισέλθῃ X : ὑπησέλθῃ S ἐπεισέλθῃ CV, fort. recte

δὲ κύριος τοῖς υἱοῖς Ἰσραὴλ καὶ ἐξελέξατο κύριος τὸν Σαοὺλ υἱὸν Κίς. οὗτος ἐβασίλευσεν ἐπὶ Ἰσραὴλ καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον κυρίου, ὡς μὴ ἐξολοθρεῦσαι τοὺς μὴ λατρεύοντας τῷ θεῷ ἀλλὰ θεοῖς· οὐ γὰρ ἐξολόθρευσε τὸν Ἀμαλήκ, ἀλλ' ἀγαθώτερος σπλαγχνισθεὶς ἤθελε τοῦ θεοῦ γενέσθαι, καὶ ἐξουδένωσε κύριος τὴν βασιλείαν Σαούλ, καὶ ἀπέστειλε πνεῦμα πονηρὸν κύριος καὶ συνέσχε τοῦ ἀποπνίγειν αὐτόν, διότι τὰς ἐντολὰς κυρίου παρῆλθεν, καὶ μετεμελήθη κύριος διὰ Σαούλ, ὅτι κέχρικεν αὐτὸν εἰς βασιλέα, καὶ εἶπε κύριος ὁ θεός ὅτι, 'εὗρον ἄνθρωπον κατὰ τὴν καρδίαν μου.' ἦν δὲ προφήτης ἐν ταῖς ἡμέραις ἐκείναις καὶ ὄνομα τῷ προφήτῃ Σαμουήλ. τούτῳ τῷ προφήτῃ ἐνετείλατο κύριος ὁ θεὸς λαβεῖν τὸ χρῖσμα τοῦ ἐλαίου τῆς βασιλείας, καὶ ἐλθὼν εὗρε Δαυὶδ τὸν δοῦλον κυρίου, ἄνδρα κατὰ τὴν καρδίαν αὐτοῦ, ὃς ἦν εὐθὺς καὶ ὅλος πρᾶος ἐν πνεύματι. πολλοὺς οὖν διωγμοὺς ὁ δόλιος διὰ Σαοὺλ κατὰ τοῦ ἐκλεκτοῦ Δαυὶδ ἐπήγειρε, καὶ ἐκ πασῶν ἐρρύετο αὐτὸν ὁ θεὸς ὁ ἐκλεξάμενος αὐτόν. οὗτος ὁ Δαυίδ, ὡς

XS (13 πολλοὺς - 14 ἐπήγειρε mutil.) CVO

2 1 Reg. 9

1 Σαοὺλ SCV : Ἰσραὴλ X 1 Κίς V : Κῆς XSC 3 μὴ (1) om. C 3 ἐξολοθρεῦσαι XSC : ἐξολοθρεῦσας V, fort. recte 3 τῷ θεῷ S : θεῷ V τὸν θεὸν XC 3 ἐξολόθρευσε CV : ἐξολοθρεῦσαι XS 4 Ἀμαλὴκ XSC : Ἀμαλὶκ V 4 ἀλλ' XSV : ἀλλὰ C 4 ἀγαθώτερος XCV : ἀγαθώτερον S 4 σπλαγχνισθεὶς XSV : σπλαχνισθεὶς C 4 ἤθελε SCV : ἦλθεν X 4 τοῦ om. XSV 6 συνέσχεν τοῦ XSV : συνέσχετο C 8 ὅτι (2) om. V 8 εὗρον XV : εὑρὼν SC 10 τούτῳ τῷ SCV : τοῦτο τὸ X 10 τῷ προφήτῃ XSV : τοῦ προφήτου C 10 post προφήτῃ verbum Σαμουὴλ hab. C 11 τὸ χρῖσμα - τῆς βασιλείας] помазь масла царскаго Usp 12 Δαυὶδ : Δ̄α̅δ̄ codd., hic et alibi, om. S 12 τὴν καρδίαν SCV : τῆς καρδίας X 13 εὐθὺς SV : εὐθὺς, corr. εὐθεὶς C εὐθεὶς X 13 πρᾶος XSC : πραὺς V 14 ἐπήγειρεν C : ἐπήγηρεν V ἐπέγειρε X 15 θεὸς XSV : κύριος C 15 ὡς CV : ὃς XS

πορευθεὶς ἐν ταῖς ἐντολαῖς τοῦ θεοῦ, εὐάρεστος ἀνεδείχθη. ὁ δὲ Σαοὺλ ἔπεσεν ἐν στόματι ῥομφαίας. ἀνεδείχθη οὖν Δαυὶδ βασιλεὺς καὶ προφήτης. τοῦτον τὸν πρᾶον Δαυὶδ ὅρκῳ ὤμοσεν ὁ θεὸς θεῖναι ἐπὶ τὸν θρόνον αὐτοῦ, καὶ μὴ ἀθετῆσαι αὐτόν, ἀλλ' ἐκ καρποῦ τῆς ὀσφύος αὐτοῦ θεῖναι αὐτὸν τῷ θρόνῳ αὐτοῦ. ὅτε οὖν Δαυὶδ προεφήτευσε περὶ Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ τοῦ θεοῦ τοῦ σάρκα φορέσαντος διὰ τὴν σωτηρίαν τοῦ γένους τῶν ἀνθρώπων, ἐμφανῶς εἴρηκεν, 'κύριος εἶπε πρός με, 'υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε.''' ἤκουσεν ὁ δόλιος ταύτην τὴν φωνὴν παρὰ τοῦ Δαυίδ, καὶ ἐγένετο ὅλος οὐδέν, καὶ ἔλεγεν ἐν ἑαυτῷ, 'περὶ τίνος ὁ λόγος οὗτος; ὡς οἶμαι ὁ θεὸς ἐπὶ τῆς γῆς βεβούλευται κατελθεῖν καὶ τοῖς ἀνθρώποις ὠφθῆναι.' ἐπλεονέκτει δὲ πλειοτέρως βλέπων τὴν ὀλιγότητα τοῦ Ἰσραήλ, καὶ ἀνεζωπύρει τὰς βασιλείας τῶν ἐθνῶν καὶ ἔθη ἀρχαῖα ὑπεμίμνησκεν αὐτούς· ἔλεγεν γὰρ ὅτι, 'τὸν λαόν, ὃν ἐξελέξατο κύριος, εἰ καὶ μέρος τῶν ἐμῶν βασιλειῶν, ἰσχὺν παρὰ θεοῦ λαβών, ὁλοθρεῦσαι νῦν ὑπὸ χειρῶν ἐμῶν ἐποίησα, καὶ

XS (7 *κύριος* - 9 *ὅλος* mutil.) CVO

1 - 2 1 Reg. 31:4 7-8. Ps.2:7

1 *ἐν* om. S 3 *τοῦτον τὸν πρᾶον* XSC : *τούτῳ τῷ πράῳ* V 3 *ὤμοσεν* V : *ὅμωσεν* XS *ὤμωσεν* C 4 *ὀσφύος* XSV : *κοιλίας* C 5 *αὐτοῦ* om. V 5 *θεῖναι* nos : *θῆναι* C *θῆσαι* XSV, fort. recte 5 ante *Δαυὶδ* verbum *ὁ* hab. CV 6 *τοῦ* (3) om. S 7 *ἐμφανῶς* CV : *ἐμφρόνως* XS, fort. recte 9 *Δαυὶδ* SCV : *θεοῦ* X 9 *ὅλος* CV : *ὅλως* X 9 *οὐδέν* S : *οὐθὲν* XCV, fort. recte 10 *οὗτος* XCV : *οὕτως* S 10 *γῆς* om. S 11 *βεβούλευται* XSC : *βεβούλεται* V 11 *ὠφθῆναι* XCV : *ὠμοιωθῆναι* S 12 *ἀνεζωπύρει* V : *ἀνεπύρροι* XS *ἀνεπύροι* C 13 *ὑπεμίμνησκεν* nos : *ὑπεμήμνησκεν* S *ὑπεμίμνησεν* XC *ὑπέμνησκεν* V 13 *ἔλεγεν* XCV : *ἔλεγον* S 14 *βασιλειῶν* XSV : *βασιλέων* C 15 *ἐμῶν* XCV : *ὑμῶν* S

ταῖς ἐμαῖς βασιλείας κατέμιξα, καὶ παρὰ θεοῦ μισηθείς, διεσπάρη ἐν ταῖς χώραις.' προσεσχηκὼς δὲ ὁ ἀγαθὸς θεὸς τοῖς διαλογισμοῖς τοῦ δολίου, ἐπλήροι τὸν ὅρκον, ὃν τῷ Δαυὶδ ἦν ὀμώσας. ἔτεκεν οὖν ὁ Δαυὶδ παιδάριον καὶ ἐβασίλευσεν ἀντὶ Δαυίδ, ὃς ἐκλήθη Σολομῶν. τούτῳ τῷ Σολομῶντι ἔδωκε κύριος ὁ θεὸς σοφίαν πολλὴν καὶ πλάτος καρδίας. οὗτος ὁ Σολομῶν ἀνῳκοδόμησεν οἶκον κυρίῳ τῷ θεῷ. ὁ δὲ ἀγαθὸς καὶ φιλάνθρωπος θεός, γνοὺς τοῖς διαλογισμοῖς τὰ παράνομα ἐπεισερχόμενα τοῖς ἀνθρώποις ἐκ τοῦ δολίου, καὶ ὅτι παρατηρεῖται τοὺς ἐν πνεύματι ἁγίῳ φθεγγομένους, καὶ προσεσχηκὼς ἐνεκαίνισεν τὸ πνεῦμα αὐτοῦ τὸ ἅγιον ἐν τοῖς προφήταις, οἳ ἦσαν ἄνδρες εὐσεβεῖς, καὶ ἤρξαντο κηρύσσειν τὴν ἔνσαρκον τοῦ θεοῦ λόγου οἰκονομίαν, λέγων εἷς ἕκαστος τὴν ἑαυτοῦ προφητείαν, ὡς τὸ πνεῦμα ἐδίδου ἑκάστῳ ἀποφθέγγεσθαι. ὡς δὲ ἤκουσεν ὁ διάβολος τῶν προφητῶν τὰ κηρύγματα περὶ τοῦ ἀποκεκρυμμένου μυστηρίου ἀπὸ τῶν αἰώνων καὶ ἀπὸ τῶν γενεῶν, ὅτιπερ τρανῶς τὴν τοῦ θεοῦ πρὸς ἡμᾶς συγκατάβασιν

XSCVO

5 3 Reg. 2:35

1 διεσπάρη V : διεσπάρει XC διεσπάρειν S 3 τῷ XSC : πρὸς τὸν V 3 ἦν ὀμώσας X : ἦν ὠμώσας C ἦν ὠμόσας V ὀνομάσας S 3 ὁ Δαυὶδ XV : Δαυὶδ C, om. S 4 ἀντὶ XSV : ἐναντὶ C 4 ὃς SCV : ὡς X, corr. ὃς X¹ 4 Σολομῶν SCV : Σαλομῶν X, hic et alibi 4 - 5 τούτῳ τῷ Σολομῶντι om. XS 5 ante ἔδωκε verbum καὶ hab. XS 5 κύριος om. S 5 θεὸς suppl. V¹ supr. lin. 6 οὗτος XV : οὕτως SC 6 ἀνῳκοδόμησεν nos : ἀνοικοδόμησεν XV ἀνοικωδόμησεν SC 6 κυρίῳ τῷ θεῷ XCV : κυρίου τοῦ θεοῦ S 8 παρατηρεῖται XCV : παρατηρήται S 9 ἐνεκαίνισεν nos : ἐγκαίνησεν XS ἐγκαίνισεν C ἐγκαίνιζει V 10 εὐσεβεῖς XSC : εὐλαβεῖς V 12 ὡς XSC : καθὼς V 12 ante πνεῦμα verbum ἅγιον hab. V 12 ἐδίδου XCV : ἐνήδη S 13 ἀποφθέγγεσθαι XCV : ἀπεφθέγγεσθαι S 15 ὅτιπερ XCV : ὅτι S 15 θεοῦ XSC : κυρίου V

ἀναφωνοῦσαν, ἔλεγεν, 'αἱ φωναὶ αὗται ὡς πῦρ κατέρχονται ἐν τοῖς ἐγκάτοις μου. οἶδα καὶ πληροφοροῦμαι ἐξ αὐτῶν τῶν φωνῶν, ὅτι κατελθεῖν ἔχει· ἀλλὰ ποίῳ σχήματι ἢ πῶς ἄρα ὀφθήσεται ἀνθρώποις, ἄφθιτος ὢν καὶ ἀόρατος καὶ ταῖς οὐρανίαις δυνάμεσιν, ὡς πῦρ ὅλος ὑπάρχων; ὅτε οὖν ἐκέκραγεν εἷς τῶν προφητῶν μεγαλοφώνως ᾧ ὄνομα Ἡσαΐας, 'ἰδού, ἡ παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱὸν καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ,' καὶ ὅτι, 'παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς οὗ ἡ ἀρχὴ ἐγενήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ, καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ Μεγάλης Βουλῆς ἄγγελος, θεὸς ἰσχυρός, ἐξουσιαστής, ἄρχων εἰρήνης, πατὴρ τοῦ μέλλοντος αἰῶνος.' ἀκούσας οὖν ταῦτα, πάλιν ἔλεγεν, 'ἆρα κλῖναι ἔχει ὁ θεὸς τοὺς οὐρανοὺς καὶ κατελθεῖν καὶ σάρκα φορέσαι, ὅλος ἅγιος καὶ ἄχραντος ὑπάρχων;' ἦν δὲ ἀνιστορῶν τὰ προτετυπωμένα περὶ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ καὶ τοὺς λοιποὺς πατριάρχας, πῶς ὠπτάνετο αὐτοῖς ὁ θεός, καὶ ἡδολέσχει σφόδρα καὶ ἔλεγεν, 'εἰ ὁ θεὸς ἔλθῃ καὶ σάρκα φορέσῃ, πῶς ὀφθήσομαι αὐτῷ; ποῦ δὲ

XS (7 *υἱὸς* - 9 *Βουλῆς* mutil.) CVO

1 3 Reg. 17:2 6 - 7 Is. 7:14 7 - 10 Is. 9:5

1 *ἀναφωνοῦσαν* om. XSC 1 - 2 *ἐν τοὶς ἐγκάτοις μου* om. XSC 2 *φωνῶν* XV : *φονῶν* S *προφητῶν* C 3 *ἀλλὰ* XSC : *ἀλλ' ἄρα* V 3 *ὀφθήσεται* XSV : *ὠφθήσεται* C 3 *ἀνθρώποις* CV : *ἄνθρωπος* XS 4 *ἄφθιτος ὢν καὶ ἀόρατος* : *ἀόρατος ὢν καὶ* V 4 *ὢν* XSV : *ὂν* C 4 *ὅλος* CV : *ὅλως* XS 5 *μεγαλοφώνως* C : *μεγαλοφρόνως* X *μεγαλόφωνος* S, om. V 5 *ᾧ* CV : *ὃ* S, om. X 6 post *Ἡσαΐας* verba *μεγάλῃ τῇ φωνῇ βοῶν* hab. V 6 *ἕξει* XCV : *ἕξῃ* S 6 *καλέσεις* S : *καλέσουσι* XCV, fort. recte 7 *υἱὸς* om. V 7 fortasse post *υἱὸς* verba *καὶ ἐδόθη ἡμῖν* supplenda ? 7 *ἐγεννήθη* V, om. XSC 9 *ἐξουσιαστής* om. XC 9 *ἄρχων* XV : *ἄρχον* SC 10 *πατὴρ τοῦ μέλλοντος αἰῶνος* om. XSC 10 *οὖν* om. V 11 *ἔχει* XCV : *ἔχειν* S 11 *τοὺς οὐρανοὺς* om. XSC 12 *ὅλος* SCV : *ὁ λόγος* X 12 *καὶ ἄχραντος* post *ὑπάρχων* tr. S 12 *ἦν* CV : *νῦν* XS 12 *ἀνιστορῶν* V : *ἀναστορίζων* XC *ἀνιστορίτων* S 13 *προτετυπωμένα* SV : *προτετυπομένα* X *πρότερα τυπομένα* C 14 *ὠπτάνετο* XCV : *ὀπτάνεται* S 14 *ἡδολέσχει* nos : *ἡδολέσχη* XSV *εἰδολέσχει* V 15 *ἔλθῃ* XSC : *ἔλθει* V 15 *φορέσῃ* XC : *φορέσει* V *φορέσας* S 15 *ὀφθήσομαι* X : *ὠφθήσομαι* SC *ὀφθήσωμαι* V

φανήσομαι λοιπόν; πᾶσα ἡ δύναμίς μου ὤλετο· ἀλλ' οἶδα τὸν θεὸν ἀναμάρτητον ὄντα καὶ ἀόρατον καὶ παντοίων ἀνεξιχνίαστον, καὶ πῶς ἐπαγγέλλεται Ἡσαΐας, ὅτι, 'παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱόν,' καὶ οἱ λοιποὶ προφῆται περὶ τοῦ λόγου τούτου κράζουσιν, καὶ πῶς παρθένος, φησίν, τέξεται ἄνευ συναφείας ἀνδρός, ἀκατανόητόν ἐστιν παρ' ἐμοῦ.' λοιπὸν δὲ καὶ πλειότερον εἰ καὶ ταῦτα καθ' ἑαυτὸν ἔλεγεν. ἐξήπτετο οὖν κατὰ τῆς ἀνθρωπότητος τελείῳ ἀφανισμῷ ἀφανίσαι πάντα τὰ ἔθνη, ἀλλὰ καὶ τὸν Ἰσραὴλ εἰδωλολατροῦντα χωρίσαι ἀπὸ θεοῦ ζῶντος καὶ τοῖς ἀκαθάρτοις εἰδώλοις προσελθεῖν, ὃ καὶ πεποίηκεν, καὶ ὀργισθεὶς κύριος ἐπὶ τὸν Ἰσραήλ, παρέδωκεν εἰς αἰχμαλωσίαν, τὴν ἰσχὺν αὐτῶν καὶ τὴν καλλονὴν αὐτῶν εἰς χεῖρας ἐχθρῶν, καὶ κατεπατήθη ὁ ἐκλεκτὸς λαὸς Ἰσραὴλ ὁ πολλὰς εὐεργεσίας παρὰ θεοῦ ἐσχηκὼς καὶ κατεκυριεύθη ὑπὸ βασιλειῶν ἀδίκων πολλῶν. ὡς οὖν κατέσχον τὸν Ἰσραήλ, κατέστησαν ἄρχοντα ἐπ' αὐτούς, ὃς ἦν αὐτοῖς ἰδίοις θεσπίσμασι προσελέγχων, καὶ ἦν Ἰσραὴλ σφόδρα

XS (2 παντοίων - 3 ἐπαγγέλλεται mutil.) CVO

1 φανήσομαι XC : -σωμαι SV 1 πᾶσα post μου tr. V 2 ὄντα XC : ὢντα S, om. V 2 post ἀνεξιχνίαστον verba ὡς ἀκατάληπτος hab. V 2 ante καὶ(2) verbum ἀλλὰ hab. XCV 3 ἕξει XSV : ἕξῃ C 5 φησίν post(4) πῶς tr. S 6 πλειότερον nos : πλεότερον XSV πλεώτερον C 7 ἐξήπτετο XCV : ἐξύπτετο S 7 οὖν om. XCV 7 ἀφανίσαι V : ἀφανείσαι S ἀφανήσαι XC 8 εἰδωλολατροῦντα XCV : εἰδολολατροῦν S 8 χωρίσαι XSC : χωρῆσαι V 9 ὃ SCV : ᾧ X 10 τὸν XSV : τῷ C 12 κατεπατήθη XV : κατεπατήθει S κατεπατίθη C 13 καὶ om. S 14 - 15 κατέστησαν - Ἰσραὴλ om. S, propter homoeoteleuton 14 ἄρχοντα XV : ἄρχοντας C 14 ὃς nos : ὡς XCV 15 προσελέγχων V : προσελέγχειν XC

σμικρυνθεὶς παρὰ πάντα τὰ ἔθνη. ὅτε οὖν τὰ πάντα τοῦ Ἰσραὴλ κατεπαύσαντο, οἱ προφῆται διελάλησαν ἕκαστος τὴν ἑαυτοῦ προφητείαν, ὡς καὶ ἔλεγον περὶ τῆς ἐνσάρκου οἰκονομίας τοῦ θεοῦ λόγου, ὁ μὲν πύλην, ὁ δὲ ῥάβδον, ἕτερος παιδίον ἐκ παρθένου μέλλει τίκτεσθαι, μᾶλλον δὲ ἐτέχθη ἡμῖν κύριος Ἰησοῦς Χριστὸς ὁ ἀληθινὸς θεὸς ἡμῶν, ἄλλος ὄρος ἅγιον, ὁ μὲν κιβωτὸν ἁγιάσματος, ὁ δὲ στάμνον χρυσὴν προτετυπωμένην, ἕτερος τοῖς ἀνθρώποις συναναστραφῆναι, καὶ ταῦτα πάντα, τέκνα μου, τὰ μὲν ὁ θεὸς προετύπωσε, τὰ δὲ οἱ προφῆται ἐκήρυξαν, πάντα δὲ ἐκ τοῦ θεοῦ, ὡς ἐξ αὐτοῦ καὶ δι' αὐτοῦ καὶ εἰς αὐτὸν τὰ πάντα. ὅτε δὲ ἡ χρηστότης τοῦ θεοῦ ἐγγίσασα ἦν πρὸς ἡμᾶς ἐπισκέψασθαι τοῦ κατελθεῖν τὸν θεὸν λόγον καὶ σάρκα τὴν ἡμῶν φορέσαι καὶ σῶσαι λαὸν Ἰσραηλίτην καὶ προσκαλέσασθαι πάντα τὰ ἔθνη, ὁ ἀγαθὸς λόγος καὶ θεὸς ὁ συναΐδιος τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, ἐθάρρησε μόνῳ τῷ πρωτοστάτῃ τῶν ἄνω δυνάμεων, Γαβριὴλ τῷ πυριμόρφῳ. ἦν δὲ ἡ πανένδοξος θεοτόκος ἐξ οἴκου καὶ

XSCVO

15 - 119.1 Luc 2:4

2 διελάλησαν SV : διελάλησεν X δὲ ἐλάλησαν C 3 τὴν ἐνσάρκου οἰκονομίας X : τῆς ἐν σαρκὶ οἰκονομίας CV τὴν ἔνσαρκον οἰκονομίαν S 3 - 4 τοῦ θεοῦ λόγου om. XSC 4 post ἕτερος verbum πάλιν hab. S 4 παιδίον - τίκτεσθαι] *отъ дѣвы хощетъ родитися отроча* Usp 5 ὁ XV : καὶ S, om. C 6 θεὸς post ἡμῶν tr. CV 6 ἄλλος XCV : ἄλλως S 6 ὄρος ἅγιον] *гору святую* Usp 6 κιβωτὸν XCV : κιβωτὸς S 6 κιβωτὸν ἁγιάσματος] *ковчегъ святыни* Usp 6 - 7 στάμνον χρυσὴν] *ручку златую* Usp 7 χρυσὴν XV : χρυσὶν C χρυσὸν S 7 ἕτερος XCV : ἕτερον V 8 ταῦτα post πάντα tr. S 8 τέκνα XSC : τεκνία V 9 ἐκήρυξαν SCV : προεκήρυξαν X 9 δὲ om. V 12 ante σῶσαι verbum τῷ hab. X 14 πρωτοστάτῃ nos : προτοστάτῃ V προστάτῃ XC πρωστάτῃ S 15 θεοτόκος SCV : παρθένος X

πατρίδος Δαυίδ, παρθένος καὶ ὅλη ἁγία καὶ ἄμωμος, μεμνηστευμένη ἀνδρὶ προγαμιαίῳ ὀνόματι Ἰωσήφ, καὶ ὄνομα τῆς ἀειπαρθένου θεοτόκου Μαριάμ. ὡς δὲ ἐπιστεύθη ὁ ἄγγελος τὸν θεῖον λόγον καὶ θεόν, κατελθὼν εἶπεν αὐτῇ, 'χαῖρε, κεχαριτωμένη, ὁ κύριος μετὰ σοῦ.' συνέλαβε δὲ ἡ ἁγία παρθένος καὶ ἔτεκε τὸν θεὸν ἐν σαρκί, ἀτρέπτως, ἀναλλοιώτως, ἀσυγχύτως, θεὸν καὶ ἄνθρωπον παρ' ἡμῖν τοῖς τὰ Χριστιανικὰ πειθαρχήματα κηρύσσουσιν· αἰσχυνθήτωσαν Ἰουδαίων μιαραὶ συντυχίαι· κατεπεσάτω ἡ πλάνη καὶ ἡ ἀχλὺς τῆς εἰδωλολατρίας χάριτι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. ταύτην τὴν γέννησιν ἄγγελοι ἐμαρτύρησαν οὐρανόθεν, φρικτὸν ὕμνον ἀναμέλψαντες, καὶ ποιμένες τὸ θαῦμα ἑώρακαν, ὡς καὶ μάγοι ἀπὸ ἀνατολῶν δῶρα προσήνεγκαν. ὁ οὖν διάβολος, γνοὺς τὸ μυστήριον καὶ ἀκούσας παρὰ τῶν ἀγγέλων τὴν δοξολογίαν καὶ ἑωρακὼς τοὺς μάγους τὰ δῶρα προσενέγκαντας, εἰσῆλθεν εἰς τὴν καρδίαν Ἡρῴδου τοῦ βασιλέως καὶ ταράξας πᾶσαν τὴν διάνοιαν αὐτοῦ, προσεκαλέσατο τοὺς μάγους καὶ ἐπείσθη παρ'

XS (6 ἄνθρωπον - 9 κυρίου mutil.) CVO

4 Luc. 1:28

1 πατρίδος XSCV, fortasse πατριᾶς emendandum ? 2 προγαμιαίῳ XCV : προγυναίᾳ S 3 θεοτόκου om. V 5 - 6 ἀτρέπτως, ἀναλλοιώτως, ἀσυγχύτως] несвратнъ, неизмѣньнъ Usp 8 καταπεσάτω XSV : καταπέσατο C 8 ἡ (2) om. X 10 ἀναμέλψαντες XS : ἀναμέλποντες C ἀναπέμψαντες V 11 τὸ XCV : τῷ S 13 προσενέγκαντας V : προσενέγκαντες, corr. -αντες X προσενέγκοντες S προσενέγκοντας C

αὐτῶν τὴν ἀληθῆ γέννησιν τοῦ Χριστοῦ. εἶπε δὲ πρὸς αὐτοὺς Ἡρῴδης, 'ἀπέλθατε καὶ ἐπὰν εὕρητε τὸν τεχθέντα βασιλέα, ἐλθόντες εἴπατε κἀμοί, ἵνα κἀγὼ ἐλθὼν προσκυνήσω αὐτόν.' οἱ οὖν μάγοι οὐ προσέσχον τοῖς λόγοις τοῦ βασιλέως, ἀλλὰ δι' ἄλλης ὁδοῦ ἀνεχώρησαν εἰς τὴν χώραν αὐτῶν. ὑπεισῆλθεν δὲ ὁ διάβολος εἰς τὴν καρδίαν Ἡρῴδου καὶ θυμοῦ καὶ ὀργῆς πλησθείς, ἀνεῖλεν πάντας τοὺς παῖδας, ἀπὸ διετοῦς καὶ κατωτέρω. ὁ δὲ κύριος Ἰησοῦς Χριστὸς ὁ τὰ πάντα συστησάμενος ἦν ἐν Βηθλέεμ ὑπὸ τὸ σπήλαιον, καὶ ἔκειτο ἐσπαργανωμένος <ἐν> φάτνῃ ἀλόγων, καὶ ἐξάραντες Ἰωσὴφ καὶ ἡ μήτηρ τοῦ Ἰησοῦ, θείου ἀγγέλου αὐτοῖς κατ' ὄναρ ἐμφανισθέντος, κατῆλθον εἰς Αἴγυπτον, καὶ ἵνα συνελών, τεκνία μου, πάντα εἴπω, οὗτος ὁ κύριος Ἰησοῦς Χριστὸς ὁ τοῦ θεοῦ πατρὸς λόγος, ἐπλήρωι τὴν οἰκονομίαν, δι' ἣν ἐνηνθρώπησε καὶ συνανεστράφη ἡμῖν ἔτη τριάκοντα, καὶ ἦν τις ἐν ταῖς ἡμέραις ἐκείναις ἱερεὺς ᾧ ὄνομα Ζαχαρίας, καὶ οὗτος ὁ Ζαχαρίας ἦν γεννήσας υἱὸν ἐν γήρει καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἰωάννην. οὗτος ὁ Ἰωάννης ἐξ

XS (1 *Ἡρῴδης* - 2 *βασιλέα* mutil.) CVO

2 - 3 Mt. 2:8 4 - 5 Mt. 2:12 6 - 7 Mt. 2:16 8 - 9 Luc. 2:12 13 - 14 Luc 1:15 15 Luc. 1:13

1 *γέννησιν* XSC : *γνῶσιν* V 2 *ἀπέλθατε* XV : *-ετε* C 2 *ἐπὰν* om. XC 2 *εὕρητε* V : *εὕρατε* X *εὕρετε* C 3 *ἐλθὼν* om. S 4 *τοῦ βασιλέως* XCV : *αὐτοῦ* S 5 *ὑπεισῆλθεν* V : *ὑπησελθὼν* XS *ὑπεισελθὼν* C, fort. recte 5 post *Ἡρῴδου* verba *τοῦ βασιλέως* hab. C 8 *Βηθλέεμ* XS : *Βιθλέεμ* CV 8 *τὸ* om. XCV 8 <*ἐν*> supplevi 9 *ἀλόγων* XS : *ἀλόγου* CV 9 *τοῦ Ἰησοῦ* XSC : *αὐτοῦ* V 10 *κατῆλθον* V : *κατῆλθεν* XSC 10 *καὶ* om. V 11 *οὗτος* CV : *οὕτως* XS 12 *δι' ἣν* S : *ἣ* XCV 13 *συνανεστράφη* XCV : *συνεστράφη* S 14 *ᾧ ὄνομα* nos : *ὃ ὄνομα* V *ὀνόματι* XSC, fort. recte 14 *ἱερεὺς*] *чиститель* Usp 14 *οὗτος* XCV : *οὕτως* S 15 *οὗτος* XCV : *οὕτως* S

ἐπαγγελίας γεγέννηται, ὃς καὶ ἐν ἐρήμῳ ἤρξατο κηρύσσειν τὴν βασιλείαν τοῦ θεοῦ. οὗτος ἐγένετο πρόδρομος τοῦ Χριστοῦ. οὗτος ἐβάπτισεν ὕδατι καὶ προεῖπε τοῖς ὄχλοις τὴν τοῦ Χριστοῦ παρουσίαν, λέγων αὐτοῖς ὅτι, 'ἐγὼ ὑμᾶς ἐβάπτισα ὕδατι, ἔρχεται δὲ ὁ ἰσχυρότερός μου. οὗτος ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί,' καὶ οὕτως λοιπὸν ἦλθε ὁ Ἰησοῦς πρὸς τὸν Ἰωάννην, καὶ θεασάμενος ὁ Ἰωάννης τὸν Ἰησοῦν πόρρωθεν ἐρχόμενον, ἐδακτυλοδείκτει τοῖς λαοῖς λέγων, 'ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου.' ἦλθεν οὖν, τεκνία μου, καὶ ἐβαπτίσθη ὑπὸ τοῦ Ἰωάννου ἐν τῷ Ἰορδάνῃ ποταμῷ, καὶ ἑστηκότων τῶν ὄχλων, φωνὴ ἠκούσθη ἐκ τῶν οὐρανῶν λέγουσα, 'οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ ηὐδόκησα,' καὶ τὸ πνεῦμα ἐν εἴδει περιστερᾶς κατῆλθεν ἐν τοῖς ὕδασι τοῦ Ἰορδάνου, καὶ βαπτισθεὶς ὁ Ἰησοῦς, καὶ πληρώσας πᾶσαν οἰκονομίαν, ἵνα σώσῃ τὸν κόσμον, ἤρξατο διδάσκειν. ἐπελέξατο δὲ δώδεκα ἀποστόλους καὶ πολλὰς νόσους ἐνώπιον τῶν ἀδελφῶν καὶ μαθητῶν αὐτοῦ ἐθεράπευσε, πολλά

XSCVO

4 - 5 Luc. 3:16, cf. Mt. 3:11, Mk. 1:8, etc. 6 - 8 Jn. 1:29 10 - 11 Mt. 3:17

1 ὃς CV : ὡς XS 2 πρόδρομος SCV : προφήτης X 4 ἐγὼ om. SXC 4 ἐβάπτισα XCV : ἐβάπτισεν S 4 ante ὕδατι verbum ἐν hab. C 4 ἔρχεται SCV : -ετε X 5 οὗτος XCV : οὕτως S 5 ὑμᾶς om. S 5 ἁγίῳ om. XC 6 ὁ (1) om. XC 6 καὶ om. XC, post ἦλθε tr. V 9 τεκνία SV : τέκνα XC 9 τοῦ om. S 9 τῷ om. XSC 9 Ἰορδάνῃ ποταμῷ] ѥрданѣ рѣцѣ Usp 10 ante καὶ verbum ὡς hab. V 13 σώσῃ XV : σώσει SC 14 δὲ om. S 15 τῶν ἀδελφῶν καὶ μαθητῶν αὐτοῦ V : μαθητῶν XC αὐτῶν S

τε σημεῖα καὶ τέρατα ἐποίησεν ἐν τῷ λαῷ, πολλοὺς δαιμονιῶντας ἰάσατο, πολλοὺς λεπροὺς ἐκαθάρισεν. ὁ οὖν διάβολος προσέχων, φησίν, τοῖς σημείοις, ἅπερ ὁ κύριος Ἰησοῦς Χριστὸς διὰ τῆς ἐνανθρωπήσεως αὐτοῦ πεποίηκεν, ἤρξατο κατασκοπεῖν πάντα, ἅπερ ἐποίησε, καὶ ἔλεγεν, 'εἰ οὗτός ἐστιν ὁ υἱὸς τοῦ θεοῦ, πῶς βλέπομεν τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα; καὶ ἐτάραξε τὰς καρδίας τῶν υἱῶν Ἰσραὴλ κατὰ τοῦ δημιουργοῦ τῶν ἁπάντων, καὶ συμβούλιον ἐποιήσαντο, ὡς θανατώσωσιν αὐτόν, διὸ τοὺς νεκροὺς αὐτῶν ἀνέστησε, διὸ τοὺς τυφλοὺς αὐτῶν ἐφωταγώγησεν. ὅμως καὶ ἑκουσίως ἐπὶ τὸ πάθος ἦλθεν ὁ κύριος, ἵνα τοὺς πλανηθέντας τοῖς ἐκείνου πλημμελήμασιν ἀνακαλέσηται καὶ ζώντων καὶ νεκρῶν κυριεύσῃ καὶ τοῖς ἐν τῷ Ἅιδῃ τὴν ἀπολύτρωσιν δωρήσηται. ἔλεγεν δὲ ἐν ἑαυτῷ ὁ δόλιος, προσέχων ὡς ἀνθρώπῳ μόνῳ τῷ δεσπότῃ ὅτιπερ, 'οὗτος υἱὸν τοῦ θεοῦ ἑαυτὸν εἶναι λέγει. βλέπω αὐτὸν ὅλον ὡς ἄνθρωπον·' ἦν γὰρ κρύψας ὁ κύριος τὴν ἑαυτοῦ θεότητα, ἵνα διὰ τῆς σαρκός, ἥνπερ εἴληφε,

XSCVO

5 - 6 Jn. 6:42

2 ὁ οὖν XCV : καὶ ὁ S 3 τοῖς σημείοις X : τῶν θαυμάτων τούτων ἁπάντων SCV 3 ἅπερ emendavi : ὥνπερ XCV ὅνπερ S 5 εἰ XC : ἡ S, om. V 5 ὁ om. V 5 τοῦ om. V 5 post πῶς verbum οὐ hab. XSC 5 βλέπομεν X : -ωμεν SCV 6 αὐτοῦ ante τὸν πατέρα tr. XCV 6 ante τῶν υἱῶν verba τῶν ἀνθρώπων hab. S 8 ὡς S : ὥστε XCV 8 θανατώσωσιν nos : θανατώσουσιν XC θανατόσοασιν S θανατῶσαι V 8 διὸ nos : δι' ὃν C δι' ὧν XSV 9 διὸ nos : δι' ὃν C δι' ὧν XSV 9 καὶ om. XCV 9 ἑκουσίως post[10] πάθος tr. V 11 ἀνακαλέσηται XV : ἀνακαλέσειται C ἀνασώσειται S 11 κυριεύσῃ XC : -σει SV 12 δωρήσηται X : δωρήσειται CV εὑρήσηται S 13 οὗτος XCV : οὕτως S 14 τοῦ θεοῦ post εἶναι tr. XS 14 τοῦ om. CV 14 ante βλέπω verbum πῶς hab. S 14 - 15 ἦν γὰρ κρύψας S : ἔκρυψε γὰρ XCV 15 ἑαυτοῦ om. XCV

δείξῃ τῷ διαβόλῳ τὴν κραταιὰν δύναμιν τῆς αὐτοῦ θεότητος καὶ νικήσῃ αὐτόν. προσῆλθεν οὖν αὐτῷ, πειράζων ὡς ἄνθρωπον. ὁ δὲ κύριος δυνάμει τῆς θεότητος αὐτοῦ ἐπιτιμήσας αὐτὸν ἄφαντον πεποίηκεν. πάλιν ἐπελθὼν τῷ κυρίῳ ὁ δόλιος ἔλεγεν, 'εἰ υἱὸς εἶ τοῦ θεοῦ, βάλε σεαυτὸν κάτω.' ὥστε οὖν ἀγνοῶν τὴν θεότητα, ταῦτα ἐποίει. ὁ δὲ κύριος πρὸς αὐτόν, 'ὕπαγε ὀπίσω μου, Σατανᾶ.' ἅπαντα οὖν καλῶς οἰκονομήσας καὶ πᾶσαν θαυματουργίαν ἐπιτελέσας, ἤδη ἐγγιζούσης τῆς ἡμέρας τῶν Ἀζύμων, ἥτις λέγεται Πάσχα, προσκαλεσάμενος τοὺς ἑαυτοῦ μαθητάς, εἶπε πρὸς αὐτοὺς ῥητῶς τὸ ἑκούσιον αὐτοῦ πάθος. ἦν δέ τις ἐκ τῶν δώδεκα ἀποστόλων Ἰούδας ὀνόματι, καὶ ἐν αὐτῷ εἰσῆλθεν ὁ διάβολος, ὥστε προσελθὼν τοῖς ἀρχιευρεῦσιν, εἶπε τοῦ λαβεῖν ἀργύρια καὶ προδοῦναι τὸν κύριον. ὁ δὲ εὔσπλαγχνος καὶ μακρόθυμος πολλοῖς λόγοις τῷ μαθητῇ τούτῳ ἐχρήσατο, ἵνα ἀναστείλῃ αὐτὸν ἐκ τῆς διαβολικῆς βουλῆς, ἀλλ' ἐνίκησεν αὐτὸν ἡ φιλαργυρία καὶ ἐνέγκας τοὺς Ἰουδαίους, συνελάβοντο

XS (2 προσῆλθεν - 3 δύναμει mutil.) CVO

4 - 5 Mt. 4:6 6 Mt. 4:10, 16:23

1 τῷ διαβόλῳ XCV : τοῦ διαβόλου S 1 αὐτοῦ om. XCV 2 νικήσῃ V : νικήσει XSC 2 αὐτόν XS : αὐτόν, corr. αὐτῷ vel αὐτῶν C αὐτῷ V 4 ἐπελθὼν XSV : ἀπελθὼν C 4 τῷ κυρίῳ XCV : αὐτῷ S 9 πρὸς αὐτοὺς XCV : αὐτοῖς S 10 αὐτοῦ om. S 10 ἀποστόλων XSV : μαθητῶν C 11 ὀνόματι ante Ἰούδας tr. C 11 διάβολος XSV : δόλιος C 13 τούτῳ SCV : τοῦτο X 14 ἀναστείλῃ C : ἀναστήλει XS ἀναστήλη V 14 αὐτὸν om. V 14 ἐκ XCV : ἀπὸ S 14 διαβολικῆς βουλῆς XCV : τοῦ διαβόλου συνεργείας S, fort. recte 15 ἐνέγκας XSC : ἐπενέγκας V 15 Ἰουδαίους XSC : ἰδίους V

τὸν κύριον καὶ παρέδωκαν Ποντίῳ Πιλάτῳ τῷ ἡγεμόνι. οὕτως λοιπόν, τεκνία μου, χρή με εἰπεῖν πρὸς ὑμᾶς, ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὁ τοῦ θεοῦ πατρὸς λόγος καὶ συναΐδιος υἱός, ὁ ἐν πατρὶ καὶ πνεύματι δοξολογούμενος, ἐτέχθη, ἐβαπτίσθη, ἐδίδαξεν, ἐθαυματούργησεν, ἐσταυρώθη, ἐτάφη ὡς θνητός, ἀνέστη ὡς δυνατός, λύσας Ἅδου τὰς πύλας καὶ δεσμὰ διαρρήξας καὶ ὤφθη τοῖς ἑαυτοῦ μαθηταῖς, ἀνενέγκας αὐτοὺς ἐν ὄρει λεγομένῳ τοῦ Ἐλαιῶνος, καὶ ἅπαντα διασαφήσας αὐτοῖς εἰρηκώς, 'πορεύθητε εἰς τὸν κόσμον ἅπαντα καὶ κηρύξατε τὸ εὐαγγέλιον τοῦτο, 'ὁ πιστεύσας καὶ βαπτισθεὶς σωθήσεται, ὁ δὲ ἀπιστήσας κατακριθήσεται.''' καὶ μετὰ ταῦτα, βλεπόντων τῶν μαθητῶν αὐτοῦ, ἀνελήφθη εἰς τοὺς οὐρανοὺς καὶ ἐκάθισεν ἐν δεξιᾷ τοῦ πατρός, ὅθεν μέλλει αὐτὸς ἔρχεσθαι κύριος Ἰησοῦς Χριστὸς εἰς τὸ κρῖναι ζῶντας καὶ νεκρούς. οὗτοι οὖν οἱ ἀπόστολοι διεσπάρησαν εἰς τὸν κόσμον ἅπαντα καὶ ἐκήρυξαν τὸ λόγον τοῦ θεοῦ. ἐκ τούτων οὖν τῶν δώδεκα ἀποστόλων ὁ κορυφαιότατος ἀπόστολος Πέτρος ἦλθεν ἐν τῇ

XSCVO

8 - 10 Mk. 16:15 - 16

1 οὕτως XSV : οὗτος C 2 χρή με XC : χρῆμαι V χρεῖμαι S 2 ὑμᾶς SCV : ἡμᾶς X 5 ante ἐσταυρώθη verbum καὶ hab. XSC 5 ἀνέστη ὡς δυνατός om. V 6 καὶ (2) om. XSC 7 τοῦ Ἐλαιῶνος XSV : Ἐλεῶνος C 8 ante εἰρηκώς verbum καὶ hab. XCV 8 καὶ om. C 9 - 10 ὁ δὲ ἀπιστήσας καταθριθήσεται om. C 11 ἐκάθισεν XSV : ἐκάθησεν C 12 ante αὐτὸς verbum ὁ hab. V 14 ἅπαντα SCV : πάντα X 14 καὶ ἐκήρυξαν XCV : κηρύξαι S 14 οὖν om. X 15 κορυφαιότατος XSC : κορυφαῖος V

μάλῃ τοῦ κόλπου, καὶ διδάξας τὸν λόγον τοῦ θεοῦ, ἦλθε καὶ ἔνδον, ὅπου ἤμην ἐγὼ ἔσω ἐν οἰκίσκῳ μικρῷ, καὶ κατέπαυσε παρ' ἐμοὶ ἡμέρας τεσσαράκοντα. ἤμην δὲ ἐγὼ σὺν τῷ πατρὶ καὶ τῇ μητρί μου, λαβὼν τὴν χάριν τοῦ ἁγίου πνεύματος καὶ βαπτισθείς, πρὶν ἢ ἐλθεῖν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν πρὸς τὸ ἑκούσιον πάθος, ὅστις ἀπόστολος ἀνείλατό με μεθ' ἑαυτοῦ καὶ ἀπέστειλε πρὸς ὑμᾶς, ἵνα καὶ ὑμεῖς τὸν λόγον τοῦ θεοῦ ἀκούσαντες παρ' ἐμοῦ, μὴ ἀκηδιάσητε, ἀλλὰ δέξησθε αὐτόν, ὡς ὑετὸν γῆ διψῶσα, ὡς ἑτοίμους γενέσθαι. παρακαλῶ οὖν ὑμᾶς τοῦ δέξασθαι τὸν ἔμφυτον λόγον, ἵνα τὴν ὑπακοὴν πληρώσαντες, κληρονόμοι γένησθε τῶν αἰωνίων ἀγαθῶν, ἐν ἀληθείᾳ περιπατοῦντες, τὴν ἀλήθειαν τοῦ Χριστοῦ εἰσδεχόμενοι." ὁ οὖν Βονιφάτιος ἀκούσας ταῦτα πάντα παρὰ τοῦ μακαρίου Παγκρατίου, πεσὼν ἐπὶ πρόσωπον ἔλεγεν, "δόξα σοι, Χριστὲ ὁ θεός, ὁ οὕτως εὐδοκήσας, ὁ μὴ παριδὼν τὸ κατὰ τὴν σὴν εἰκόνα πλασθὲν ὑπὸ τῆς σῆς ἀχράντου χειρός. πιστεύω, κύριε, πᾶσι τοῖς λεγομένοις ὑπὸ τοῦ θεράποντός σου Παγκρατίου. διὸ

XS (7 ἀκούσαντες - 8 ἑτοίμους mutil.) CVO

2 ἐγὼ XCV : κἀγὼ S 2 ἔσω om. S 2 παρ' ἐμοὶ XCV : σὺν ἐμοὶ S 4 πρὶν ἢ S : πρινὶ XV πρὶν V 4 - 5 πρὶν ἢ - πάθος] шествіемъ Господа Іисуса Христа на самовольную страсть Usp 5 ante ἀπόστολος verbum ὁ hab. C 6 ὑμεῖς XCV : ἡμεῖς S 7 ἀκούσαντες XC : ἀκούοντες V 7 ἀκηδιάσητε V : ἀκιδιάσητε C ἀκιδιάσειται S ἀκιδιάσηται X 7 δέξησθε V : δέξασθαι XC 10 γένησθε nos : γένησθαι V γένεσθαι C γενήσεσθαι XS 10 - 11 ἐν ἀληθείᾳ - εἰσδεχόμενοι : ἐν Χριστῷ Ἰησου τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων S, fort. recte 12 post πεσὼν verba εἰς τοὺς πόδας αὐτοῦ hab. S, fort. recte 13 Χριστὲ SCV : Χριστὸς X 13 παριδὼν C : παρηδὼς X παραδὼς S παριδὼς V 14 σῆς om. V 14 ante χειρός verbum σου hab. V 15 ὑπὸ XCV : παρὰ S

μὴ μνησθῇς, κύριε, ἀνομιῶν μου ἀρχαίων· πιστεύω γὰρ εἰς τὸ πλῆθος τῶν οἰκτιρμῶν σου. ἐλέησόν με, Ἰησοῦ Χριστὲ ὁ θεὸς τοῦ παντός." καὶ προσελθὼν προσέπεσε τοῖς ποσὶν τοῦ μακαρίου. ὁ οὖν μακάριος Παγκράτιος ἁπλώσας τὴν δεξιὰν αὐτοῦ χεῖρα, δέδωκεν αὐτῷ τὴν ἐν Χριστῷ σφραγῖδα καὶ κρατήσας αὐτὸν ἤγειρεν. ἀνέστη οὖν Βονιφάτιος εὐχαριστῶν τῷ θεῷ καὶ τῷ ἁγίῳ ποιμένι, λέγων οὕτως, "δόξα σοι, θεὲ παντοκράτωρ, μονογενῆ λόγε τοῦ πατρός, ὁ καταξιώσας ἡμᾶς τοὺς τὸ κακὸν τῆς εἰδωλολατρίας ἀεὶ πράττοντας πρὸς ἑαυτὸν ἑλκύσαι, ὁ μὴ παριδὼν τὸ ἴδιον πλάσμα· σάρκα γὰρ τὴν ἐμὴν εἴληφας, ἵνα ἐμὲ λυτρώσῃ τῆς πλάνης ταύτης." τούτων δὲ οὕτως λεγομένων, ἐφώνησεν ὁ ἀλέκτωρ καὶ ἤγγισεν ἡ τοῦ ἑωθινοῦ κανόνος ἐπιτέλεσις. ὁ οὖν μακάριος Παγκράτιος στραφεὶς πρὸς μὲ εἶπεν, "τέκνον Εὐάγριε, σὺν πᾶσι τούτοις καιρὸς τοῦ ποιῆσαι τῷ κυρίῳ," καὶ ἔστημεν τοῦ ποιῆσαι τὸν κανόνα τῶν ἑωθινῶν εὐχῶν, ψαλμικοὺς ψαλμοὺς ᾄδοντες. πρὶν δὲ εἰσελθεῖν ἡμᾶς εἰς τὴν εὐχήν, προσελθὼν ὁ Βονιφάτιος, ἔφη τῷ

XS (1 *κύριε* - 3 *μακαρίου*, 11 *ἑωθινοῦ* - 12 *Παγκράτιος* mutil.) CVO

1 *μνησθῇς* V : *μνησθεὶς* XSC 2 *Χριστὲ* CV : *Χριστὸς* X 2 *τοῦ παντός* CV : *τῶν δυνάμεων* X 4 *αὐτοῦ* om. XCV 5 ante *Βονιφάτιος* verbum *ὁ* hab. C 6 *οὕτως* XCV : *οὗτος* S 8 *εἰδωλολατρίας* : *εἰδολωμανίας καὶ λατρείας* S 8 *ἀεὶ* om. C 8 *ἑλκύσαι* SV : *ἑλκύσας* XC 9 *παριδὼν* CV : *παριδὼς* S *παρειδῶς* X 10 *λυτρώσῃ* V : *λυτρώσει* XSC 11 *ἤγγισεν* S : *ἤγγικεν* XCV 11 *ἡ* om. XC 12 post *εἶπεν* verbum *μοι* hab. S 13 *τοῦ* SCV : *τῷ* X 13 - 14 *καὶ ἔστημεν - ᾄδοντες*] *началъ пѣть канонъ заутреннихъ молитвъ съ псалмами* Usp 14 *τὸν κανόνα - εὐχῶν* : *τὸν αἰωθεινὸν κανῶνα* S 14 *ψαλμικοὺς ψαλμοὺς ᾄδοντες* om. S 15 *ἔφη* XSC : *λέγει* V

μακαρίῳ δεόμενος, "τίμιε πάτερ, κέλευσόν μοι ὡς κορεσθέντι τῆς πνευματικῆς σου διδασκαλίας, ἵνα μετ' εὐχῆς τῆς σῆς ἁγιωσύνης, ἀνέλθῳ ἐν τῇ πόλει καὶ τοὺς ἐμοὺς φίλους ἐπαποστείλῳ εἰς τοὺς ἰδίους τόπους·" ἦσαν γὰρ πέριξ τοῦ Αἰτναίου ὄρους οἰκοῦντες φοβεροὶ καὶ πάνυ τύραννοι ἄνδρες, οἳ ἦσαν μαχηταὶ καὶ ἐν πολέμοις δοκιμώτατοι. εὐθέως οὖν ὁ μακάριος ἐκέλευσεν αὐτῷ λέγων, "ἄπελθε, τέκνον, ἐν εἰρήνῃ. ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς κατευοδώσει σοι ἐν πάσῃ ἀγαθοεργίᾳ." ὁ δὲ Βονιφάτιος ἔφη τῷ μακαρίῳ, "πάτερ πνευματικὲ καὶ θεράπων Χριστοῦ, πάντα τὰ προσόντα μοι εἰς χεῖρας θεοῦ καὶ εἰς χεῖράς σου παρατίθημι, τήν τε ἐμαυτοῦ ψυχήν, χρυσίον καὶ ἀργύριον, παῖδας καὶ παιδίσκας, καὶ μόνον ἀξίωσόν με ἐν Χριστῷ υἱόν σου κληθῆναι." ὁ δὲ μακάριος Παγκράτιος δακρύσας ἔφη, ἄνω εἰς τὸν οὐρανὸν ἔχων τὸ ὄμμα, "γένοιτο, γένοιτο· καὶ γὰρ ἐν Χριστῷ ἐμὸν τέκνον εἶ, Βονιφάτιε, καὶ ὡς εὐγνώμων υἱὸς λελάληκας πρὸς τὸν σὸν πατέρα." ὁ οὖν Βονιφάτιος, πεσὼν καὶ προσκυνήσας εἰς τοὺς πόδας

XSCVO

1 ὡς ante κέλευσόν tr. S 2 σου om. S 4 τόπους XSC : οἴκους V 4 Αἰτναίου C : Ἐτναίου SV Ἐτναίους X 6 post μακάριος verbum Παγκράτιος hab. V 9 ante Χριστοῦ verbum Ἰησοῦ hab. V 10 ἀργύριον SV : ἄργυρον XC 11 καὶ (2) om. V 14 λελάληκας XCV : λελάληκα S

τοῦ μακαρίου, ἀναστὰς ἐξῆλθεν. προσυπήντησαν δὲ οἱ παῖδες αὐτοῦ καὶ ἐδέξαντο αὐτόν, καὶ προσκαλεσάμενός με ὁ μακάριος εἶπε πρός με, "δεῦρο, τέκνον, ἐπιτελέσωμεν καὶ ἡμεῖς τὰς ἑωθινὰς εὐχάς." καὶ εἰσήλθομεν ἐν ἑτέρῳ οἰκίσκῳ καὶ ἠρξάμεθα τοῦ κανόνος. ἐσήμανε δὲ καὶ ὁ Βονιφάτιος τὴν σάλπιγγα τὴν στρατιωτικὴν μελωδίαν ᾄδουσαν, καὶ ἐξῆλθον οἱ ἄνδρες ἀναζεύξαντες τὰ ἑαυτῶν ἅρματα καὶ ἀνῆλθον ἐν τῇ πόλει, καὶ πάντας ἀπολύσας εἰς τοὺς ἰδίους τόπους, ἐκάθητο ὁ Βονιφάτιος ἐν τῷ πραιτωρίῳ μετὰ τῶν οἰκογενῶν αὐτοῦ. ἐπληρώσαμεν οὖν καὶ ἡμεῖς τὸν ἑωθινὸν ὕμνον, καὶ προσελθὼν Λυκαονίδης τῷ μακαρίῳ εἶπε, "κύριέ μου Παγκράτιε, τὸ σὸν τέκνον Βονιφάτιος οὕτως ἐτόλμησεν εἰπεῖν, ἵνα ἀνέλθῃς ἐν τῇ πόλει καὶ εἰσέλθῃς εἰς τὸν οἶκον τοῦ πραιτωρίου." ὁ οὖν μακάριος πρὸς αὐτόν, "ναί, τέκνον μου, ἀλλ' οἱ ἀκάθαρτοι καὶ μιαροὶ δαίμονες, θρηνοῦντες τὴν ἰδίαν ἀπώλειαν, στασιάζειν ἔχουσι, καὶ οἱ ἀναίσθητοι ἱερεῖς στάσιν ἡμῖν ποιοῦσιν, ἀλλά, τέκνον, παρέλθοι ἡ ἡμέρα, καὶ οὕτως

XS (4 *ἠρξάμεθα* - 5 *μελωδίαν*, 13 *θρηνοῦντες* - 14 *ἀναίσθητοι* mutil.) CVO

2 *πρός με* om. V 3 *ἐπιτελέσωμεν* V : *τελέσωμεν* S, fort. recte *τελέσομεν* XC 6 *ἐξῆλθον* XV : *-ων* S *-αν* V 7 post *ἐκάθητο* verbum *οὖν* hab. S 9 *οὖν* om. S 9 *καὶ* (2) om. S 10 ante *Λυκαονίδης* verbum *ὁ* hab. S 10 post *μακαρίῳ* verbum *Παγκρατίῳ* hab. V 11 *οὕτως* XCV : *οὗτος* S 11 *ἀνέλθῃς* XCV : *ἀνέλθεις* S 12 *εἰσέλθῃς* XCV : *εἰσέλθεις* S 12 *τὸν* om. XS 15 *ποιοῦσιν* XSC : *ποιήσωσιν* V 15 *ἀλλά* XSC : *ἀλλ' ἄφες* V, fort. recte 15 *πάρελθοι* XSV : *πάρελθη* C 15 *οὕτως* XCV : *οὗτος* S

ἀνερχώμεθα. ὅμως, τέκνον, χαράξω γράμματα τῇ ἐμῇ χειρί, καὶ ἄνελθε καὶ δὸς αὐτά, οἵῳ ἐπίστασαι μιαρῷ θεῷ πλειότερον σεβομένῳ παρὰ τῶν Ταυρομενιτῶν, ἵνα κατόχιον ἐν τῷ στόματι λάβωσιν." ἐχάραξεν οὖν ὁ μακάριος Παγκράτιος γράμματα πρὸς Λύσσονα οὕτως,

"Παγκράτιος δοῦλος Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν, Λύσσονι τῷ μιαρῷ καὶ ἀκαθάρτῳ καὶ ἀναισθήτῳ καὶ βδελυκτῷ δαίμονι τῷ λεγομένῳ θεῷ τῶν Ταυρομενιτῶν, γράφει ταῦτα.

δεχόμενος τὰ παρόντα μου γράμματα καὶ τὰ ἐγκείμενα ὑπαναγνούς, τάχιστα ἐκπλήρωσον καὶ ἄπελθε εἰς τοὺς σὺν σοὶ μιαροὺς θεοὺς καὶ ἐπιδὸς αὐτοῖς τὴν ἐπιστολὴν ταύτην, καὶ μὴ θορύβους ἐν τῷ στόματι κατασχῆτε, ἀλλὰ κατόχιον, εἴπερ ἀκαταστασίαν κάμνοντες, ἐπάρξασθε θρηνεῖν τὴν ὑμετέραν ἀπώλειαν. θέλω δὲ ὑμᾶς τὰς προσυνήθεις ἐπιτελουμένας ὑμῖν θυσίας δέχεσθαι ἄνευ μέντοι ἀνθρωπίνης φύσεως. διὸ μακρὰν ποιήσατε ἑαυτοὺς ἀπὸ τοῦ πλάσματος τοῦ θεοῦ μου, καὶ μηκέτι ἐπενέγκητε τὴν ὑμετέραν πλάνην ἐν αὐτῷ."

XSCVO

2 ἀνερχώμεθα nos : ἀνερχόμεθα V ἀπερχόμεθα XS ἀπερχώμεθα C 2 ἄνελθε V : ἄπελθε XSC 2 ἐπίστασαι XSV : ἐπίστασε C 3 ἐν om. C 4 Παγκράτιος om. S 4 γράμματα om. SV, fort. recte 4 πρὸς Λύσσονα om. S 5 οὕτως XCV : οὕτος S 10 γράφει XV : γράφη S, om. C 12 μου XCV : μοι S 13 ὑπαναγνούς XCV : ἀναγνούς S, fort. recte 14 σὺν XCV : ἐν S 14 τὴν ἐπιστολὴν] Епистолію Usp 15 θορύβους] плища Usp 15 post στόματι verbum ὑμῶν hab. V 15 κατασχῆτε nos : κατασχεῖτε C κατασχείται XS κατέσχεται V 16 ἀλλὰ κατόχιον] но жнъмъніе Usp 17 ἐπάρξασθε V : ἐπάρξασθαι XS ἐπράξασθαι C 18 προσυνήθεις XCV : προσυνηθείας S 19 δέχεσθαι XSC : εἰσδέχεσθαι V 19 20 μέντοι XCV : μὲν S 20 21 ἑαυτοὺς XSV : αὐτοὺς C 21 22 ἐπενέγκητε C : ἐπενέγκειται X ἐπενέγκηται S ἐπηνέγκητε V

δεξάμενος οὖν ὁ Λυκαονίδης παρὰ τοῦ μακαρίου Παγκρατίου τὴν ἐπιστολήν, ἐπισάξας τὴν ἰδίαν ἡμίονον, ἀνῆλθεν ἐπὶ τὸ Τετραΐππιον, ἔθνα ἦν ὁ Λύσσων ὁ τῶν Ταυρομενιτῶν θεός, καὶ προφάσει ὡς ὅτι λίβανον θυμιάσαι ἦκεν, εἰσῆλθεν ἐν τῷ ναῷ τοῦ Λύσσονος καὶ ἐνέβαλε τὴν ἐπιστολὴν τῷ ἀνδριάντι, καὶ ἐξελθὼν κατερχόμενος παρεγένετο πρὸς ἡμᾶς, ἐπεί, ὡς ἔλεγεν, ἐταράχθη τὸ πάρεδρον βιαίως καὶ σεσιώπηκεν. πληρωθείσης οὖν τῆς ἡμέρας, ὥρα ἦν ὡσεὶ τρίτη τῆς νυκτός, καὶ ἦλθε φωνὴ κράζουσα, "δοῦλε τοῦ θεοῦ τοῦ ζῶντος, τὸ κελευσθὲν ἡμῖν παρὰ τῆς σῆς ἁγιωσύνης πεποίηκαμεν. θεράπων καὶ μαθητὰ τοῦ Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ, ἄνελθε ἐν τῇ πόλει σου." ἀκούσας οὖν ὁ μακάριος τὴν φωνὴν ταύτην, κλίνας τὰ γόνατα εὐχαρίστησε τῷ θεῷ, καὶ ἀναστὰς εἶπε πρὸς μέ, "τέκνον Εὐάγριε, λάβωμεν καὶ ἀνέλθωμεν ἐν τῇ πόλει," καὶ λαβόντες τὰ τῆς πίστεως σκεύη, ἐξήλθομεν, καὶ ἐξελθόντων ἡμῶν, λαμπτὴρ ἀστροφεγγὴς ἐφαίνετο, ὁδηγῶν ἡμᾶς ἕως ὅτου ἐφθάσαμεν ἐν τῇ πόλει πρὸς

XSCVO

1 δεξάμενος οὖν V καὶ δεξάμενος S δεξάμενος XC 2 ἐπισάξας τὴν ἰδίαν ἡμίονον] *wседла свое мьще* Usp 2 τὸ XCV : τῷ S 2 Τετραΐππιον XC : Τετρυΐππιον Τετραΐππιν V 4 ἦκεν XCV : οἴκει S 4 τῷ ναῷ τοῦ Λύσσονος] *церквище его* Usp 5 τὴν ἐπιστολὴν] *книгы* Usp 5 κατερχόμενος XC : κατεχόμενος V, om. S 5 παρεγένετο XSC : ἐγένετο V 6 ἐπεὶ ὡς ἔλεγεν XCV : ἔλεγεν δὲ S 7 σεσιώπηκεν] *замолчалъ* Usp 7 πληρωθείσης V : -θήσης XC -θήσεις S 7 οὖν τῆς XCV : αὐτῆς S 8 καὶ om. V 8 τοῦ (1) om. CV 12 εὐχαρίστησεν XSC : ηὐχαρίστησεν V 12 πρὸς μέ ante εἶπε tr. V 13 ἀνέλθωμεν XSV : -ομεν C 14 ἐξήλθομεν XSV : -ωμεν C 14 ἀστροφεγγὴς] *звѣздовидѣнь* Usp 15 ἐφαίνετο C : ἔφαινεν XSC 15 ὅτου XSC : οὗ V

Βονιφάτιον. ὁ οὖν Βονιφάτιος ἀκούσας ἦκειν ἡμᾶς, ἀναστὰς προσυπήντησεν ἡμῖν, καὶ εἰσήνεγκεν ἐν οἰκίσκῳ μικρῷ, καὶ ἐνέγκας τοὺς ἐπὶ τοῦ πραιτωρίου ἐπιτρόπους, ἐκέλευσε τοὺς ἐν τῷ οἴκῳ σιγὴν σχεῖν, ὥστε νομίζειν ἡμᾶς μὴ εἶναί τινα ἐν τῷ πραιτωρίῳ. θήσας οὖν ὁ Βονιφάτιος κλίνην καὶ τράπεζαν καὶ δίφρους, λέγει τῷ μακαρίῳ, "τίμιε πάτερ, δεῦρο, ἀνακλίθητι." ὁ οὖν μακάριος ἀνεκλίθη, καί, ἐνέγκαντες τὰ ἐπιτήδεια τῆς τραπέζης, ἐκέλευσεν ὁ μακάριος καθίσαι ἐμέ τε καὶ Λυκαονίδην καὶ Βονιφάτιον, καὶ ποιήσας εὐχὴν ἐπὶ τὴν τράπεζαν, ἔλαβε λάχανον λεπτὸν πυροῦ, καὶ κλάσας ἐπέδωκεν ἡμῖν, καὶ μεταλαβόντες τροφῆς, ἀνέστημεν, καὶ προετρέψατο ἡμᾶς ὁ μακάριος Παγκράτιος στῆναι εἰς προσευχὴν τοῦ παννυχίου, καὶ σταθέντες ἐπληρώσαμεν τὸ παννύχιον, καὶ προσῆλθεν ὁ Βονιφάτιος τοῖς ποσὶ τοῦ μακαρίου Παγκρατίου λέγων, "δέομαί σου, ἅγιε τοῦ θεοῦ, μὴ ἀποποιήσῃ με τοῦ πλησίον σου εἶναι , ὡς μὴ καθαρεύοντός μου, ἀλλὰ κέλευσον ἐλθεῖν τὴν κλίνην τοῦ ἀναξίου δούλου σου πλησίον

XS (1 *ἀναστὰς* - 2 *ἐνέγκας*, 11 *στῆναι* - 12 *προσῆλθεν* mutil.) CVO

1 *ὁ οὖν* XCV : *καὶ ὁ* S 1 *ἦκειν* post *ἡμᾶς* tr. S 2 *προσυπήντησεν* XC : *προϋπήντησεν* V, fort. recte 2 *ἡμῖν* XC : *αὐτῳ* V 2 *ἐν οἰκίσκῳ μικρῷ*] *хлѣвину малу* Usp 6 *ἀνακλίθητι* C : *ἀνακλήθητι* XSV 6 *ἀνεκλίθη* XC L *ἀνεκλήθη* SV 7 *ἐνέγκαντες* XSC : *ἐνέγκας* V 7 *τὰ* om. C 7 *καθίσαι* C : *καθήσαι* XSV 9 *λάχανον λεπτὸν πυροῦ*] *тонкій съ масломъ деревяннымъ створенъ* Usp 12 *παννύχιον*] *Обнощницу* Usp 13 *σου* XCV : *σοι* S 14 *ἀποποιήσῃ* XS : *-ποιήσει* C *-ποιήσῃς* V 14 *καθαρεύοντός* XS : *καθαροῦ ὄντως* C *καθαροῦ ὄντος* V, fort. recte

τῆς σῆς ἁγιωσύνης," καὶ ἐκέλευσε γενέσθαι οὕτως, καὶ ἀνεκλίθημεν ἕως ὅτου ὁ καιρὸς τοῦ ἑωθινοῦ κανόνος ἤγγικεν, ἅμα πάντες, ὅ τε μακάριος Παγκράτιος καὶ Βονιφάτιος καὶ ἐγὼ καὶ Λυκαονίδης, καὶ οὕτως λοιπὸν ἐγένετο ἡ ἀναστροφὴ ἡμῶν ἐν τῷ πραιτωρίῳ ἕως ἡμερῶν τεσσαράκοντα. οἱ οὖν ἄτακτοι τοῦ λαοῦ ἐβουλεύσαντο τῷ ἰδίῳ νοὶ ὡς ὅτι, "μὴ προσποιησώμεθα τὸ πραιτώριον Βονιφατίου, ἀλλὰ ποιήσωμεν αὐτῷ στάσιν." ὅτε οὖν ἔδοξε τοῖς μιαροῖς ἱερεῦσιν, ἦλθον πρὸς Βονιφάτιον κράζοντες, "κύριε ἡγεμών, ἡ πανήγυρις τοῦ μεγάλου θεοῦ Λύσσονος ἤγγικεν. προσέλθωμεν καὶ τούτῳ προθύμως, μήπως καὶ αὐτὸς ἐν δισταγμῷ ὁρῶν ἡμᾶς, ἀλλοτοπίσῃ, ὡς ὁ καθαρὸς Φάλκων, καὶ ἐγκαταλειφθῶμεν τῶν πατροπαραδότων ἡμῶν ἐθῶν ὀρφανοί, καὶ κατάγελως τῶν πέριξ πόλεων γενόμεθα." ταῦτα εἰρηκότες κατέκραζον λέγοντες, "κύριε ἡγεμών, θλῖψις ἡμᾶς περιέχει, ὅτι ἀφ' οὗ Λυκαονίδης ἦλθεν, οἱ μέγιστοι θεοὶ ἡμῶν μῖσος μεμίσηκαν ἡμᾶς, καὶ ὅτε προσερχόμεθα αὐτοῖς, οὐ δίδωσιν ἡμῖν κληδόνας

XSCVO

1 ἀνεκλίθημεν XS : ἀνεκλήθημεν CV 2 ἕως ὅτου XSV : ἕως οὗ ἔφθασεν C 2 ὁ om. V 2 ἤγγικεν om. C 3 καὶ(3) XV : ὁ S, om. C 4 ἡμερῶν XSV : ἡμέρας C 5 τοῦ λαοῦ om. XSC 6 προσποιησώμεθα SCV : -σόμεθα X 6 τὸ πραιτώριον : τὸ πραιτορίῳ S 6 Βονιφατίου : Βονηφατίῳ S 6 ἀλλὰ XSV : ἀλλ' C 7 μιαροῖς om. C 8 κράζοντες XCV : λέγοντες S 9 ἤγγικεν XSC : ἤγγισεν V 9 προσέλθωμεν XSV : -ομεν C 9 καὶ τούτῳ προθύμως V : καὶ τοῦτο προθύμως X κἂν τοῦτο προθύμως S κατὰ τούτου προθύμος C 10 ἀλλοτοπίσῃ X : ἀλλοτοπήσι S ἀλλοτοπήσῃ V ἀλλοπήσει C 11 ἐγκαταλειφθῶμεν XV : ἐγκαταληφθῶμεν C καταλειφῶμεν S 11 ἐθῶν SCV : ἠθῶν X, fort. recte 12 κατάγελως nos : καταγέλος XSCV 12 κατάγελως - γενόμεθα] *wcмисанию wкроугьниимь градомь боудемь* Usp 12 γενόμεθα XSV : γενόμενοι C 13 θλῖψις XCV : θλίψεις S 14 μεμίσηκαν V : ἐμίσησαν XC : ἐμίσησεν S 15 προσερχόμεθα XSV : -ώμεθα C 15 ante κληδόνας verbum τὰς hab. C

ἀσφαλεῖς καὶ ὀνειράτων λύσεις, κἂν θυμιῶμεν αὐτοῖς, οὐ προσέχωσιν ἡμῖν. πολλάκις προσήλθομεν αὐτοῖς, κύριε ἡγεμών, διὰ τὸν καθαρὸν Φάλκονα ἐρωτῶντες καὶ τὸ πάρεδρον ἐρινοκτυπήσαμεν καὶ ἀπόκρισιν οὐ δέδωκεν ἡμῖν. τί ἔτι λοιπὸν καλούμεθα ἱερεῖς; συμφέρον ἡμῖν ἐστιν πᾶσαν ἀρεσκέιαν ποιῆσαι τοῖς θεοῖς ἡμῶν καὶ τῶν πατροπαραδότων ἡμῶν ἐθῶν ζήτησιν ποιεῖσθαι. ὅτε ὁ ποθητὸς ἡμῶν Φάλκων ἠφαντώθη, ἤλθομεν πρός σε, καὶ ὡσεὶ λήρους ἔσχες τὰ ῥήματα ἡμῶν. μνήσθητι, ὦ ἡγεμών, ὕπατε τῶν μεγίστων θεῶν, οἵτινες περιέστεψάν σε εὐγένειαν, πλούτου περιφάνειαν, ἡγεμονίας τάξιν, ὑπατικοῦ λαμπρότητα, ὡς καὶ τοποκτίστης ἐκλήθης κατὰ τὰ πατρῷα ἔθη τὰ Ἑλληνικά, καὶ νῦν οὐ βλέπομεν ἔτι ἐν σοὶ τὴν ἐκείνην πολλοστὴν σπουδήν, ἣν τὸ πρότερον ἔσχες εἰς τοὺς μεγίστους καὶ ἀρεύστους ἡμῶν θεούς. τοιοῦτο δὲ ἡμῖν συνέβη σχεῖν καὶ τὸν πολιτάρχην νόσον ἀνίατον, ἐπεὶ εὑρόντες ἦμεν ἑκάστου πράγματος τὴν πρᾶξιν." ὁ δὲ Βονιφάτιος, "ἄνδρες Ταυρομενίται, σοφοὶ καὶ ἐπιστήμονες, ἀνεξικακίᾳ

XS (13 *συνέβη* - 14 *Βονιφάτιος* mutil.) CVO

1 *αὐτοῖς* XSV : *αὐτοὺς* C 1 *προσέχωσιν* V : *προσέχουσιν* XSC 2 *προσήλθομεν* X : *-ωμεν* S *-αμεν* CV 4 *οὐ δέδωκεν* XS : *οὐκ ἔδωκεν* CV 4 *λοιπὸν* post *καλούμεθα* tr. C 4 *ἡμῖν* SCV : *ἡμῶν* X 5 *ἡμῶν* om. S 6 *ἐθῶν* SV : *ἐθνῶν*, corr. *ἐθῶν* C *ἠθῶν* X 6 *ζήτησιν* XCV : *ζητήσεις* S 6 *ποιεῖσθαι* SV : *ποιῆσαι* XC 6 *ὅτε ὁ* XCV : *καὶ ὅτε* S 7 *ἠφαντώθη* X : *ἐφαντώθη* S *ἀφαντώθη* CV 7 *ἤλθομεν* XV : *-ωμεν* SC 9 *εὐγένειαν* nos : *εὐγενότητα* XSCV 9 *πλούτου* XCV : *πλοῦτον* S 9 *περιφάνειαν*] *слутиемь* Usp 10 *λαμπρότητα*] *свѣтьльствомь* Usp 10 *ἐκλήθης* V : *ἐκλίθης* XC *καίκλησε* S, fort. recte (*κέκλησαι*) 10 *κατὰ* - *Ἑλληνικὰ* om. S 11 *βλέπομεν* XV : *βλέπωμεν* S *βλέπωμεν*, corr. *-ομεν* C 11 *ἐκείνην* om. XC 12 *ἔσχες* XSC : *εἶχες* V 12 *ἡμῶν* om. V 13 *νόσον ἀνίατον* post *σχεῖν* tr. V 14 *πρᾶξιν* XV : *τάξιν* C 15 *ἐπιστήμονες*] *хоудози* Usp

συσχεθέντες, ἀκούσατέ μου, καὶ μὴ ποιεῖτε ἑαυτοὺς ἀσόφους, σοφοὶ ὄντες, καὶ μὴ ἀποκρίνεσθε οὕτως ἐν ἀφροσύνῃ. ὅτε ἀνήλθετε πρὸς μέ, τί ὑμῖν λελάληκα, εἰ κατέχετε;" οἱ δὲ ὡς ἐξ ἑνὸς στόματος εἶπον, "συγγνώμην ποίησον ἡμῖν, καὶ λέγε, τί λελάληκας ἡμῖν." ἀποκριθεὶς δὲ ὁ Βονιφάτιος εἶπεν, "ἄνδρες, οὕτως λελάληκα ὑμῖν, ὅτι ἀποτρεχέτω εἷς ἕκαστος ὑμῶν ἐν τῷ ἰδίῳ τόπῳ καὶ διέλθοι τὸ ἀδνοῦμιν καὶ οὕτως ποιοῦμεν ζήτησιν περὶ πάντων. ὑμεῖς δέ, ὅτε μετὰ τῶν φίλων ἐσθίωμεν, ἤλθετε πρὸς ἡμᾶς, καὶ νῦν λέγω ὑμῖν ὅτι, "ὑπερήφανοι ἀλαζόνες ἐστέ, ἐπειδὴ τεσσαράκοντα ἡμέραι σήμερόν εἰσιν, ἀφ' οὗ τὸ ἀδνοῦμιν ἐγένετο, καὶ οὔτε ζήτησιν τοῦ Φάλκονος ἐποιήσασθε, οὔτε περὶ λοιπῶν πραγμάτων, ὥστε οὖν αὐτοκατάκριτοι ἐστὲ τῇ πατρῴᾳ δίκῃ τῶν Ἑλληνικῶν ἐθῶν, ὡς μὴ προσεσχηκότες τῆς πατρικῆς ἀξίας τὴν ὑπακοήν, τί λοιπὸν κέκλησθε ἱερεῖς καὶ ὑπὸ ἡγεμόνα τεταγμένοι; ὡς προείρηκα, σήμερον τεσσαράκοντα ἡμέρας ἐτέλεσα ποιήσας τὸ ἀδνοῦμιν καὶ καθεζόμενος ἐν τῷ πραιτωρίῳ μου, καὶ οὔτε κατὰ τὸ

XS (8 *ἐσθίωμεν* - 11 *λοιπῶν* mutil.) CVO

1 *μου* XCV : *μοι* S 1 *ποιεῖτε* XSV : *ποιῆτε* C 2 *ἐν* XSV : *ἐπ'* C 2 *ἀνήλθετε* C : *ἀνήλθατε* XV *ἤλθατε* S 3 *κατέχετε* V : *κατέχηται* XS *κατέχητε* C 3 *εἶπον* XSC : *εἶπαν* V 4 *συγγνώμην* XV : *συγνώμιν* C *οὐ γνόμην* S 4 *ἡμῖν* (2) post *λέγε* tr. XCV 5 *ἀποτρεχέτω* XCV : *ἀπερχέτω* S 6 *τόπῳ* XCV : *οἴκῳ* S 7 *ποιοῦμεν* SCV : *ποιούμην* X 7 *ὑμεῖς* CV : *ἡμεῖς* X 7 *ὅτε* XCV : *ὅτι* S 8 *ἐσθίωμεν* X : *ἐσ*[...] S *συνεσθίομεν* C *συνεσθίωμεν* V 8 *λέγω* CV : *λέγων* X 8 ante *ὅτι* verba [...] *λοιπὸν καλοῦμεθα ἱερεῖς* hab. S 8 ante *ὑπερήφανοι* verbum *καὶ* hab. CV 9 ante *ἀλαζόνες* verbum *καὶ* hab. XC 9 *τεσσαράκοντα* XSV : *σεράκοντα* C 9 *ἀφ' οὗ* XSC : *ἀφνοῦ* V 10 *ἀδνοῦμιν* V *ἀδνούμιον* SC : *ἀδνούμην* X 10 *ἐγένετο* XCV : *ἐστιν* S 10 *ζήτησιν* XCV : *ζητήσεις* S 10 *ἐποιήσασθε* nos : *-σασθαι* XV *-σαται* S *-σατε* C 12 *ἐθῶν* SCV : *ἠθῶν* X 13 *κέκλησθε* nos : *κέκλισθαι* S *κλίσκεσθαι* XCV 13 *ἡγεμόνα* X : *ἡγεμώνα* SC *ἡγεμονίαν* V 14 *τεσσαράκοντα* : *σεράκοντα* C 15 *ἀδνοῦμιν* V : *ἀδνούμην* S *ἀδνούμιον* XC

εἰωθὸς τῆς πατρικῆς παραδόσεως ἱερέων σύστημα προῆλθεν, οὔτε πολιτῶν ἄθροισμα ἐν τῷ ἐμῷ σεκρέτῳ, ἀλλ' ὡς ἄδικον ἀπεφήνασθε τὸ ἐμὸν βῆμα, καὶ νῦν θαυμάζω, πῶς ἡ ὑμετέρα ἀλαζονεία ἐφθέγξατο ῥήματα τοιαῦτα, ἐμὲ ὀνειδίζοντες, ὅτιπερ ἡγεμονίᾳ κέχρημαι, καὶ ὅτι ὕπατον καὶ τοποκτίστην κέκληκέ με ἡ πατρικὴ †ἀθυρμία. πῶς οὐκ αἰδέσθητε σήμερον οὕτως ἐλθεῖν κατακράζοντες ἐνώπιόν μου; ὅμως οὖν εἰ μὴ ἡ γαστριμαργία τῆς σπονδῆς τοῦ Λύσσονος ἤγγικεν, οὐκ ἂν τὴν σύναξιν πεποιήκητε; οἶδα γὰρ ὑμᾶς πολλαχῶς ἐν συνάξει τοιαύτῃ ποίαν λαιμαργίαν ἔχετε εἰς τὰ προκείμενα βρώματα, ὅτε τοὺς μόσχους, κριούς τε καὶ ταύρους καὶ ἄρτον, οἶνόν τε πολυτελῆ προσφέρουσι τὰ πλήθη τῆς τῶν Ταυρομενιτῶν πόλεως, καὶ ἐπίσταμαι τὴν ἀκαταστασίαν ὑμῶν." οἱ οὖν ἄνδρες τῆς αἰσχύνης, ἰδόντες ὅτι Βονιφάτιος ὠργίσθη αὐτοῖς, ἤρξαντο ἠθικῶς προσλέγειν αὐτῷ καὶ λόγους εἰρηνικοὺς προσχαρίζεσθαι αὐτῷ λέγοντες, "μηδαμῶς, κύριε ἡγεμών, ὀργισθῇς τοῖς σοῖς δούλοις· ἐγνώκαμεν γὰρ ὅτι οὔκ ἐστιν ἡμῖν

XSCVO

1 προῆλθεν XSV : ἦλθεν C 2 ἀπεφήνασθε nos : ἀπεφήνασθαι XC ἀπεφίνασθε S ἀπεφίνασθαι V 4 κέχρημαι XS : καίχρημαι C κέχρησμαι V 5 ὕπατον XSV : ὑπατικὸν C 7 εἰ om. S 7 σπονδῆς XCV : σπουδεῖς S 8 πεποιήκητε C πεποιήκηται X πεποιήκειτε V ποιήσαται S 8 τοιαύτῃ XSV : τῇ αὕτῃ C 9 ἔχετε nos : ἔχεται X ἔχειται S ἔσχεται C ἔσχετε V 10 ταύρους XSC : τράγους V, fort. recte 10 ἄρτον XSC : ἄρτους V 10 τε om. S 11 προσφέρουσι CV : προφέρουσι XS 11 τῶν om. C 12 ἰδόντες XV : ἰδῶτες S ἰδῶτες, corr. -οτες C 13 ὠργίσθη V : ὀργίσθη XC ὀργίσθει S 15 ὀργισθῇς nos : ὀργισθεῖς XSCV 15 ante τοῖς verbum ἐπὶ hab. C 15 ἡμῖν om. C

χώρα ἀπολογίας πρὸς τὰ λεγόμενα παρά σου εἰς ἡμᾶς. παρακαλοῦμεν δὲ τὸ ἐνάρετον καὶ λαμπρὸν μεγαλόψυχόν σου, ἵνα μὴ ὀργισθῇς τοῖς σοῖς δούλοις, ἀλλ' ἵνα τὰς θυσίας τῶν μεγίστων θεῶν προσενέγκωμεν σὺν σοί." ὁ δὲ Βονιφάτιος πρὸς τοὺς ἄνδρας εἶπεν, "ἀκούσατε, ἄνδρες, τὸ παρ' ἐμοῦ λεγόμενον, ὑπάγετε, καὶ τὰ τῆς θυσίας ἑτοιμάσατε, καὶ πάντως, ὅτε ἡ ἑτοιμασία γένηται, κἀγὼ μεθ' ὑμῶν εὑρίσκομαι καὶ περὶ πάντων ζητήσεις ποιούμεθα." ἀκούσαντες δὲ ταῦτα, οἱ ἄνδρες ἀπῆλθον εὐχαριστοῦντες τοῖς ἀκαθάρτοις θεοῖς λέγοντες, "εὐχαριστοῦμεν ὑμῖν, μέγιστοι καὶ καθαροὶ θεοί, ὅτι οὕτως ἐγένετο ὁ θυμὸς τοῦ ἡγεμόνος πρᾶος εἰς ἡμᾶς." ἀναχωρησάντων οὖν αὐτῶν, εἰσῆλθεν ὁ Βονιφάτιος ἐν τῷ οἴκῳ, ὅπου ἦν ὁ μακάριος. ὁ οὖν μακάριος πρὸς Βονιφάτιον, "τέκνον, τίνες οἱ λόγοι τῶν ἀνδρῶν τούτων οἱ ἀνίσχυροι; ἤκουσα γὰρ αὐτῶν τά ματαῖα φρονήματα." ὁ δὲ Βονιφάτιος πρὸς τὸν μακάριον, "λόγους συνήραμεν, πάτερ, πρὸς ἀλλήλους· μετὰ γὰρ ἡμέρας πεντήκοντα, ἡ θυσία Λύσσονος ἐπιτελεῖται, καὶ πᾶσα ἡ

XSCVO

1 εἰς XCV : πρὸς S 2 τὸ XCV : τὸν S 2 ὀργισθῇς XV : ὀργισθεῖς SC 3 δούλοις XSC : οἰκέταις V 3 προσενέγκωμεν CV : -ομεν XS 4 ante εἶπεν verbum ἀποκριθεὶς hab. S 4 εἶπεν om. V 4 ἄνδρες C : ἄνθρωποι XSV, fort. recte 5 παρ' ἐμοῦ XCV : παρ' ἐμοὶ S 5 post λεγόμενον verba πρὸς ὑμᾶς hab. V 5 καὶ τὰ τῆς XC : καὶ τὰς S κατὰ τὰς V 6 πάντως XCV : πάντος S 6 γένηται SCV : γένοιται X 6 εὑρίσκομαι XSV : -ωμεν C 9 καὶ καθαροὶ om. C 11 οἴκῳ XSC (cf. p.42.14supr.) : οἰκίσκῳ V 11 ὅπου ἦν ὁ μακάριος (Παγκράτιος add. S) post Βονιφάτιος tr. S 11 οὖν XSC : δὲ V 13 γὰρ XSV : παρ' C 14 λόγους - ἀλλήλους] *Словеса составляли мы, отче, другъ другу* Usp

τῶν Ταυρομενιτῶν πληθὺς ἐν αὐτῇ παραγίνεται, καὶ πολλὴν σπουδὴν οὗτος ὁ λαὸς ποιεῖται ἐπὶ τῇ θυσίᾳ τοῦ μιαροῦ καὶ ἀκαθάρτου τούτου δαίμονος. πῶς οὖν κελεύει ἡ σὴ ἁγιωσύνη, ἵνα ποιήσωμεν; παραγίνεσαι, πάτερ, καὶ αὐτὸς ἐπὶ τῇ θυσίᾳ ἐνώπιον παντὸς τοῦ λαοῦ; τολμῶν, ὁ σὸς ἀνάξιος δοῦλος, λέγω, πῶς τὴν σωτηρίαν ἡμῶν βούλῃ οἰκονομῆσαι;" ὁ δὲ μακάριος Παγκράτιος ἀποκριθεὶς εἶπε πρὸς Βονιφάτιον, "ἄκουσον, τέκνον Βονιφάτιε, τί λογισμοὶ ἀνέβησαν ἐπὶ τὴν καρδίαν σου;" ἦν γὰρ ὁ ἀρχέκακος διάβολος ἐπισπείρας ζιζανικὸν λογισμὸν ἐν αὐτῷ, ἀλλ' ὁ ἀρραβὼν τῆς ὀρθῆς πίστεως διὰ πρεσβείας τοῦ μακαρίου Παγκρατίου τοῦτον τὸν λογισμὸν ἐξεμείλισσεν. ἤρξατο δὲ λέγειν Βονιφατίῳ, "τέκνον Βονιφάτιε, μή σε πλανήσῃ τι τῶν γηΐνων, μηδὲ θύσῃς τῇ κτίσει παρὰ τὸν κτίσαντα· ὁ θεὸς γὰρ ὁ τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν ποιήσας καὶ πάντα τὰ ἐν αὐτοῖς, ἀνεξικάκως κρίνει τὸ ἴδιον πλάσμα, καὶ προσδέχεται πάντας, μηδένα ἀποστρεφόμενος, μόνον εἰ γνησίως αὐτῷ προσέλθῃ, κἂν πόρνος, κἂν

XS (5 *λέγω* - 6 *οἰκονομῆσαι* mutil.) CVO

13 - 138.3 cf. 1 Cor. 6:9 ff.

1 *ἐν αὐτῇ* om. C 1 *παραγίνεται* XSV : *συμπαραγίνεται* C 2 *οὗτος* C : *οὕτως* XSV 2 *ποιεῖται* SV : *ποιῆται* XC 3 *πῶς* SV : *ὡς* XC 3 *οὖν* om. S 3 *κελεύει* SCV : *κελεύη* X 3 *ἵνα* om. S 5 *ὁ σὸς* X : *ὦ σὸς* C *ὁ* SV 5 *βούλῃ* XSC : *βούλει* V 7 - 8 *ἐπὶ τὴν καρδίαν σου* XCV : *ἐν τῇ καρδίᾳ σου* S 8 - 9 *ζιζανικὸν λογισμὸν* : *ζηζάνιον* C 9 ante *πρεσβείας* verbum *τῆς* hab. V 10 *ἐξεμείλισσεν* nos : *ἐξεμήλισσεν* C *ἐξεμήλισαν*, corr. *-εσαν* vel *-εισαν* X *ἐξεμήλησεν* S *ἐξεμέλησεν* V 11 *δὲ* om. V 11 *πλανήσῃ* V : *πλανήσει* XC *πλανέσει* S 12 *θύσῃς τῇ κτίσει* V : *κτίση τῇ κτίσῃ* X *κτήσει τῇ κτίσει* S *κτήσει τί* C 14 *κρίνει* XCV : *κρίνη* S 14 *προσδέχεται* SCV : *-ετε* X 15 *μόνον* XCV : *μόνῳ* S 15 *εἰ* XV : *ἤ* C, om. S 15 *αὐτῷ* om. CV 15 *προσέλθῃ* S : *προσέλθει* V *προσέλθοι* XC, fort. recte

ἄσωτος, κἂν πλεονέκτης, κἂν λῃστής, κἂν Ἕλλην, κἂν βάρβαρος, κἂν Ἰουδαῖος, μετανοῶν ἀπὸ τῶν ἰδίων πλημμελημάτων, προσδέχεται αὐτὸν ὑπτίαις χερσί, καὶ τὴν ἀπολαυστικὴν καὶ αἰώνιον ζωὴν παρέχει· διὰ γὰρ τοῦτο ἑκουσίᾳ βουλήσει πρὸς ἡμᾶς παρεγένετο ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός, ἀποσταλεὶς ἐκ τῶν πατρικῶν κόλπων, θεὸς ὑπάρχων ἀληθής, καὶ προσέλαβε σάρκα τὴν ἡμῶν ἐκ τῆς παναμώμου καὶ ἀειπαρθένου Μαρίας, ὅμοιος ἡμῖν γενόμενος κατὰ πάντα χωρὶς ἁμαρτίας, προσκαλούμενος πάντας, ὡς θεὸς παντοδύναμος. σὺ δέ, τέκνον μου, ἑδραῖος γενοῦ καὶ ἀμετακίνητος πρὸς τὸν ἀρραβῶνα τῆς πίστεως, ἵνα τέλειόν σοι χαρίσηται αὐτὸν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὁ θεὸς ἡμῶν ὁ πάντας ἀνθρώπους θέλων σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. θέλω δέ, τέκνον μου, ἵνα κἀμοὶ οἰκοδομηθῇ θυσιαστήριον τοῦ τὴν θείαν μυσταγωγίαν ἐπιτελεῖν με ἐν αὐτῷ. τέκνον μου, ὡς προεῖπόν σοι, τέκνον ὑπακοῆς γενοῦ. τοῦτο γινῶσκον, ὅτι οὐκ ἐστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀντικειμένας

XSCVO

2 ἀπὸ XCV : ἐπὶ S 3 αὐτὸν XSV : αὐτῶν C 3 ὑπτίαις χερσί] *простертама рукама* Usp 3 καὶ (1) om. S 3 ἀπολαυστικὴν] *ненасыщеную* Usp 3 παρέχει XCV : παρέχων S 4 τοῦτο XCV : τούτῳ S 4 ἑκουσίᾳ βουλήσει] *самовольный* Usp 4 βουλήσει XSC : βουλῇ V 6 - 7 παναμώμου καὶ ἀειπαρθένου S : παναμώμου ἀειπαρθένου CV παρθένου X 7 γενόμενος XSV : -άμενος C 8 πάντας om. XSC 8 παντοδύναμος XCV : δύνατος S 9 ἑδραῖος XC : ἑδρίος S ἑδραῖως V 9 - 10 πρὸς τὸν ἀρραβῶνα τῆς πίστεως] *къ залогу вѣрному* Usp 10 ὁ om. CV 10 ἡμῶν om. S 12 κἀμοὶ SCV : μοὶ X 14 τοῦτο XCV : τούτῳ S 14 γινώσκον SC : γινώσκων XV 15 πάλη XCV : πάλαι S 15 πρὸς (2) XCV : καὶ S

ἡμῖν τοῦ ἐχθροῦ πανουργίας. ἐλπίζωμεν δέ, τέκνον μου, καὶ πιστεύωμεν εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν ἀληθινὸν θεόν, ὅτι αὐτὸς ῥύσεται ἡμᾶς τῶν ἀοράτων ἐχθρῶν τῶν ἀεὶ θηρευόντων τὰς ψυχὰς ἡμῶν, ὡς καὶ ἀποστείλῃ τὸν ἄγγελον αὐτοῦ ὁδηγὸν καὶ φύλακα τῶν ψυχῶν ἡμῶν, μόνον, ὡς προείρηκα, τὸ θυσιαστήριον οἰκοδομηθῇ, τέκνον, ἵνα τὴν πνευματικὴν καὶ ἀναίμακτον θυσίαν προσενέγκωμεν καὶ λατρείαν αἰνέσεως καὶ ἐξομολογήσεως θείαν δῶμεν Χριστῷ τῷ ἀληθινῷ θεῷ ἡμῶν." ὁ δὲ Βονιφάτιος, ἀκούσας ταῦτα παρὰ τοῦ μακαρίου Παγκρατίου, πεσὼν εἰς τοὺς πόδας αὐτοῦ ἔλεγεν, "τίμιε πάτερ καὶ ἀληθινὲ δοῦλε Ἰησοῦ Χριστοῦ, εἴ τι τῷ σῷ οἰκέτῃ κελεύεις, ἑτοίμως τὴν ὑπακοὴν ἔξω. παρακαλῶ οὖν, πάτερ τίμιε, τὸ καταθύμιον τοῦ τόπου ἡμῖν διασήμανον τὸ πῶς ὀφείλομεν οἰκοδομῆσαι." πάραυτα οὖν ὁ μακάριος συμπαραλαβὼν Λυκαονίδην καὶ Βονιφάτιον, ἐξῆλθον ἐν ἄκρῳ τῆς πόλεως καὶ ἐδακτυλοτύπησεν αὐτοῖς τὸν τόπον τοῦ εὐκτηρίου λέγων αὐτοῖς ὅτι, "ἐν τῷ τόπῳ τούτῳ θέλω ἵνα

XSCVO

1 ἐλπίζωμεν XSV : -ομεν C 2 πιστεύωμεν XSV : -ομεν C 4 ἀποστείλῃ XSC : ἀποστείλει V 5 μόνον XCV : μόνων S 5 οἰκοδομηθῇ XV : οἰκοδωμιθῇ S ὠκοδομηθῇ C 6 τέκνον post προείρηκα tr. S 6 post τέκνον verbum μου hab. C 8 ἡμῶν om. XC 9 Παγκρατίου om. C 10 Ἰησοῦ S : τοῦ V, om. XC 11 ἔξω XSC : ἧξω V 12 ὀφείλομεν XV : ὀφείλωμεν S ὠφείλομεν C 14 ἐδακτυλοτύπησεν C : ἐδακτυλωτύπησεν SV ἐδακτυλοτύπισεν X 14 τόπον SC : τύπον XV

οἰκοδομηθῇ." ἦν γὰρ ὁ τόπος βλέπων πρὸς θάλασσαν κατὰ ἀνατολάς, ὡς ἦν καὶ τοῦ τείχους πλησίον. ὁ δὲ Βονιφάτιος, λαβὼν παῖδας καὶ ὀρυκτήρας, τοὺς θεμελίους ἐθεμάτισε κατὰ τὴν δακτυλοτύπησιν τοῦ μακαρίου Παγκρατίου. σταθεὶς οὖν ὁ μακάριος Παγκράτιος, ἐποίησεν εὐχὴν κατὰ τὴν παράδοσιν τοῦ μακαρίου Πέτρου τοῦ ἀποστόλου, καὶ ποιήσας τὸ σταυροπήγιον, ἐξελθόντες ἀνήλθαμεν ἐν τῷ πραιτωρίῳ, οὐδενὸς τῶν ἐν τῇ πόλει τὸ μυστήριον ἐπισταμένου, εἰ μὴ μόνος Βονιφάτιος καὶ Λυκαονίδης μετὰ τῶν ναυτῶν, οὓς ἐβάπτισεν ὁ ἀπόστολος, καὶ μεταλαβόντων ἡμῶν τροφῆς, ἐξῆλθεν ὁ Λυκαονίδης, λαβὼν ἕνα ἄνδρα τῶν ἐπιτρόπων τοῦ πραιτωρίου μεθ' ἑαυτοῦ, καὶ κατελθὼν εἰς τοὺς κεραμιστάς, φησὶν πρὸς αὐτούς, "ἐκέλευσεν ὁ ἡγεμὼν καὶ λαμπρὸς ὕπατος καὶ τοποκτίστης τοῦ πλινθεύσαι ὑμᾶς πλίνθους καὶ ὀπτῆσαι πυρὶ εἰς οἰκοδομῆς χρείαν, ὅτι †βιστορικὸν οἰκίσκον οἰκοδομῆσαι θέλει." οἱ δὲ κεραμισταί, λαβόντες αὐτίκα τὸν πηλόν, ἐπλίνθευσαν καὶ ὤπτησαν πυρί. ὁ οὖν Βονιφάτιος ἀπέστειλε καὶ

XS (3 *ὀρυκτήρας - δακτυλοτύπησιν* mutil.) CVO

1 - 2 *ἦν γὰρ ὁ τόπος - πλησίον*] *Бѣ же мѣсто зря къ морю на востокъ, близъ стѣны городской* Usp 2 *ὡς* XS : *ὃς* CV, fort. recte 2 post *παῖδας* verba *μεθ' ἑαυτοῦ* hab. S 3 *θεμελίους* XC : *θεμελικοὺς* V 3 *ἐθεμάτισεν* CV : *ἐθεμάτισαν* X 3 post *τὴν* verbum *αὐτοῦ* hab. XC 6 *σταυροπήγιον*] *ставропригиѡнь* Usp 6 *ἀνήλθαμεν* V : *ἀπήλθωμεν* XSC 7 *ἐπισταμένου* nos : *ἐπισταμένων* XSCV 8 *οὓς* emendavi : *ὧν* XCV *ὃν* S (cf. Usp) 8 - 9 *οὓς - ἀπόστολος*] (*Ликаонида*), *его же кресть блаженный апостолъ* Usp 11 *κεραμιστάς*] *керамидникамъ* Usp 12 *ὑμᾶς* CV : *ἡμᾶς* XS 13 *πυρὶ εἰς* XSV : *πυρίας* C 13 *βιστορικὸν* XCV : *μηστορικὸν* S 15 - 141.1 *καὶ αὐτὸς* om. S

αὐτὸς τοὺς παῖδας αὐτοῦ καὶ συνέλεξαν λίθους καυσωθέντας ἀδιάντους βουλκανικοὺς διὰ τὸ ἐλθεῖν τὸ καταπέτασμα τοῦ εὐκτηρίου ἐλαφρόδρομον, καὶ ἐν πολλῇ σπουδῇ εἴσω ἡμερῶν τριάκοντα ἐτελέσθη τὸ ἔργον καὶ πεπλήρωται τὸ θυσιαστήριον ὁλοϋφαντον <καὶ> τερπνόν, καὶ πληρωθέντος τοῦ θυσιαστηρίου, κατῆλθεν ὁ μακάριος Παγκράτιος συμπαραλαβὼν Λυκαονίδην καὶ Βονιφάτιον. εἶπε δὲ πρός με, "λάβε καὶ σύ, τέκνον, τὰ σκεύη τὰ λειτουργικὰ καὶ κάτελθε σὺν ἡμῖν," καὶ κατήλθαμεν δὲ ἀμφότεροι. ὁ δὲ μακάριος Παγκράτιος στὰς ἐπετέλεσε τὴν ἀφιέρωσιν τοῦ εὐκτηρίου, καὶ πληρώσας τὴν ἀκολουθίαν τοῦ ἐνθρονιασμοῦ, ᾐτήσατο ἄρτον καὶ οἶνον, ἵνα τὴν ἀναίμακτον θυσίαν προσενέγκῃ. εὐθέως οὖν ἐξελθὼν ὁ Λυκαονίδης, ἤνεγκε τὸν ἄρτον σὺν τῷ οἴνῳ, καὶ εἰσελθὼν ὁ μακάριος ἐδέξατο τὴν προσφοράν, καὶ ποίησας εὐχήν, ἤρξατο τοῦ θείου ὕμνου, καὶ ἐπιτελέσας τὴν θείαν μυσταγωγίαν, μετέδωκεν ἡμῖν τῶν θείων μυστηρίων, καὶ ἀσπασάμενος τὸν Λυκαονίδην καὶ ἐμὲ καὶ τοὺς

XSCVO

ἀδιάντους λος : ἀδυνάτους XSCV

1 συνέλεξαν XCV : συνήλλεξαν S 2 βουλκανικοὺς XSV : βολανικοὺς C 2 εὐκτηρίου XSV : ναοῦ C 3 ἐλαφρόδρομον V : ἐλαφρόν SC ἐλαφρόδρομον X 3 εἴσω emendavi : ἴσον XSV ἴσων C 4 ante τὸ (2) verbum καὶ hab. C 4 <καὶ> supplevi 5 τερπνόν XSC : παντερπνόν V 6 δὲ om. C 7 τέκνον om. XSC

8 καὶ S : δὲ XV οὖν C 9 ἐπιτέλεσεν XSV : ἀπετέλεσεν C 12 ἤνεγκε SV ἔνεγκεν XC 12 τὸν om. C 14 ἐπιτελέσας XSV : ἐπιτελεύσας C 14 ante ἡμῖν verbum καὶ hab. C

ναυτικοὺς τοὺς λαβόντας τὸ λουτρὸν τῆς ἀναγεννήσεως, τῷ δὲ Βονιφατίῳ οὐ μετέδωκεν, ὅθεν ἤρξατο ἀγωνιᾶν καὶ κάμνειν τῷ λογισμῷ. ἔγνω δὲ ὁ μακάριος τῷ πνεύματι, ὅτι ἦν ἐπισπείρας ἐν αὐτῷ ὁ τῆς ἀληθείας ἐχθρὸς τὰ ἑαυτοῦ ζιζάνια, καὶ εἶπεν αὐτῷ, "τέκνον Βονιφάτιε, μὴ ὅλως τοῖς λογισμοῖς ταράττου· πονηρὸς γὰρ ἐν σοὶ πάλιν νοῦς ἀνεφύη." ἀκούσας δὲ ταῦτα ὁ Βονιφάτιος πρὸς ἐλέγξαντα αὐτὸν εἶπεν, "παρρησίᾳ λέγω σοι, πάτερ, ὅτι ὡς πατέρα καὶ ὑπὲρ πατέρα ἔσχηκά σε, καὶ τί ἀπεποιήσω με, καὶ προσεκαλέσω Λυκαονίδην καὶ οὐ προσεκαλέσω κἀμέ;" ὁ δὲ μακάριος πρὸς Βονιφάτιον, "συγγνώμην, τέκνον, περὶ τούτου." ἑωράκαμεν γὰρ ἡμεῖς, οἱ ἐν τῇ ἐκκλησίᾳ ὄντες, ἀφ' οὗ τὸν θεῖον ὕμνον ἤρξατο, πῦρ περιαστράπτον τὴν ἐκκλησίαν, φοβερὸν πάνυ, ὡς δοκεῖν ἡμᾶς καταφλεχθῆναι πάντας. ὅτε δὲ τὴν ἱερὰν καὶ ἡδυτάτην σάλπιγγα ὁ μακάριος ἐφθέγξατο, πάντες οἱ πέριξ γυψόπλαστοι καὶ ὑέλινοι ἐν τοῖς χρυσοκολλήτοις καὶ διαλίθοις θρόνοις ἐγκείμενοι θεοὶ ἠδαφίσθησαν

XS (5 *ἐν σοὶ* - 6 *ἐλέγξαντα* mutil.) CVO

3 *δὲ* om. V 3 *ἐν* om. XSC, fort. recte 5 *τοῖς λογισμοῖς* XCV : *τῷ λογισμῷ* S 6 *ἀνεφύη* C : *ἀναφύει* SV *ἀνεφύει* X 6 *ταῦτα ὁ Βονιφάτιος* XSC : *Βονιφάτιος ταῦτα* V 7 *παρρησίᾳ* XCV : *παρρησίαν* S 8 *ἔσχηκά* XCV : *ἔσχηκω* S 8 *τί* XSC : *τίνος ἕνεκεν* V 8 *ἀπεποιήσω με* nos : *ἀπεποιήσω μαι* S *ἀπεποιήσομαι* XV *ἀπεποιήσω με*, corr. *ἀπεποιήσομαι* C 8 - 9 *καὶ προσεκαλέσω Λυκαονίδην* om. XSC 11 *τὸν θεῖον ὕμνον* XCV : *τοῦ θείου ὕμνου* S, fort. recte 11 *ἤρξατο* XSC : *ἀπήρξατο* V 11 - 12 *πῦρ - πάνυ*] *огнь освѣщающь церковь, страшенъ зѣло* Usp 13 *δὲ* om. XSC 14 *ὑέλινοι* XSV : *ἔλλινοι* C

καὶ συνετρίβησαν εἰς χοῦν ὡς ἄλωνος θερινῆς· ἦν γὰρ τοιοῦτον ἡδύτατον μέλος ἐν τῷ μακαρίῳ, ὡς οὓς ἀνθρώπων οὐκ ἦν κορεσθῆναι τῆς τούτου ἀκροάσεως. οἱ οὖν ἱερεῖς οὐ παρῆσαν εἰς τοὺς ναοὺς ὅτε οἱ θεοὶ αὐτῶν συμπεπτώκασιν, ἀλλὰ σπουδὴν εἶχον πρὸς τὴν θυσίαν Λύσσονος. ὅμως οὖν καὶ τοιαύτην συνήθειαν εἶχον, μὴ εἰσέρχεσθαι εἰς τοὺς ναοὺς αὐτῶν, εἰ μὴ τῷ καιρῷ τῆς μιαρᾶς θυσίας αὐτῶν. ἀνῆλθεν οὖν ὁ Βονιφάτιος ἐν τῷ πραιτωρίῳ, καὶ προσκαλεσάμενος Λυκαονίδην, εἶπεν αὐτῷ, "φίλε ἡμέτερε, πῶς οὐ μετέδωκε κἀμοὶ τῶν ἁγίων μυστηρίων;" ὁ δὲ Λυκαονίδης, "ἄκουσον, κύριε ἡγεμών, χάριν τινος οὐ μέτεδωκέ σοι, ἐπειδὴ οὔπω τὸ τέλειον τῆς πίστεως ἐδέξω· μόνον γὰρ τὸν ἀρραβῶνα ἔλαβες. εὐχαρίστησον δὲ τῷ θεῷ." ἀκούσας δὲ ταῦτα, σεσίγηκε, μηδὲν ἕτερον λαλήσας. οἱ οὖν ἱερεῖς καὶ οἱ τὴν θυσίαν τρώγοντες τοῦ μιαροῦ Φάλκονος ἐποίησαν ἑτοιμασίαν πολλὴν σφόδρα ἑπταπλασίονα εἰς τὴν θυσίαν Λύσσονος, ταύρων καὶ τράγων, καὶ παρέστησαν καὶ οἱ τρεῖς παῖδες οἱ ἐν τῇ θυσίᾳ διδόμενοι καὶ τὰ

XSCVO

1 συνετρίβησαν XSV : ἐνσυνετρίβησαν C 1 εἰς χοῦν ὡς XC : ὡς χοῦν ὡς S ὡσεὶ χνοὺς V 1 τοιοῦτον om. S 2 ἀνθρώπων XSC : ἀνθρώπινον V 3 οὐ παρῆσαν εἰς τοὺς ναοὺς XCV : οὐκ εἶσαν ἐν τοῖς ναοῖς S, fort. recte (ἦσαν) 4 ante πρὸς verbum τοῦ hab. V 6 μιαρᾶς om. C 9 ἁγίων XSV : ἀχράντων C 11 γὰρ XV : γὰρ γὰρ S, om. C 11 εὐχαρίστησον XS : εὐχαρίστισον C εὐχαρίστησεν V 11-12 ἀκούσας δὲ ταῦτα S : καὶ XCV 12 καὶ om. C 13 πολλὴν CV : πολὺν S πολὺ X 15 ante οἱ (2) verbum καὶ hab. XS 15 ἐν τῇ θυσίᾳ XSC : εἰς τὴν θυσίαν V

σεμνὰ μοσχάρια διπλά. ὁ οὖν μακάριος Παγκράτιος ποιήσας εὐχὴν λέγει πρός με, "τέκνον Εὐάγριε, λάβε τὰ σκεύη, καὶ κατασφάλισον τὸ εὐκτήριον, καὶ ἀνέλθωμεν πρὸς Βονιφάτιον, ἵνα τὴν πνευματικὴν εὐωχίαν τοῦ ἀφιερασμοῦ ἐπιτελέσωμεν μετὰ τῶν ἡμετέρων φίλων." αὐτίκα οὖν ἀναστάντες, κατησφαλίσαμεν τὴν θύραν τοῦ εὐκτηρίου, καὶ ἐλάβομεν τὰ λειτουργικὰ σκεύη καὶ ἐξήλθομεν ἔξω τοῦ προαυλίου, καὶ προσυπήντησεν ὁ Λυκαονίδης λέγων ἀνελθεῖν ἡμᾶς ἐν τῷ πραιτωρίῳ, καὶ εὕρομεν πάσης χρείας ἑτοιμασίαν. κράξας οὖν ὁ μακάριος ἐκ βάθους καρδίας αὐτοῦ εἶπεν, "δόξα σοι, Χριστὲ ὁ θεὸς ἡμῶν," καὶ εὐθέως ἐσείσθη ὁ τόπος ἔνθα ἦμεν, καὶ πάντες φόβῳ συσχεθέντες προσήλθομεν τοῖς ποσὶ τοῦ μακαρίου. ὁ οὖν μακάριος ἀναστήσας ἡμᾶς, προσκαλεσάμενος Λυκαονίδην καὶ Βονιφάτιον καὶ πάντας τοὺς ναυτικούς, οἳ ἦσαν φορέσαντες τὸ ἅγιον βάπτισμα, καὶ ποίησας εὐχὴν ἐκάθισεν ἐν τῇ τραπέζῃ. κελεύει οὖν τὸν Λυκαονίδην ἐν τοῖς δεξιοις αὐτοῦ, τὸν δὲ Βονιφάτιον ἐν τῷ εὐωνύμῳ, καὶ ἁπλῶς ἅπαντες

XSCVO

2 κατασφάλισον XSC : κατασφάλησαι V 4 ἀφιερασμοῦ nos : ἀφερεασμοῦ XCV φεριασμοῦ S 4 post ἀφιερασμοῦ verba τοῦ θυσιαστηρίου hab. V 5 οὖν SV : γοῦν XC 5 κατησφαλίσαμεν nos : κατεσφαλήσαμεν XS κατεσφαλίσαμεν C κατησφαλήσαμεν V 6 ἐλάβομεν X : -ωμεν C -αμεν SV 6 τὰ λειτουργικὰ σκεύη : τὰ σκεύη τὰ λειτουργικὰ C 6 ἐξήλθομεν XC : -ωμεν S -αμεν V 7 ἀνελθεῖν V : ἀπελθεῖν XSC 8 εὕρομεν XC : -ωμεν S -αμεν V 8 οὖν om. V 9 ante καρδίας verbum τῆς hab. S 9 εἶπεν S : οὕτως C λέγων V, om. X 9 - 10 καὶ εὐθέως om. X 10 εὐθέως om. S 10 ἦμεν XSC : ἤμεθα V 10 πάντες om. S 11προσήλθομεν V : προσῆλθον XSC 13 καὶ om. XCV 14 ἐκάθισεν V : ἐκάθησεν XSC 14 - 145.1 κελεύει - τραπέζῃ om. XSC, propter homoeoteleuton

ἐκαθέσθησαν ἐν τῇ τραπέζῃ, καὶ ἐγὼ εἱστήκην ὄπισθεν τοῦ μακαρίου, καὶ λαβὼν ἄρτον, ἔκλασε καὶ ἐπέδωκεν ἡμῖν σύμπασι λέγων οὕτως, "λάβετε, φάγετε ἄρτον ἐπιδιδόμενον ὑμῖν ἐκ τῆς χειρός μου ἐν ἡμέρᾳ τοῦ ἐγκαινισμοῦ οἴκου τοῦ θεοῦ, καὶ βδελύξασθε τὰ εἴδωλα, καὶ τὰς κνίσας αὐτῶν μισήσατε." τοῦτο δὲ ἔλεγε διορθούμενος τὸν ἡγεμόνα. μετὰ οὖν τὸ πληρωθῆναι τὴν εὐωχίαν τῶν ἐγκαινίων, ἀνέστημεν ἐκ τῆς τραπέζης, καὶ σταθεὶς ὁ μακάριος ἐποίησεν εὐχὴν καὶ ἀπέλυσε πάντας. ὁ οὖν Λυκαονίδης λαβὼν τοὺς ναυτικοὺς ἐξῆλθεν. ὁ δὲ Βονιφάτιος ἔμεινεν ἐν τῷ πραιτωρίῳ. ἡμεῖς δὲ κατήλθομεν ἐν τῷ εὐκτηρίῳ ἐπιτελεῖν τὰς ἑωθινὰς καὶ ἑσπερινὰς εὐχάς, καὶ οὕτως λοιπὸν ὁ Λυκαονίδης ἐκόμιζεν ἡμῖν κατὰ σάββατον καὶ κυριακὴν τὸν ἄρτον τῆς προθέσεως καὶ τὸ νᾶμα ἀόκνως. ὁ δὲ μακάριος ἐπετέλει τὴν θείαν λειτουργίαν καὶ τὸν ἐκκλησιαστικὸν κανόνα κατὰ τὴν παράδοσιν τῶν ἁγίων ἀποστόλων. οἱ δὲ ἱερεῖς τῶν ἀκαθάρτων θεῶν ἀκούσαντες ὅτι ὁ Βονιφάτιος ναὸν ἀνίδρυσεν, ἔχαιρον σφόδρα λέγοντες ὅτι, "ἐπίσκεψις

XS (6 *ἀνέστημεν* - 8 *Λυκαονίδης* mutil.) CVO

1 *εἱστήκην* nos : *ἱστήκην* V *εἱστίκειν* C *ἵστηκεν* XS 1 *καὶ ἐγὼ* XSC : *ἐγώ τε* V 2 *ἡμῖν* XSC : *ὑμῖν* V 2 *σύμπασι* XSC : *πᾶσι* V 3 *ὑμῖν* CV : *ἡμῖν* X, corr. *ὑμῖν* X^1 *ἡμῖν* S 4 *ἐγκαινισμοῦ* nos : *ἐγκαινισμοῦ*, corr. *ἐγκαινιασμοῦ* X *ἐγκενιασμοῦ* SC *ἐγκαινιασμοῦ* V 5 post *ἡγεμόνα* verbum *Βονιφάτιον* hab. V 6 *τῶν ἐγκαινίων* : *τοῦ ἐγκαινιασμοῦ* S 9 *κατήλθομεν* C : *κατήλθωμεν* X *κατήλθαμεν* V *ἐξήλθωμεν* S 10 *οὕτως* XSV : *οὕτος* C 10 - 11 *ὁ Λυκαονίδης* post *ἡμῖν* tr. C 11 *ἐκόμιζεν* XSC : *εἰσεκόμιζεν* V 12 *δὲ* ante *ὁ* tr. V 12 *ὁ* om. C

ἦλθεν ἐκ τῶν θεῶν πρὸς Βονιφάτιον, ἵνα καὶ ναὸν οἰκοδομήσῃ," εἰ καὶ ἔλεγεν ἡ σύστασις τῶν κεραμιστῶν περὶ †βιστορικοῦ οἴκου, οἱ δέ, "οὐχί," ἀλλ' ὅτι, "θεὸν Ἀπόλλωνα ἀνίδρυσεν·" οὐ γὰρ ἦν ἐν τῇ τῶν Ταυρομενιτῶν πόλει, ὡς καὶ ἔλεγον, "πολλά σου τὰ κατορθώματα, θεὲ Ἀπόλλων. καλή σου ἡ τύχη πρὸς ἡμᾶς· οἵδε γὰρ ἡ πρόνοια Λύσσονος καὶ ἡ μεγάλη δύναμις Διὸς καὶ ἡ τύχη τῆς ἡμετέρας θεὰς Ἥρονος θυγατρός, ὅτι πολὺς ἀγὼν ἡμῖν περὶ Φάλκονος, ὃς ὑπερηφανεύσατο ἡμᾶς. νῦν δὲ χαίρομεν εἰς τὴν παρουσίαν σου, μέγα θεὲ Ἀπόλλων. ἀξίως οὖν ὁ Βονιφάτιος τοποκτίστης ἐκλήθη καὶ ἀξίως τὸ ὑπατικὸν περιβέβληται καὶ τὴν ἡγεμονίαν καλῶς ἄρχει." ἡ οὖν θυσία Λύσσονος ἦν ἕτοιμος τοῦ γενέσθαι. ὁ δὲ μακάριος Παγκράτιος καλέσας τὸν Λυκαονίδην εἶπεν αὐτῷ, "τέκνον Λυκαονίδη, ὡς ὑπολαμβάνω, ἤγγικε τοῦ γενέσθαι ἡ θυσία Λύσσονος, καὶ οἶδα, τέκνον, ὅτι γράμματα διὰ χειρός μου γραφέντα διά σου ἐπέμφθησαν παρ' ἐμοῦ καὶ προσηνέχθησαν τῷ ἀκαθάρτῳ τούτῳ Λύσσονι, καὶ μεθ' ἡμῶν ἦς,

XS (1 *πρὸς* - 3 *θεὸν* mutil.) CVO

1 *οἰκοδομήσῃ* : *ἀνοικοδομήσει* C 1 *εἰ* om. XC 2 *οἴκου* om. XC 2 *οἱ δέ, οὐχὶ* XC : *οὐκ ἦν* V 3 post *ἀλλ' ὅτι* verba *εἰ μὴ* hab. V 5 *Ἀπόλλων* : *Φάλκων* C 5 *γὰρ* om. XSC 7 *ἀγὼν* post *ἡμῖν* tr. SC 8 *χαίρομεν* X : *χαίρωμεν*, corr. *-ομεν* C *χαίρωμεν* SV, fort. recte 8 *μέγα* XSV : *μεγάλε* C 9 *τὸ ὑπατικὸν* SC : *τῶ ὑπατικὸν* X *τῷ ὑπατικῷ* V recte 10 *ἄρχει* XS : *ἄρχη* CV 13 *οἶδα* XSC : *οἶδας* V, fort. recte 15 *τούτῳ* om. V 15 *Λύσσονι* : *δαίμονι* C 15 *καὶ* om. C 15 *ἡμῶν* XCV : *ὑμῶν* S

τέκνον, ὅτε καὶ τὴν φωνὴν ἀπέδωκε τῆς ὑπακοῆς, ἐν τῷ ναυκληρίῳ ὄντων ἡμῶν, τὸ πάρεδρον τοῦ ἀνισχύρου Λύσσονος. ἡ δύναμις δὲ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ κατήργησε τοὺς ἀκαθάρτους καὶ μιαροὺς θεούς, πρὸς τὸ μηκέτι αἰτεῖν τὰς συνήθεις θυσίας, καὶ οἱ ἀναίσθητοι ἱερεῖς τὴν θυσίαν ἡτοίμασαν τοῦ ἀναισθήτου Λύσσονος. λάβε, τέκνον, ἕτερα γράμματα καὶ ἄπελθε, δὸς αὐτὰ πρὸς τὸ αἰτεῖν τὴν ἀπ' ἀρχῆς διδομένην αὐτῷ θυσίαν· βούλομαι γάρ, τέκνον, ὅτε ἡ θυσία ἔχοιεν σωρευθῆναι, ἐλθεῖν καὶ παρρησίᾳ τὸν λόγον τοῦ θεοῦ κηρύξαι." ἔλαβεν οὖν ὁ Λυκαονίδης τὴν ἐπιστολήν, καὶ ἀπελθὼν ἔδωκε τῷ ἀνδριάντι τοῦ Λύσσονος. οἱ οὖν ἱερεῖς οἱ δείλαιοι καὶ τῆς ἀταξίας ἐργάται, οἱ δίκην ἀλόγων ζώων ζωὴν ζῶντες, ἤρξαντο ἐν ἑαυτοῖς λέγειν, "ἀπέλθωμεν θυμιάσαι τοὺς μεγίστους θεούς. κατακοσμῶμεν καὶ τὸ θυσιαστήριον τοῦ μεγάλου θεοῦ Λύσσονος καὶ λάβωμεν ἐν τῷ αὐτῷ κληδόνα. θεασώμεθα δὲ καὶ τὸν ναόν, ὃν ᾠκοδόμησε Βονιφάτιος·" ἐν τῷ παραλίῳ γὰρ Διοσκορίδους ἡτοιμάζοντο τὰ τῆς

XSCVO

1 ἀπέδωκε om. S 4 ἀκαθάρτους et μιαροὺς tr. C 4 μηκέτι αἰτεῖν XS : μὴ αἰτεῖν C μὴ ἐπιτελεῖν V 6 ante λάβε verbum ἀλλὰ hab. S 6 αὐτὰ XSC : αὐτῷ V 7 ante αἰτεῖν verbum μὴ hab. V 7 διδομένην : ἐπιδιδωμένην V 8 ἔχοιεν σωρευθῆναι : σωρευθεῖ V 9 ἔδωκε XSC : ἐπέδωκε V 10 τοῦ om. C 11 ἑαυτοῖς XSV : αὐτοῖς C 12 θυμιάσαι XSC : θυμιάσωμεν V 12 κατακοσμῶμεν nos : κατακοσμοῦμεν XSCV 14 θεασώμεθα SV : θεώμεθα X θεόμεθα C 15 ante Βονιφάτιος verbum ὁ hab. C 15 γὰρ om. V 15 ἡτοιμάζοντο XV : ἑτοιμάζοντο C ἡτοιμάζον S

θυσίας ἔργα, καὶ οὕτως ἀνήρχοντο. ὡς δὲ ἀνῆλθον εἰς ἕνα τόπον, συνήχθησαν κατὰ τὸ εἰωθὼς λαχμὸν ποιῆσαι εἰς ποῖον θεὸν θυσιάσωσι πρῶτον. ὡς δὲ ὁ χρησμὸς τῆς κληδόνος <ἐπεδόθη> ἐν Διί, οὗ τὴν κεφαλὴν κατέχουσιν οἱ ἱστοριογράφοι κεφαλώδη, καὶ ἀπῆλθον οἱ παμπόνηροι ὑπασπισταὶ τῶν μιαρῶν θεῶν καὶ εἰσῆλθον ἐν τῷ ναῷ τοῦ Διός, καὶ εὗρον ἐν τῷ ἐδάφει τῷ στρωτῷ καταπεπτωκότα τὰ εἴδωλα αὐτῶν καὶ συντριβέντα, καὶ κενὰς καὶ μόνας οὔσας τὰς καθέδρας, καὶ εὑρόντες τοὺς θεοὺς αὐτῶν οὕτως ἐδαφισθέντας καὶ λικμηθέντας, ἔτυψαν τὰ ἑαυτῶν πρόσωπα καὶ ἠλάλαξαν φωνῇ ἰσχυρᾷ, "ὦ θεὲ Δία, πόλεμος ἀντὶ πολέμου ἡμῖν γεγένηται. οὐκ ἤρκεσε ἡμῖν ἡ θλῖψις τοῦ συμβάντος πράγματος περὶ Φάλκονος; ἀλλὰ καί σε ὁρῶμεν ἐδαφισθέντα, καὶ ἡ εὐπρέπεια τοῦ τιμίου ναοῦ σου ἔρριπται ἐν τῷ ἐδάφει, καὶ τὰ πανηγύρια τῆς ἑορτῆς ὤλοντο, ἅπερ φόβῳ ποτε προσεκυνοῦμεν, νῦν ὁρῶμεν ἐρριμμένα <ἐν τῷ> ἐδάφει. οὐαὶ ἡμῖν. τίς ἀναγγελεῖ ταῖς πέριξ πόλεσι τὴν αἰσχύνην ἡμῶν καὶ τὰς θλίψεις τὰς

XS (4 *ἱστοριογράφοι* - 5 *εἰσῆλθον* mutil.) CVO

2 *συνήχθησαν* om. C 2 *λαχμὸν* X : *λαχνὸν* S *λογμὸν* C *λαχμῷ* V 2 *θυσιάσωσιν* C : *θυμιάσωσι* XSV 3 *δὲ* om. XSV 3 <*ἐπεδόθη*> supplevi 3 *ἐν Διί* nos : *ἐν Διῇ* V *ἐνδιδεῖ* XSC 4 *κατέχουσιν* XSC : *ἐγκατέχουσιν* V 6 *στρωτῷ* XSV : *στρατῷ* C 7 *καὶ κενὰς - καθέδρας* : *καὶ κενὲ* (corr. *κεναὶ*) *καὶ μόνε ἦσαν αἱ καθέδραι* S 7 *οὔσας* post *καθέδρας* tr. C 8 *λικμηθέντας* XCV : *λικμισθέντας* S 9 *φωνῇ* SC : *φωνὴν* XV 9 post *ἰσχυρᾷ* verbum *λέγοντες* hab. V 10 *πόλεμος* CV : *πολέμου* XS 10 *γεγένηται* XSV : *γίνεται* C 10 *ἤρκεσεν* XV : *ἠρκήσεν* SC 10 post *ἤρκεσε* verbum *γὰρ* hab. V 12 *ἐν τῷ* om. XCV 13 - 14 *καὶ τὰ - ἐδάφει* om. S, propter homoeoteleuton 13 *ὤλοντο* CV : *ὄλοντο* X 13 *ἅπερ* XV : *ὅπερ* C 15 *ταῖς πέριξ πόλεσι* emendavi : *τῶν* (*τῆς* S) *πέριξ πόλεων* XSCV 15 *θλίψεις* XSV : *θλῖψις* C

ἐν ἡμῖν τοῖς ἐπάρχοις Καλαβρίας; τίς πότε εἶχε τῶν πόλεων τοιοῦτον Δίαν εὐπρεπέστατον, ὦ θεὲ Δία; πῶς οἱ κάλλιστοι θεοὶ ἡμῶν ἀπώλοντο; πῶς ὁ καθαρὸς Φάλκων ἄφαντος ἐγένετο; πῶς καὶ σύ, δυνατὲ Δία συνετρίβης;" οἱ δὲ ἐξελθόντες μετὰ πολλῆς ὀδύνης κατολοφυρόμενοι εἰσῆλθον ἐν τοῖς ἑτέροις ναοῖς καὶ εὗρον αὐτοὺς καταπεσόντας, ὡς καὶ Δία, καὶ ὠλόλυξαν εἰς πλήρης, ὥστε τὴν πόλιν σοβαρῶς διαναστῆναι, ἀκούσαντα τὴν ἰσχυρὰν βοὴν τῆς ὀλολύξεως. ἐλθὸν οὖν πλῆθος πολύ, ἠρώτων τοὺς ἱερεῖς τῆς αἰσχύνης οὕτως, "τίς οὗτος ὀλολυγμός;" οἱ δὲ ἱερεῖς πρὸς τὸν λαόν, "σιγᾶτε, ἀφ' ἡμῶν νεανίσκοι καὶ νεάνιδες, καὶ πάντες οἱ ἐν τῇ πόλει, μᾶλλον δὲ μὴ σιγήσατε, ἀλλὰ θρηνήσατε καὶ ὑμεῖς σὺν ἡμῖν. ὦ ἀγαθοὶ καὶ πάνσοφοι πάνυ ἄνδρες ἰσχυροὶ καὶ ὀνομαστοί, οἱ ἐν πολέμοις καὶ πλούτῳ περιφανεῖς, τί ἡμᾶς καταναγκάζετε εἰπεῖν ὑμῖν τὸ συμβάν; ἢ τί ἐρωτᾶτε ἡμᾶς, 'τίς ἡ βοὴ αὕτη;' οὐ μόνον ἐσμὲν ἄξιοι βοὴν ῥῆξαι, ἀλλὰ καὶ κόνιν τὰς κεφαλὰς καταπάσσαι, ὡς μὴ ἐχόντων ἡμῶν ἔτι πρόνοιαν

XS (1 *Καλαβρίας* - 2 *εὐπρεπέστατον* mutil.) CVO

1 *εἶχεν* CV : *εἶχον* X 3 *ἀπώλοντο* XCV : *ἀπόλοντο* S 3 *σύ* XCV : *σοι* S 4 *ὀδύνης* XSV : *σπουδῆς* C 5 *ναοῖς*] *церквищи* Usp 6 *καταπεσόντας* : *καταπεσῶτες* C 6 *ὡς καὶ Δία* XSC : *ὡς Δίαν* V 6 *ὠλόλυξαν* V : *ὀλολύξαντες* 6 *εἰς* om. XSC 8 *ἐλθὸν - ἱερεῖς* : *αὐτῶν, ἠρώτουν αὐτοὺς λέγοντας* S 8 post *πλῆθος* verbum *πολὺ* hab. XC 8 *ἠρώτων* nos : *ἠρώτουν* XSV *πρώτον* C 8 *τῆς αἰσχύνης οὕτως* om. V 8 *τίς* XC : *τί ἐστιν* S *τίς ἐστιν* V 9 *οὗτος* post *ὀλολυγμὸς* tr. S 9 *δὲ* S : *οὖν* XCV 10 *νεάνιδες* XCV : *νεανίδαι* S 10 *καὶ* (2) om. C 11 *σιγήσατε* CV : *σιγείσεται* S *σιγήσηται* X 12 *πολέμοις* XCV : *πολέμῳ* S 13 *περιφανεῖς* XSC : *περιφανέστατοι* V 13 *καταναγκάζετε* CV : *-εται* XS 14 *ἡμᾶς* SCV : *ὑμᾶς* X 14 *βοὴν ῥῆξαι* nos : *βοὴν ῥίξαι* XC *βοὴν κηρύξαι* V *βοῆς* S

τῶν μεγίστων θεῶν. τίς ἀναγγελεῖ τοῖς περὶ Μάγαρ καὶ Λουγδίνον καὶ ταῖς λοιπαῖς ἐπαρχίαις, αἷς πολλάκις πολέμους συνεστήσαμεν, καὶ αἰχμαλώτους κατέσχομεν πάντας καὶ πλεῖον πάντων κληδόνας ἀσφαλεῖς ἐλαμβάνομεν. ὦ καθαροὶ καὶ ἄρευστοι θεοί, τίς ὁ ἀφανισμὸς ὁ γενάμενος ἐν ὑμῖν; δηλοποιήσατε ἡμῖν διὰ τῶν καθαρωτάτων ὑμῶν παρέδρων. δηλώσατε, θεοὶ ἀγαθοί, τοῖς ὑμῶν δούλοις." οἱ δὲ λαοὶ τῆς πόλεως ἐπέμενον τοὺς ἱερεῖς ἐρωτῶντες, "ἄνδρες ἱερεῖς, τί ἔχετε; τί συνέβη τῶν μεγίστων θεῶν;" ὁ οὖν ἀρχιερεὺς τοῦ Διὸς ἐπιλαβόμενός τινας τῶν πολιτῶν εἰσήνεγκαν ἐν τοῖς ναοῖς τῶν εἰδώλων, καὶ ἰδόντες τὰ εἴδωλα καταπεσόντα ἐν τῷ ἐδάφει, ἐνεοὶ ἐγένοντο, καὶ ἐξῆλθον κράζοντες μέσον τοῦ λαοῦ, "ἄνδρες Ταυρομενίται, οἱ θεοὶ ἡμῶν κατέπεσον ἐκ τῶν καθεδρῶν αὐτῶν, καὶ μόνα τὰ θυσιαστήρια γεγόνασιν." ἀπῆλθεν οὖν τὸ πλῆθος καὶ ἑώρακε, καὶ ἐγένετο θόρυβος ἐν τῷ λαῷ, καὶ ἀπῆλθον ἅπαντες ἐν τῷ πραιτωρίῳ μετὰ πολλοῦ θυμοῦ, καὶ σταθέντες ἔκραζον λέγοντες, "ἡγεμών, ἡγεμών, ἄλαμπρε καὶ

XSCVO

1 τοῖς CV : τοὺς XS 1 Λουγδίνον XV : Λουκδίνον C Λουγδήνον S 3 κατέσχομεν V : κατέσχωμεν X κατέχωμεν C συνέχωμεν S 3 πλεῖον nos : πλείων XC πλείω , fort. recte πλείους V 5 ὁ γενάμενος XCV : ὃ γέγωνεν S 5 ὑμῶν post παρέδρων tr. C 6 θεοὶ post ἀγαθοί tr. C 6 ante δούλοις verba φίλοις καὶ hab. S 6 - 7 τῆς πόλεως om. C 7 τοὺς ἱερεῖς XCV : τοῖς ἱεροῖς S 7 ἄνδρες ἱερεῖς om. S 7 ἔχετε CV : -εται XS 10 ἐγένοντο καὶ XSV : γενάμενοι C 11 ἡμῶν XV : ὑμῶν SC, fort. recte 12 κατέπεσον XC : κατέπεσαν SV 12 αὐτῶν XSC : ἡμῶν V 13 ἀπῆλθεν XCV : ἀπελθὼν S 13 post πλῆθος verba τοῦ λαοῦ hab. S 13 καὶ (1) om. S 13 ἑώρακεν V : ἑωράκασιν SC ἑοράκασιν X 13-14 ἐγένετο θόρυβος ἐν τῷ λαῷ] бысть плищь въ людехъ Usp 14 θυμοῦ CV : θορύβου XS 15 ἄλαμπρε XS : λαμπρὲ CV

ἀνάξιε τοῦ ὑπατικοῦ, κακῇ ὥρᾳ κέκλησαι τοποκτίστης. τί οὐκ ἐξέρχῃ καὶ ὁρᾷς τὰ τῆς πόλεώς σου πράγματα; τί οὐ ποιεῖς ζήτησιν τῶν ἐν τῇ πόλει πρασσομένων; ἔξελθε, δεινότατε. τί οὐ μνήσκῃ τῶν μεγίστων θεῶν, ὦ Βονιφάτιε; οὐ περιέφραξαν πλούτου καλλίστου τὰ σὰ πάντα; οὐ πορφύραν περιέθηκάν σοι; οὐ χρυσὸν καὶ ἄργυρον καὶ λίθους τιμίους ἐπλήρωσαν τοὺς οἰκίσκους τοῦ πραιτωρίου σου; οὐ πᾶσαν μεταλλικὴν τέχνην Ταύρου καὶ Μενίας δεδώκασίν σοι, ὥστε καὶ τὰ †βιστορικά σου πεφραγμένα εἰσιν ἐσθήτων λαμπρῶν, βύσσου καὶ πορφύρας καὶ κοκκίνων ἀνεικάστων, ὡς πασῶν πόλεων τιμιωτέραν ἀνέδειξαν τὴν πόλιν σου οἱ μέγιστοι θέοι, πολλοὺς ὑποτάξαντές σοι; πῶς οὖν τὰ σεβάσμια αὐτῶν οὐ παρέχεις ἔθη; ἐγνώκαμεν τὴν ἀλαζονείαν σου, ὑπερήφανε, ὅτι, πολλὰς θλίψεις ἐσχηκότων ἡμῶν, ποτὲ ζήτησιν οὐκ ἐποιήσω, Βονιφάτιε ἀνάξιε τῆς ἡγεμονίας." ὁ δὲ Βονιφάτιος ἀνελθὼν ἐν τῷ ἀνωτέρῳ πτερυγίῳ, καὶ ἑξήκοντα παῖδες μετ' αὐτοῦ εὔζωνοι, ἔφη πρὸς αὐτούς, "ἄνδρες σοφοί, μνησκόμενοι τῆς πατρῴας δίκης, μὴ

XS (3 ἔξελθε - 4 Βονιφάτιε mutil.) CVO

2 ὁρᾷς SV : ὡρᾶς XC 2 ζήτησιν XSC : πρόνοιαν V 4 περιέφραξαν CV : περιέφραξεν XS 7 δεδώκασίν XSC : δεδοξάκασιν V 7 σοι XSC : σε V 8 ἐσθήτων nos : αἰσθητῶν XSCV 8 - 9 βύσσου καὶ πορφύρας καὶ κοκκίνων ἀνεικάστων nos : βύσσω καὶ πορφύραν καὶ κοκκίνον (corr. κοκκίνων) ἀνικάστων X βύσσω καὶ κοκκίνων καὶ πορφύραν ἀνικάστων S βύσσω καὶ πορφύρα καὶ κοκκίνον ἀνικάστων C βύσσω τε καὶ πορφύρα καὶ κόκκινον ἀνείκαστον V 9 post ὡς verbum καὶ hab. V 9 ἀνέδειξαν XCV : ἔδειξαν S 10 πολλοὺς CV : πολλὰς XS 11 σεβάσμια XS : σεβάσματα V 13 Βονιφάτιε et ἀνάξιε tr. XCV 14 ἀνωτέρῳ : ἑτέρῳ S 14 post πτερυγίῳ verba τοῦ πραιτωρίου hab. V 14 παῖδες SCV : παῖδας X 14 μετ' αὐτοῦ XS : σὺν αὐτῷ V, om. C 14 εὔζωνοι XV : ἔνζονοι SC

ὑβρίζετε τὸν ἡγεμόνα ὑμῶν, ἀλλ' ὡς σοφοὶ καὶ ἐπιστήμονες προσέχετε ἑαυτοῖς καὶ τοῖς ῥήμασιν ὑμῶν, καὶ κομψότερον ἐργάσηται πρὸς ὑμᾶς ἡ ἀλήθεια." οἱ δὲ πρὸς Βονιφάτιον, "ποία ἀλήθεια;" καὶ ὁ Βονιφάτιος ὅτι, "αἵματα χυνόμενα ὁρᾶν οὐ θέλω, ἐπειδὴ πόλεμος ἐπὶ πόλεμον ἀντεισάγεται. ἀπὸ τοῦ νῦν δέ, εἴ τι θέλετε, γενέσθω." οἱ δὲ πάλιν ἐν θυμῷ πολλῷ, "ἀνάξιε τῆς ἡγεμονίας, καὶ ποῖον πόλεμον ἀντεισάγεις τῷ πολλοστῷ λαῷ τούτῳ;" ὁ δὲ Βονιφάτιος, "οἷον ἡ χάρις τῆς θείας προνοίας ἀντεισάγει." οἱ δὲ πρὸς αὐτόν, "ἀλλ' εἰπὲ ἡμῖν, εἰ φίλος εἶ τῶν μεγίστων θεῶν, ποίαν θεὰν καὶ χάριν εἶπες ἐπαγαγεῖν ἡμῖν πολέμους; τῆς θεᾶς Ἥρωνος <θυγατρὸς> ἢ τῆς Ἀφροδίτης Ἀθηνῶν;" ὁ δὲ Βονιφάτιος πρὸς αὐτούς, "προσέχετε τῷ ῥήματι, ἄνδρες σοφοί. οὐκ εἶπον θεᾶς Ἥρωνος θυγατρός, οὐδὲ πάλιν τῆς θεᾶς Ἀφροδίτης Ἀθηνῶν, ἀλλ' εἶπον θείας χάριτος καὶ δυνάμεως." οἱ δὲ πάλιν ἐν θυμῷ, "ἀνάξιε τοῦ ὑπατικοῦ περιβλήματος καὶ τῆς ἐπ' αὐτῷ πορφύρας, ἡ ἀπώλειά σου πέφθακε, καὶ διὰ τοῦτο ταῦτα ἀποκρίνει

XSCVO

1 ὑβρίζετε V : -εται XS -ητε C 1 τὸν ἡγεμόνα : τὴν ἡγεμονίαν V 2 ἐργάσηται nos : ἐργάσητε V ἐργάζεσθε C ἀπεργάσασθαι X ἀπεργάσεισθαι S 4 χυνόμενα XV : χυννόμενα SC 4 πόλεμος XSV : πόλεμον C 4 ἐπὶ πόλεμον XSV : ἀντὶ πολέμου C 5 γενέσθω V : γινέσθω XSC 6 πολλῷ ante θυμῷ tr. XC 6 πολλῷ om. S 6 ποῖον om. S 6 ἀντεισάγεις C : ἀντισάγει XS ἀντεισάγαγει V 8 εἶ post θεῶν tr. V 9 εἶπες XSC : εἶπας V 9 ἐπαγαγεῖν XCV : ἐπισάγειν S 10 ante τῆς (1) verbum τί hab. XS 10 <θυγατρὸς> supplevi 12 θεᾶς (1) XSV : θειᾶς C 12 θεᾶς (2) XSV : θειᾶς C 14 ἐπ' αὐτῷ XSC : ἐν αὐτῷ V 15 ἡ XCV : καὶ S 15 πέφθακε XSV : ἔφθασεν C 15 ταῦτα XC : τοιαῦτα V, om. S

πρὸς ἡμᾶς." ὁ οὖν Βονιφάτιος εἶπεν, "τί χολᾶτε, ἄνδρες Ταυρομενίται; πολλάκις ἐνέτυχον τῆς πόλεως γενεσίων, καὶ τοιούτους ἄνδρας τετύχηκεν ἔχειν, ὡς μαρτυροῦσιν οἱ κεχαρακτηριακότες τὴν τύχην τῆς πόλεως τοιούτους εἶναι, καὶ μέχρι τοῦ νῦν εὑρίσκομεν ὑμᾶς. τί οὖν ἤκατε ποιῆσαι; ὁ πολὺς θυμός, ἄνδρες, φυγέτω ἀφ' ὑμῶν. πολλοὺς εὑρίσκομεν ἐν τοῖς βιβλίοις εἰσελθόντας ἐν Ἐρέβει καὶ ἀποκτανθέντας, καὶ νῦν συνήλθατε, φησίν, οὕτω κἀμοὶ ἐγχειρεῖν, ἀλλὰ μὴ οὕτω μανῆτε κατ' ἐμοῦ." οἱ δὲ κατανοιγέντες μίᾳ φωνῇ εἶπον, "οὐ μαινόμεθα, ἡγεμών, ἀδίκως, ἀλλ' ὑπὲρ θεῶν συνήλθαμεν τὸ σκεῦος ποιεῖσθαι πρός σε. πάνυ δὲ ἐπαινοῦμεν τὴν ἀνεξικακίαν σου, ὅτι πολλὰ παρ' ἡμῶν ἐνυβρισθείς, οὐκ ἀντεῖπες ἡμῖν. ἀληθῶς ἐπαινοῦμέν σε, κύριε ἡγεμών, καὶ εἴ τι θέλεις, διαλαλῆσαι ἡμῖν, ἑτοίμως ἔχειν ἡμᾶς ἐνδείξασθαι τὴν ὑπακοήν, καὶ σύ, λαμπρὲ ὕπατε, τὸ ἀνεξίκακόν σου ἡμῖν ἔνδειξαι." ὁ δὲ Βονιφάτιος ἐπιεικῶς ἀπεκρίνατο πρὸς τὸν λαόν, "ἄνδρες σοφοί, ἐπειδή, ὡς προειρήκατε, συνέβη τι τῶν θεῶν, εἶπον ὑμῖν σύναξιν

XSCVO

1 ὁ οὖν XCV : καὶ ὁ S 2 ἐνέτυχον V : συνέτυχον SC συνέτυχων X 4 τοῦ νῦν om. XSV 4 εὑρίσκομεν SCV : -ωμεν X 4 οὖν om. CV 5 ἤκατε S : εἴκατε X συνήκατε CV 5 ἄνδρες om. C 5 post ὑμῶν verba πολὺς θυμὸς γὰρ ἐν ὑμῖν οὐκ ἐστιν καλόν hab. C 6 εὑρίσκομεν SCV : -ωμεν X 7 συνήλθατε XCV : εἰσήλθαται, corr. -ατε S 7 φησίν om. S 7 οὕτω κἀμοι XCV : κἀμοὶ οὕτως S 7 ἐγχειρεῖν CV : ἐγκειρίν S ἐγχειρᾶν X 7 - 8 ἀλλὰ μὴ - κατ' ἐμοῦ om. S 7 οὕτω XV : οὕτως C 8 κατανοιγέντες nos : κατανυγέντες XCV : κατνοισθέντες S 8 εἶπον SCV : εἶπων X 8 μαινόμεθα nos : οὐ μενόμεθα V οὐ μανῶμεν XSC 9 ἀδίκως post μαινόμεθα tr. S 9 ποιεῖσθαι S : ποιῆσθαι X ποιήσασθαι C ποιῆσαι V, fort. recte 10 σε CV : σου XS 14 ἀπεκρίνατο post λαόν tr. S

γενέσθαι, καὶ ζήτησιν ποιώμεθα, ὡς καὶ λελαλήκατε, Φάλκονα ἀφαντωθέντα καὶ Δία καὶ τοὺς λοιποὺς θεοὺς συγκαταπεσόντας συντριβῆναι, καὶ ἔχετε σήμερον ἡμέρας δύο τὸ φιλόνεικον παρατείνοντες. ὡς δὲ λέγετε, ἡ θυσία ἕτοιμός ἐστιν· ἐπιλέξασθε ἐξ ὑμῶν ἄνδρας ἰσχυροὺς καὶ σοφοὺς ἐν ἐπιστήμῃ τῆς πατρῴας παραδόσεως τῶν Ἑλληνικῶν ἐθῶν, οἵτινες καὶ ἐπίστανται πάνυ τῶν ὀνειράτων λύσεις ποιεῖν καὶ κληδόνας ἀσφαλεῖς ἐπιδιδόνται, καὶ ἐπιστήσατε αὐτοὺς ἐν τοῖς ναοῖς, καὶ εὑρεῖν ἔχουσι πάντως τὸ ἐν αὐτοῖς πραχθέν, εἴτε θεὸς ἰσχυρότερος ἦλθε, καὶ μὴ ὑπενέγκαντες τὸν φόβον αὐτοῦ κατέπεσαν, ἢ ὅτι ὑπερηφανευσάμενος ἡμᾶς καὶ Φάλκων καὶ οἱ λοιποὶ θεοί, ἀπεποιήσαντο ἡμᾶς, καὶ ἐπὰν τὸ ἀληθὲς μάθωσιν ἐν ἀκριβείᾳ, τῆς συνάξεως ἐπιτελουμένης, ἐρευνῶμεν περὶ πάντων." οἱ οὖν ἱερεῖς τῆς αἰσχύνης, ἀκούσαντες τὴν συμβουλίαν Βονιφατίου καὶ ἀρεσθέντες αὐτῆς, εἶπον, "μὰ τὴν μεγάλην πρόνοιαν Λύσσονος, καλὴν συμβουλίαν ἡμῖν ὀρέξω, κύριε ἡγεμὼν πανσοφότατε." πάραυτα οὖν

XS (8 ἐπιστήσατε - εὑρεῖν mutil.) CVO

1 ποιώμεθα nos : ποιοῦμεθα XSCV 1 λελαλήκατε XCV : λαλήκατε S 2 Δία καὶ XC : Δίαν καὶ V διὰ S 2 ante συγκαταπεσόντας verbum οὓς hab. S 3 τὸ om. V 4 ἐπιλέξασθε V : ἐπιλέξασθαι XC ἐπιλέξαι καὶ S 6 ἐθῶν SCV : ἠθῶν, corr. ἐθῶν X 8 ἔχουσι XSC : ἔχουν V 9 εἴτε S : ἤτε XC ἢ ὅτι V 9 ἦλθε CV : ἐλθὼν X πεσὼν S 9 - 11 ὑπενέγκαντες τὸν φόβον αὐτοῦ κατέπεσον ἢ ὅτι ὑπερηφανευσάμενος (ἡμας supplevi, sed cf. S) καὶ Φάλκων καὶ οἱ λοιποὶ θεοί X : ὑπερηφανευσάμενος ἡμᾶς καὶ Φάλκον καὶ οἱ λυποὶ θεοί S μὴ ὑπενέγκαντες τὸν φόβον αὐτοῦ (αὐτοῦ om. C) κατέπεσαν (κατέπεσον C) ἢ ὅτι λοιποὶ θεοί CV 10 κατέπεσαν V : κατέπεσον XSC 11 - 12 μάθωσιν ἐν ἀκριβείᾳ V : ἀκριβείᾳ μάθωσιν XSC 13 τὴν συμβουλίαν XCV : τῆς συμβουλίαν S 14 αὐτῆς XSC : αὐτοῖς V 15 ὀρέξω XSC : ὠρέξω V 15 πανσοφότατε XC : πάνσοφε V, om. S

κατῆλθον ἀπὸ τοῦ πραιτωρίου καὶ λαβόντες ἐν ταῖς χερσὶν αὐτῶν κλάδους μυρσίνων καὶ δάφνης ἐπέσειον, φωνὰς ἐπᾴδοντες, καὶ ἐπιλεξάμενοι ἄνδρας πάνυ σοφοὺς καὶ πεπαιδευμένους τῆς πατρικῆς φιλοσοφίας τὰ μέτρα, τὴν πατροπαράδοτον ἐπιστήμην, ὀνειράτων λύσεις δηλοποιούντων, μαντείας ταχίστους, καὶ κληδόνας καὶ †τριβισμοὺς πάνυ ἐπιπονοῦντας ἐπιδιδόναι τὸν ἀριθμὸν ὡσεὶ τριάκοντα, οἳ καὶ παρέδρευσαν τοῖς ἀκαθάρτοις ναοῖς ἐπιτηρήσαντες πάνυ. ὁ οὖν μακάριος, ἐν τῷ εὐκτηρίῳ ὤν, ἐφρουρεῖτο ὑπὸ τοῦ ἁγίου πνεύματος, καὶ σκότος περιεῖχεν αὐτούς, πρὸς τὸ μὴ ὁρᾶσθαι τὸ εὐκτήριον. διανυκτερεύσαντες δὲ μερισμὸν ποιήσαντες ξυνορικὸν ἄνα ξυνωρίδα μίαν ἐν ἑκάστῳ μιαρῷ θυσιαστηρίῳ, ἀπῆλθον καὶ οἱ λοιποὶ οἱ ἐν τῷ Λύσσονι δάφνας καὶ μυρσίνας κατέχοντες ἐν ταῖς χερσὶν αὐτῶν, ἄλλοι δὲ κρότους ἐν χερσὶ ποιούμενοι, αἱ νεάνιδες δὲ ἐν κυμβάλοις φωνὰς ἐπᾴδουσαι Ἀφροδιτικάς, καὶ ἔλεγον πρὸς Λύσσονα, "χάρις σοι, χάρις σοι, μέγα θεὲ Λύσσων, ὅτι ἡ σὴ εὐάρεστος πρόνοια τὴν αἰτήσιον

XSCVO

2 κλάδους] βπηιε Usp 2 μυρσίνων XS : μαρσίνων C μυρσύνων V 2 δάφνης XS : δάφνας CV 2 ἐπέσειον nos : ἐπεσίον XSCV 3 καὶ om. V 3 πεπαιδευμένους : παιδευμένους S 5 ταχίστους V : ταχίστας XSC 5 - 6 κληδόνας καὶ τριβισμοὺς nos (cf. p.328 supr.) : κλιδόνας καὶ τριβισμοὺς XC τριβισμοὺς καὶ κλιδῶνας S κλειδόνας καὶ στριβισμοὺς V 6 ἐπιπονοῦντας XSC : ἐπιποθοῦντας V, fort. recte 7 ἐπιτηρήσαντες XCV : ἐπισητηρίσαντες S 8 post μακάριος verbum Παγκράτιος hab. CV 8 ὤν SC : ὄν X, om. V 9 περιεῖχεν XC : περιῆχεν S περιήχησεν V 9 ὁρᾶσθαι C : ὁρᾶσθε X ὡράσθαι S ὁρᾶν V 10 διανυκτερεύσαντες V : διενυκτέρευσαν XC διενεκτεύρισαν S 11 ἐν om. V 11 οἱ (2) om. XC 12 κατέχοντες XC (post αὐτῶν tr. C) V : -οντας S 12 κατέχοντες post αὐτῶν tr. C 12 ἐν(2) om. V, fort. recte 13 νεάνιδες δὲ SV : νεάνιδες X νεάνεις δὲ C 14 καὶ om. V 15 θεὲ SCV : θεῶν X

πολιτικὴν εὐωχίαν ἀπήρτηκεν ἡμῖν," καὶ εἰσελθόντες ἐν τῷ ναῷ, τοῦ παρέδρου ἐδέοντο εἷς ἕκαστος κληδόνα λαβεῖν. τὸ δὲ πάρεδρον ἀπεκρίνατο, "ὦ ἄνδρες Ταυρομενίται, τί ἤλθετε πρός με; τί φωνὰς ἐπαίνων ἡμῖν ἐπᾴδετε, μηδὲν ἀπὸ τοῦ νῦν πραττόντων ἡμῶν; ἅπερ ἐφαντάσαμεν, ἐφαντάσαμεν, ἅπερ ἐπράξαμεν εἰς ὑμᾶς, ἐπράξαμεν. ἀποχωρεῖτε λοιπὸν ἀφ' ἡμῶν." οἱ δὲ ἀκούσαντες τὴν φωνὴν τοῦ παρέδρου τοιαύτην ἀπόκρισιν ἀποφήναντα, ὀλολύξαντες εἶπον, "ἄρευστε καὶ καθαρὲ θεὲ Λύσσων, μέγα προνοητὴν ἔσχαμέν σε, καὶ νῦν τοιούτους φθόγγους ἡμῖν ἀποδίδεις; οὐχὶ ἐν πολέμοις νικητικὸς ἡμῖν ἐγένου, καὶ ἐν πλούτῳ περιφανέστατος, ὡς καὶ τύχη καλὴ ἅπασιν ἐν μεταλλικοῖς εἴδεσιν, καὶ πῶς νῦν ἀπράκτους ὑπαναχωρεῖν ἡμᾶς ἡτοίμασας; πῶς ἡμῖν μαντεύματα ἐπεδίδεις ἑκάστῳ κατὰ τὴν τύχην τῆς ἀξίας; διὰ τί ἀπεστέρησας ἡμᾶς τῶν καλλίστων σου; μὴ οὕτως, καθαρὲ καὶ ἄρευστε ἐν δυνάμει Λύσσων θεέ, μὴ ὑπερηφανεύσῃ τοὺς σοὺς οἰκέτας." τὸ δὲ πάρεδρον, ἀκοῦσαν τὴν ματαίαν παράκλησιν τῶν

XS (10 περιφανέστατος - 11 μεταλλικοῖς mutil.) CVO

1 ἀπήρτηκεν S : ἀπήρτικεν X ἤρτικεν C ἀπήρτησεν V 1 - 2 τοῦ παρέδρου S : τῷ παρέδρῳ XCV 2 post ἕκαστος verbum αὐτῶν hab. V 2 λαβεῖν om. S 2 τὸ δὲ (δὲ om. X) πάρεδρον ἀπεκρίνατο XCV : εἶπεν αὐτοῖς S 3 ἤλθετε XC : ἤλθαται S ἤλθατε V 3 με XSV : ἡμᾶς C 4 ἐπᾴδετε CV : ἐπᾴδεται X ἐπᾴδεσθαι S 5 ἐφαντάσαμεν om. S 6 ἀποχωρεῖτε λοιπὸν αφ' ἡμῶν om. XSC 8 ἄρευστε XSV : ἄρεστε C 8 θεὲ om. C, post Λύσσων tr. V 8 μέγα XSC : μέγαν V 8 προνοητὴν XSV : νοητὴν C 9 ἡμῖν (1) post ἀποδίδεις tr. V 10 ἐγένου XSC : γεγόνας V 10 καλὴ ἅπασιν V : ἁπάση XC 12 ἡτοίμασας XSC : ἑτοίμακας V 12 post πῶς verbum πρώην hab. V 12 ἐπεδίδεις C : ἐπεδίδης XV ἐπιδίδης S, fort. recte (ἐπιδίδῃς) 12 ἑκάστῳ S : ἑκάστου XCV 13 ἀπεστέρησας V : ἀπέστησας SC, fort. recte ἀπέστεισας X 13 post σου verbum ἔργων hab. V, fort. recte 14 καὶ om. C 14 ἐν om. V 15 ἀκοῦσαν XSC : ἀκούσαντα V

μιαρῶν ἱερέων, πάλιν ἀπεκρίνατο, "ἄνδρες, εἶπον ὑμῖν, εἴ τι ἐπράξαμεν, ἐπράξαμεν. εἴ τι ἐφαντάσαμεν, ἐφαντάσαμεν· οὐκέτι ἐν ἡμῖν δύναμις." οἱ δὲ πάλιν πρὸς τὸ εἴδωλον, "καὶ γὰρ καὶ ἀλήθεια· Δίας γὰρ καὶ οἱ λοιποὶ θεοὶ συμπεπτώκασιν, ὡς θεοῦ ἰσχυροτέρου ὑμῶν ἐφθακότος ἐνταῦθα. ἀλλ' ὅμως καὶ ὑμεῖς τὴν ἀνδρείαν ὑμῶν ἐνδείξασθε, ἔχοντες καὶ τὴν ἀεὶ ὑπηρεσίαν." πάλιν δὲ ὁ μιαρὸς δαίμων ἀπεκρίνατο, "ἄνδρες Ταυρομενίται, τί παρενοχλεῖτέ μοι; λαβόντες κληδόνα ἀσφαλῆ τῶν πραχθέντων, ἀπέλθετε τῶν ἐνταῦθα." οἱ δὲ πάλιν πρὸς τὸν ἀκάθαρτον δαίμονα, "ἐπίδος, καθαρέ, κληδόνας, ἐπίδος." ὁ δὲ δαίμων πρὸς αὐτούς, "ἄνδρες, ἡ τρισυπόστατος θεότης ἐπεσκέψατο τὸ ἴδιον πλάσμα· ὁ γὰρ θεὸς ἀπέστειλε τὸν λόγον αὐτοῦ, καὶ ἰάσατο πάντας." οἱ δὲ πάλιν ἔλεγον, "τίνες οἱ λόγοι οὗτοι, καθαρώτατε Λύσσων; εἰπὲ ἡμῖν. ἔχεις ἰσχυρότερόν σου θεόν; τίς ἐστιν οὗτος;" ὁ δὲ φησίν, "ὃς ἐποίησε τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς, ὃς καὶ πλαστουργήσας τὸν ἄνθρωπον κατ' εἰκόνα

XS (4 *οἱ λοιποὶ* - 5 *ἐνταῦθα* mutil.) CVO

1 *ἱερέων* : *θεῶν* C 1 *εἴ τι* (✓) V : *ἤ τι* XSC 2 *εἴ τι* (✓) V : *ἤ τι* XSC 2 - 3 *ἐν ἡμῖν* SC : *ἐν ὑμῖν* X *ἡμῖν* V 3 *καὶ* (2) om. C 6 *ἐνδείξασθε* : *ἐνδείξαται* S 7 *Ταυρομενίται* om. V 8 *ἀπέλθετε* XC : *-αται* S *-ατε* V 8 *ἐνταῦθα* : *ἐντεῦθεν* V 9 *κληδόνας* nos : *κλίδονας* X *κλείδονας* V *κλίδονα* SC 10 *τρισυπόστατος*] *тросообьствъное* Usp 11 *λόγον* : *ἄγγελον* S 12 *πάντας* XCV : *αὐτοὺς* S 12 *ἔλεγον* om. CV 13 *θεόν* om. CV 13 - 14 *ὁ δὲ φησίν* om. S 15 *ὃς καὶ πλαστουργήσας* nos : *ὃ καὶ πλαστουργήσας* XC *ὃ καὶ πλάσας* S *τὸν πλαστουργήσαντα* V

μιαρῶν ἱερέων ταῦτα, ἐπεφώνησεν οὕτως, βλέπων τῶν μιαρῶν ἀνδρῶν τὴν εὐπρόθυμον σπουδήν, "ἄνδρες Ταυρομενίται, τὴν πρόθεσιν ὑμῶν ἀπεδεξάμην. ποίαν ἀνδρείαν ἐνδείξω πρὸς ὑμᾶς;" οἱ δὲ πάλιν, "ἦν πάντοτε ἐν πολέμοις καὶ πλούτῳ." ὁ δὲ Λύσσων πρὸς αὐτούς. "καὶ εἶπον καὶ πάλιν λέγω ὑμῖν, κληδόνα ἀσφαλῆ λαβόντες, πορεύεσθε, καὶ ἀνδρεῖοι γίνεσθε, καὶ τὰ ἐν τῇ θυσίᾳ αἰτήσια προσενέγκατε. ἐν τῇ πρώτῃ μου κληδόνι λέγω ὑμῖν, τίς θυσία μου ἐπιδοθῇ μοι." ἐνέγκαντες οὖν οἱ μιαροὶ ἱερεῖς χρυσῆν φιάλην, ἐν ᾗ ἐπέβαλλον τοὺς κληδόνας, ἔπλησαν αὐτὴν ὕδατος ἀσκήπτου. προσεγγίσαντες δὲ τῷ ἀνδριάντι, ἐπεκαλοῦντο εἷς ἕκαστος κληδόνα λαβεῖν. ἐπέβαλλον οὖν εἷς ἕκαστος ἐν τῷ ὕδατι τὰ ἑαυτῶν δακτυλίδια, καὶ προσελθὼν εἷς ἐξ αὐτῶν εἰς τὴν τραγῳδίαν πάνυ πεπειραμένος, ἔλεγεν κατὰ τὴν τύχην ἑκάστου, καὶ τὸ πάρεδρον ἐδίδου τὴν φωνὴν λέγων, "λάβε." ἐπιβάλλοντος οὖν τὴν χεῖρα, ἀνῆλθεν ὁ χρησμὸς τῆς θυσίας, καὶ ᾐτήσατο Βονιφάτιον, ἵνα λάβῃ εἰς θυσίαν. οἱ δὲ ὄχλοι ἐν ἑνὶ στόματι εἶπον, "χάρις σοι, χάρις σοι,

XS (6 *αἰτήσια* - 7 *ἐπιδοθῇ* mutil.) CVO

1 *ἱερέων* : *θεῶν* C 1 *ἐπεφώνησεν* XCV : *ἐφώνησεν* S 1 - 2 *βλέπων* - *σπουδήν* om. S 3 *ἀπεδεξάμην* XV : *ἀπέδειξα* S *ἀποδειξάμην* C 3 *ἐνδείξω* XSC : *ἐνδείξομαι* V, fort. recte 6 *γίνεσθε* nos : *γίνεσθαι* XSV : *γενέσθαι* C 7 ante *μου* (1) verbum *δέ* hab. XC 7 *μου* (1) om. C 7 *τίς θυσία* V : *τῆς θυσίας* XC 7 *ἐπιδοθῇ μου* C : *ἐπιδωθῆναι μου* X *ἐπιδοθεῖ* V 8 *χρυσῆν* SV : *χρυσῖν* XC 8 post *χρυσήν* verbum *τε* hab. V 8 *φιάλην*] *паницу* Usp 9 *ὕδατος ἀσκήπτου* XSC : *ὕδατι ἀσκήπτῳ* V 10 *ἐπέβαλλον* XC : *ἐπέβαλον* SV 10 *οὖν* S : *δὲ* V, om. XC 10 - 11 *ἐν τῷ ὕδατι* om. XSC, fort. recte 11 *τὰ ἑαυτῶν δακτυλίδια* (*-ίδεια* X) XS *ἑαυτῶν δακτύλια* V *αὐτῶν* C 11 *ἐξ αὐτῶν εἰς* om. XSC, propter homoeoteleuton 12 *ἔλεγεν κατὰ τὴν τυχὴν ἑκάστου* : *τὴν τραγοδίαν κατὰ τὴν τύχην ἔλεγεν* C 12 *ἑκάστου* XSC : *ἑκάστῳ* V 13 *ἐδίδου* XCV : *ἐδίδει* S 13 *ἐπιβάλλοντος* XS : *ἐπιβαλόντος* CV 14 *χρησμὸς* C : *χρυσμὸς* XS *χρισμὸς* V 15 *εἰς* om. XSC 15 *οἱ δὲ ὄχλοι ἐν ἑνὶ στόματι εἶπον* V : *ὅλοι δὲ στόματι ἑνὶ εἶπον* XC *ὅλοι δὲ εἶπον ἑνὶ στόματι* S

ἰδίαν καὶ ὁμοίωσιν, οὗτος ἀπέστειλε ῥομφαίαν πυρίνην καθ' ἡμῶν. αὕτη ἡ ῥομφαία καὶ Φάλκονα ὤλεσεν καὶ τοὺς θεοὺς ἠδάφισεν, κἀμὲ ἄπρακτον ἀπὸ τοῦ νῦν πεποίηκεν· τὸν γὰρ μαθητὴν Ἰησοῦ Χριστοῦ ἐνταῦθα ἐδεξάμεθα, ὃν καὶ ἐκόμισε Λυκαονίδης." οἱ δὲ ἀκούσαντες οὕτως, ὀλολύξαντες, εἶπον, "καθαρώτατε καὶ ὑψηλὲ προνοητά, πῶς μέχρι τοῦ παρόντος οὐκ ἐδηλοποίησας ἡμῖν, ἀλλὰ τετραγῳδημένον ἑαυτὸν ἀπήλλαξας; συνήλθομεν πρός σε, ὅτε καὶ ὁ καθαρὸς Φάλκων ὠλέσθη, καὶ οὐκ ἀπήγγειλας ἡμῖν, ὡς καὶ Βονιφάτιον πολλοῖς ὁπλικοῖς ἐπαπειλήσμασιν παρεπλήξαμεν δι' ὑμᾶς, ὦ καθαροὶ καὶ δυνατοὶ θεοί. νῦν δὲ καὶ πάλιν, θεὲ Λύσσων, συνήλθομεν, ἵνα τὴν ἀνδρείαν σου ἀναλάβῃ, καὶ εἴ τις τὰ πειθανικὰ ἤθη οὐ προσυπηρετήσει, ὀλεσθῇ παρά σου, κἂν Βονιφάτιος, κἄν τις τῶν λοιπῶν. αἰτούμεθα δὲ τὴν σὴν μεγάλην πρόνοιαν, ἵνα καὶ ὅνπερ πεπόθηκας λαβεῖν εἰς τὴν καθαρὰν θυσίαν σου, φανερώσῃς ἡμῖν διὰ τῆς πιστῆς κληδόνος σου, καὶ ἑτοιμάσομεν αὐτὸν κατὰ τὸ εἰωθός." ὁ οὖν δαίμων ἀκούων παρὰ τῶν

XSCVO

2 ὤλεσεν CV : ὅλεσεν X, corr. ὤλεσεν X^1 ὅλεσεν S 3 Ἰησοῦ Χριστοῦ XCV : Ἰησοῦν Χριστὸν S 4 ἐδεξάμεθα SCV : -όμεθα X 4 ὃν SCV : ὃ X 4 καὶ om. SC 4 ἐκόμισεν SV : ἐκόμησεν XC 5 εἶπον XC : εἶπων S εἶπαν V 6 παρόντος : παρόν C 6 ἡμῖν om. XSC 6 τετραγῳδημένον : περιτραγοδημένον S 7 ἀπήλλαξας XCV : πεποίηκας S 7 ὅτε καὶ SC : ὅτι καὶ X ὅτι V 8 ὠλέσθη XSV : ὀλέσθη C 8 Βονιφάτιον : Βονηφατίῳ C 9 παρεπλήξαμεν : παρέξαμεν C 10 δυνατοὶ XCV : ἄρευστοι S 10 συνήλθομεν XCV : -ωμεν S 11 εἴ τις V : ἤ τις XS τίς C 12 ὀλεσθῇ XS : ὠλεσθῆ CV 12 σου om. S 14 φανερώσῃς V : φανερώσεις XS φανερώσις C 14 πιστῆς κληδόνος (κλιδόνος XC) σου XCV : πίστεως σου κλίδονος S 15 ἑτοιμάσομεν XC : -σωμεν SV 15 αὐτὸν : ἑαυτὸν C 15 ἀκούων XCV(post ἱερέων tr. V) : ἀκούσας S ^ 159.1

μέγα θεὲ Λύσσων," καὶ ἐπέδωκεν ἑκάστου τὸν χρησμὸν κατὰ τὴν τύχην. ἐπιτελεσθέντων οὖν τῶν κληδόνων, ἐξῆλθον ἐκ τοῦ μιαροῦ θυσιαστηρίου, λαβὼν ἕκαστος τὸν χρησμὸν τῆς ἰδίας τύχης, καὶ εὐθέως σεσαρώκασι τῶν προαυλίων τὰ ἀκούβιτα, καὶ σφάξαντες ταύρους καὶ τράγους, ἔπλησαν τὰς φιάλας αἱμάτων. ἐπάραντες οὖν φωνὴν ἠλάλαξαν λέγοντες, "εὐχαριστοῦμέν σοι, μέγα θεὲ Λύσσων, ὅτι οὐ παρήκουσας τῶν σῶν δούλων, ἀλλὰ τὸ ἀπ' ἀρχῆς αἰτήσιον πεπλήρωκας. ᾐτήσω δὲ καὶ Βονιφάτιον εἰς θυσίαν, ὡς εὑρίσκομεν δὲ ὅτι τὴν πρὸς σὲ γνησίαν ἀγάπην οὐκ ἔκτηται· ἀλλὰ μὴ δὲ σὺ χαρίσῃ αὐτῷ τὴν αἰώνιον ζωήν, ἥνπερ χαρίζῃ τοῖς ποθοῦσίν σε," ἐπειδὴ οὗτος ὁ πονηρὸς καὶ ἀκάθαρτος δαίμων οὕτως ἠπάτα τοὺς ἀνθρώπους, ἑτέραν ζωὴν ἐπαγγελλόμενος αὐτοῖς, ἥτις ἦν ἐλπὶς ματαία καὶ πρόξενος τῆς Γεέννης τοῦ πυρός. ἔλεγόν τε πολλοὶ ἐκ τοῦ ὄχλου οἱ ἐγγύτερον ἀκούσαντες τὴν φωνήν, ὅτε τὸ πάρεδρον τὴν κληδόνα ἐπέδωκεν τῆς τύχης Βονιφατίου εἰς θυσίαν Λύσσονος ἐπιδοθῆναι, καὶ

XSCVO

1 μέγα post θεὲ tr. S 2 ἐπιτελεσθέντων XSC : ἐπετελεσθέντων V 2 ante ἐξῆλθον verba καὶ ἐξελθόντων hab. C 2 ἐξῆλθον XC : ἐξῆλθων S ἐξῆλθεν V 4 σεσαρώκασιν XCV : σεσωράκασιν S, fortasse σεσωρεύκασιν emendandum ? 4 σφάξαντες :σφράξαντες C 5 φιάλας V : φυάλας S φιάλεις XC 5 ἐπάραντες οὖν XCV : καὶ ἐπάραντες S 6 μέγα θεὲ XSV : ἀγαθὲ C 7 ante ἀπ' verbum ὡς hab. V 8 πεπλήρωκας XCV : πεπλήρωκεν S 8 ᾐτήσω C αἰτήσω V αἰτῆσαι XS, fort. recte 8 εὑρίσκομεν XC : εὑρίσκωμεν V ἐμάθωμεν S 9 ὅτι om. V 9 σὺ SV : σοὶ XC 10 post αἰώνιον verbum σου hab. V 10 χαρίζῃ CV : χαρίζει XS 10 οὗτος XCV : οὕτως S 11 οὕτως XCV : οὗτος S 11 ἠπάτα XCV : ἀπάτα S 12 ματαία ante ἐλπὶς tr. C 15 ante ἐπιδοθῆναι verbum καὶ hab. C

φωνὰς ποιήσαντες, ἀνῆλθον ἐν τῷ πραιτωρίῳ καὶ ἔλεγον, ἐπισείοντες κλάδους μυρσίνων καὶ δάφνης, "ἄξιε ἡγεμών, λαμπρὲ ὕπατε καὶ τοποκτίστα, ὁ μέγας θεὸς Λύσσων εἰς θυσίαν σε ᾐτήσατο καὶ ἡμεῖς πάντες μακαριοῦμέν σε, ὅτι καὶ ἐνταῦθα περιφανὴς ἐγένου, καὶ νῦν εἰς πλειοτέραν ζωὴν ἀπέρχῃ, ἀληθῶς καὶ ἄξιος εἶ καὶ σὺ θεὸς κληθῆναι, ὡς Δίας καὶ Λύσσων, Ἄρτεμις τε καὶ οἱ λοιποί." ἀπῆλθον οὖν οἱ ἱερεῖς διασκέψασθαι τὰ λοιπὰ τῆς θυσίας ἐν τῷ παραλίῳ. ἀκούσας οὖν ὁ Βονιφάτιος, ὅτιπερ <εἰς> θυσίαν ᾐτήσατο αὐτὸν ὁ ἀκάθαρτος δαίμων, σπεῦσας κατῆλθεν εἰς τὴν ἐκκλησίαν. ὡς δὲ ἑώρακεν τὸν μακάριον, ἔπεσεν ἐπὶ πρόσωπον κλαίων. ὁ δὲ μακάριος Παγκράτιος πρὸς Βονιφάτιον, "τί ἔχεις, τέκνον; τί κλαίεις; μὴ λόγος πονηρὸς ἐτάραξεν τὴν καρδίαν σου;" ὁ δὲ Βονιφάτιος πρὸς τὸν μακάριον, "εἴθε, πάτερ, λόγος πονηρός, καὶ μὴ θάνατος πικρός." τότε διηγήσατο ὁ Βονιφάτιος ἅπαντα τὰ συμβάντα, ὅτι, "καί θυσίαν προσενέγκαι με σπεύδουσιν τῷ ἀκαθάρτῳ τούτῳ δαίμονι." ὁ δὲ μακάριος πρὸς αὐτόν,

XSCVO

2 δάφνης XSV : δάφνας C 2 δάφνης] *скроботичнами* Usp 2 ante λαμπρὲ verbum καὶ hab. XSV 3 θεὸς om. S 3 σε ᾐτήσατο XC : ἐκτίσατο S αἰτήσατώ σε V 4 ἐνταῦθα XSC : ἐν ταύτῃ τῇ ζωῇ V 4 περιφανὴς ἐγένου] *словѣяше* Usp 5 ἀπέρχῃ CV : ἀπέρχει XS 5 ἄξιος εἶ καὶ σὺ θεὸς X : ἄξιως εἶ καὶ σοὶ θεὸς C σὺ ἄξιος εἶ θεὸς V ἄξιος εἶ θεὸς S 6 ante Δίας verbum καὶ hab. V 6 Ἄρτεμίς nos : Ἄρτεμά XSC Ἄρτεμάς V 6 τε om. C 8 <εἰς> supplevi 9 εἰς τὴν ἐκκλησίαν XCV : ἐν τῇ ἐκκλησίᾳ S 10 post μακάριον verbum Παγκράτιον hab. C 11 λόγος XSV : λογισμὸς C, fort. recte 12 ἐτάραξεν XCV : ἐτάξεν S 12 εἴθε XSC : ἤθοις V 12 - 13 εἴθε - πικρός] **гаро, ѡче, проныривый съмысль, а не смрьть горька** Usp 13 λόγος XSV : λογισμὸς C, fort. recte 14 post συμβάντα verbum αὐτῷ hab. S 14 προσενέγκαι με XC : με προσενέγκε V προσενέγκαμεν S

"ἄπελθε, τέκνον, εἰς τὴν θυσίαν, κἀγὼ παραγίνομαι, καὶ τῇ δυνάμει τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ παρρησίᾳ ἐλέγξω καὶ νικήσω καὶ ὀλέσω αὐτὸν ἐντελῶς. ἄπελθε οὖν, τέκνον μου, ἐν εἰρήνῃ, κἀγὼ ἐν ὀνόματι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετά σου εἰμί." ἐξῆλθεν οὖν ὁ Βονιφάτιος ἐκ τῆς ἐκκλησίας καὶ ἀνῆλθεν εἰς τὸ πραιτώριον. οἱ δὲ ἱερεῖς ἀπῆλθον ἐπιτηρήσαντες τὴν θυσίαν ἰδεῖν τί, καὶ οἱ ἄνδρες ἐθεάσαντο κατὰ τοὺς θεοὺς αὐτῶν καὶ εἰσελθόντες ἠρώτων αὐτούς. οἱ δὲ ἀποκριθέντες εἶπον πρὸς αὐτούς, "ἡμεῖς κατὰ τὰς παραγγελίας ὑμῶν, ἱερεῖς καὶ συμμύσται, εἰς τοὺς μεγάλους θεοὺς ἐτηρήσαμεν, μὴ ὕπνον τοῖς ἡμετέροις ὀφθαλμοῖς δεδωκότες. οὕσπερ δὲ εὕρομεν θεοὺς ἀστηλώτους, συνηρμόσαμεν εἰς τὰς ἑαυτῶν καθέδρας, ὡς ἀλήθειαν ὑμῖν φυλάξαντες, καὶ μὴ τῶν πατρῴων ἐθῶν ἐπιλαθόμενοι. ὥσπερ δὲ ἤκουσαμεν, ἀπαγγεῖλαι ὑμῖν ἔχομεν." οἱ δὲ εἶπον, "καὶ εἴπατε," φήσιν, "καὶ ἡμεῖς ἀκουσόμεθα." οἱ δὲ ἄνδρες, "ἐπιτηρήσαντες, ὡς προειρήκαμεν, μὴ δώσαντες ὕπνον τοῖς ὀφθαλμοῖς ἡμῶν, καὶ ὥρα ἦν

XS (15 *προειρήκαμεν* - *ἡμῶν* mutil.) CVO

1 *παραγίνομαι* SCV : *-ωμαι* X 3 *ὀλέσω* XCV : *ὠλέσω* S 3 *αὐτὸν* om. V 3 *ἐντελῶς* XV : *παντελός* S *εἰς τέλος* C

4 *κυρίου ἡμῶν* XSC : *τῶν ὅλων θεοῦ* V 4 *ἐξῆλθεν* XS : *ἐξελθὼν* C *ἐξῆλθων* V 5 *τῆς ἐκκλησίας* XCV : *τὴν ἐκκλησίαν* S 5 *καὶ* om. CV 6 *ἀπῆλθον* C : *ἀπῆλθων* XS *ἀνῆλθον* V 6 *ἐπιτηρήσαντες* : *ἐπιτηρεῖν* S 6 *τὴν θυσίαν* XCV : *τὰς θυσίας* S 7 *ἠρώτων* X : *ἠρώτουν* CV *κρώτουν* S 8 *πρὸς αὐτοὺς* XCV : *αὐτοῖς* S 8 *παραγγελίας* : *ἐπαγγελείας* S 10 *ἡμετέροις* om. SC 10 post *ὀφθαλμοῖς* verbum *ἡμῶν* hab. C 10 *εὕρομεν* XSC : *-αμεν* V 11 *συνηρμόσαμεν* X : *συνηρμώσαμεν* SCV 11 *ἑαυτῶν* XSC : *αὐτῶν* V 12 *ὥσπερ* XS : *ὅπερ* CV 13 *ἔχομεν* V : *-ωμεν* XSC 13 *οἱ δὲ εἶπον* om. CV 14 *φησὶν* om. V 14 *καὶ ἡμεῖς* om. XCV 14 *ἀκουσόμεθα* CV : *-σώμεθα* XS 15 *δώσαντες* XSV : *δόσαντες* C 15 *καὶ* om. V

ὡσεὶ ἐνάτη τῆς νυκτός, καὶ ἤχησεν σάλπιγξ εὔηχος, λυρικὸν μέλος πάντερπνον, οὗ κόρος οὐδείς. ὡς οὖν ἤκουσαν τῆς φωνῆς οἱ θεοί, οὓς ἤμεθα εἰς τὰς καθέδρας βαλόντες, συνέπεσον καὶ ἐγένοντο ὡς οὐθέν." οἱ δὲ ἱερεῖς ἀκούσαντες ὅτι οὕτως ἀπεκρίθησαν, ἠγανάκτησαν κατὰ τῶν ἀνδρῶν, ὡσεὶ λήρους ἐσχηκότες τοὺς λόγους αὐτῶν. οἱ οὖν ἄνδρες ἀποκριθέντες εἶπον, "ἄνδρες, τί ἀπιστεῖτε ἡμῖν; μείνατε μεθ' ἡμῶν, καὶ ὄψεσθε καὶ ὑμεῖς τὸ λαληθησόμενον παρ' ἡμῶν." ἀρεσθέντες οὖν πάντες εἶπον, "μείνωμεν· καλῶς εἰρήκατε," καὶ ἐνέγκαντες τὰ ἐγκοίτια αὐτῶν, κατέπαυσαν. ὁ οὖν μακάριος ὥρᾳ ἐνάτῃ ἠγέρθη ἐπιτελέσαι τὸν ἑωθινὸν κανόνα, καὶ ἤρξατο ἡ πνευματικὴ σάλπιγξ, καὶ εὐθέως κατέπεσαν οἱ θεοί, οὓς ἦσαν ἐμβάλοντες εἰς τὰς καθέδρας. οὕτως δὲ συμπεσόντες ἠφανίσθησαν εἰς τέλος σὺν τῶν καθεδρῶν αὐτῶν, καὶ ἐγένοντο ὡσεὶ κονιορτὸς ἅλωνος θερινῆς. ἀκούσαντες οὖν τῆς φωνῆς καὶ ἑωρακότες τοὺς ἀνισχύρους θεοὺς αὐτῶν εἰς πλήρες λικμηθέντας, ἐξελθόντες ἦλθον ἄντικρυς τοῦ εὐκτηρίου. σκότος δὲ

XSCVO

1 ἐνάτη V : ἐννάτη XC ἐνάτης S 1 σάλπιγξ V : σάλπιξ XSC, hic et alibi 3 βαλόντες XC : βαλῶντες S ἐμβάλοντες V 3 καὶ ἐγένοντο ὡς οὐθέν] *быша яко ничтоже* Usp 3 ὡς SCV : εἰς X 5 λήρους nos : λῆρον XV λίρος S λύρος C 5 τοὺς λόγους XCV : τοῖς λόγοις S 6 τί XSC : εἶ V, fort. recte 6 ἀπιστεῖτε C : ἀπιστεῖται XS ἀπιστῆτε V, fort. recte 6 ἡμῖν om. V 6 ἡμῶν SCV : ὑμῶν X 8 πάντες post εἶπον tr. V 8 μείνωμεν nos : μείνομεν XSCV 8 εἰρήκατε XSC : εἴρηκαν V 9 ἐγκοίτια CV : ἐγκύτια XS 9 post μακάριος verbum *Παγκράτιος* hab. C 10 καὶ ἤρξατο XCV : ἤρξατο δὲ καὶ S 11 κατέπεσαν SV : κατέπεσον XC 11 ἐμβᾰλόντες XSV : ἐπιβάλοντες C 11 post τὰς verba καρδίας τῆς hab. S 12 συμπεσόντες XV : συνπεσώτες S συνπέσαντες C 13 ante ἅλωνος verbum ἀπὸ hab. V 14 αὐτῶν ante θεοὺς tr. V 15 λικμηθέντας X : ληκμηθέντας S λιγμηθέντες C ἐκλημισθέντες V

ἐγένετο αὐτοῖς καὶ ἐκρατοῦντο οἱ ὀφθαλμοὶ αὐτῶν καὶ οὐκ ἐπέβλεπον τὸ εὐκτήριον, μόνον δὲ ἐπλήσσοντο ἀκούοντες τῆς πνευματικῆς λύρας· ὡς εἰπεῖν γάρ, ἀδελφοί, ἀκόρεστον ἦν οὖς ἀνθρώπινον πρὸς ἀκρόασιν τῆς τοῦ μακαρίου Παγκρατίου ἡδύτητος. ἐκπληρώσαντες οὖν τὸν ἑωθινὸν κανόνα, ἐκαθέσθη ὁ μακάριος ἐν τῷ πυλῶνι, καὶ ποιήσας τὴν ἐν Χριστῷ σφραγῖδα, διελύθη τὸ σκότος καὶ διηνοίχθησαν οἱ ὀφθαλμοὶ αὐτῶν, καὶ ἐπέγνωσαν τὴν ἐκκλησίαν. ἑώρων δὲ καὶ τὸν μακάριον καθήμενον ἐν τῷ πυλῶνι, ὡς ἀληθῶς ἐπουράνιον ἄνθρωπον καὶ ἐπίγειον ἄγγελον, καὶ ἰδόντες αὐτὸν ἔπτηξαν. ἐμφόβων δὲ αὐτῶν γενομένων, ἤρξαντο οἱ ἄνδρες ὀρκίζειν τὸν μακάριον κατὰ τῶν ματαίων θεῶν καὶ φησίν, "ὀρκίζομέν σε κατὰ τῆς δυνάμεως τῶν μεγάλων θεῶν, ἡλίου τε καὶ σελήνης, πυρός τε καὶ ὕδατος, ὧν ἄνευ οὐ ζῇ φύσεως πᾶσα σάρξ, εἰπὲ ἡμῖν τίς εἶ, θεὸς ἢ ἄνθρωπος;" ὁ δὲ μακάριος Παγκράτιος ἀποκριθεὶς εἶπεν αὐτοῖς, "ἄνδρες Ταυρομενίται, τί ὀρκίζετέ με κατὰ τῶν ματαίων θεῶν; ἐγὼ οὔτε θεός

XSCVO

1 ἐπέβλεπον XS : ἔβλεπον CV 2 δὲ om. V 2 τῆς πνευματικῆς λύρας XSV : τὴν πνευματικὴν λύραν C 3 εἰπεῖν XCV : εἶπον S 3 οὖς XCV : νοῦς S 5 κανόνα X : κανώνα S ὕμνον CV 5 - 8 καὶ ποιήσας - πυλῶνι om. S propter homoeoteleuton 7 ἑώρων XV : ἑώρον C 9 αὐτὸν om. V 9 ἔπτηξαν XCV : ἔπτυξαν S 9 αὐτῶν post[10] γενομένων tr. V 10 post μακάριον verbum Παγκράτιον hab. C 11 καὶ φησίν - [12] θεῶν om. S, propter homoeteleuton 11 ὀρκίζομεν XV : ὀρκίζωμεν, corr. -ομεν C 12 ὧν om. S 14 Παγκράτιος om. S 15 τί om. V 15 τῶν om. SC

εἰμι, οὔτε πάλιν τοῖς μιαροῖς καὶ ἀκαθάρτοις δαίμοσι λατρεύω, ὡς ὑμεῖς ὑπολαμβάνετε, ἢ ὅλως προσκυνῶ καὶ σέβομαι αὐτούς. λέγω δὲ ὑμῖν, ἄνθρωπός εἰμι καὶ πλάσμα θεοῦ ἰσχυροῦ, ὡς καὶ ὑμεῖς, ἐξ αἵματος καὶ φλέγματος καὶ χυμοῦ καὶ χολῆς, νεύροις τε καὶ ὀστέοις καὶ σαρκὶ ἐμπεπλεγμένος. ἀπεστάλην δὲ παρὰ τοῦ θεοῦ τῶν ἁπάντων κηρύξαι ὑμῖν λόγον ἀληθείας, ἐπεί, ὡς προεῖπον, οὐ θύω θεοῖς, ἀλλ' οὔτε πάλιν τῷ ἡλίῳ, ἢ σελήνῃ, ἢ πυρὶ καὶ ὕδατι, ἢ τῇ λοιπῇ κτίσει, ἀλλὰ τῷ τῶν ὅλων θεῷ καὶ δεσπότῃ τῷ διδοῦντι ὑετὸν ἐπὶ τὴν γῆν καὶ ἐξανατέλλοντι χόρτον τοῖς κτήνεσι καὶ διδοῦντι τροφὴν πάσῃ σαρκί. τούτῳ λατρεύω, τούτῳ τὴν λογικὴν θυσίαν προσφέρω. λέγω δὲ ὑμῖν, ἄνδρες, ἐὰν ἐπιγνώσησθε τὸν ὕψιστον θεόν, καὶ βδελύξησθε τοῦ Σατανᾶ τὸ διδασκάλιον, ἕξετε ζωὴν αἰώνιον." κατανυγέντες οὖν εἶπον, "ἡμεῖς ἐν ἀληθείᾳ ἔνθεον χάριν ἑωράκαμεν καὶ ὁρῶμεν. εἰπὲ δὲ ἡμῖν, μὴ καὶ θεὸς Ἀπόλλων εἶ, ὁ τῶν Ἀθηνῶν μέγας καὶ καθαρός; διὰ τοῦτο καὶ θάρσει ἧκες πρὸς ἡμᾶς καὶ δυνάμεις ἐπιτετέλεκας, ὡς καὶ οἱ θεοὶ

XS (14 *Ἀθηνῶν* - 15 *ὡς καὶ* mutil.) CVO

(1)
2 ἢ SV : εἰ XC 3 ὑμῖν : ἡμῖν X 3 καὶ XCV : ἢ S, fort. recte 4 *καὶ χυμοῦ καὶ χολῆς*] *слуза и кручины* Usp 4 χυμοῦ XSC : θυμοῦ V 6 ὑμῖν SV : ἡμῖν XC 7 ante *σελήνῃ* verbum *τῇ* hab. V 7 πυρὶ XCV : πῦρ S 7 - 8 *τῇ λοιπῇ - διδοῦντι* : *λειποὶ κτίσματα, ἀλλὰ τῶν τῶν ὅλων θεὸν καὶ δεσπότην τὸν διδοῦντα* S 9 ἐξανατέλλοντι : ἐξανατέλλοντα S 10 *λογικὴν*] *словесную* Usp 11 ἐπιγνώσησθε nos : ἐπιγνώσησθαι X ἐπιγνώσεσθαι SC ἐπιγνώσετε V 11 βδελύξησθε CV : -ησθαι X -εισθαι S 12 κατανυγέντες : καὶ νυγέντες S 12 εἶπον XSC : εἶπαν V 13 ὁρῶμεν XV : ὠρῶμεν, corr. ὁρῶμεν C 14 *Ἀθηνῶν* XC : *Ἀθηναίων* V

ἡμῶν ὅλοντο, καὶ τοῦτο νοητέον ἡμῖν ὅτι ἡ σὴ ἀξία ἰσχυροτέρα τῆς τῶν θεῶν ἡμῶν ὑπάρχει. ἀλλ' εἰ καὶ περισσοτέραν δείξεις ὑπὲρ τοὺς ἡμετέρους θεούς, μὴ καταδυναστεύσῃς αὐτούς, ἀλλ' ἡγῆσαι αὐτοὺς ὡς συνεστίους σου, ἐπειδή, ὡς μέχρι θανάτου ἐλθόντας ἡμᾶς ἐν πολέμοις, ἡ μεγάλη δύναμις τῆς προνοίας αὐτῶν ἐλυτρώσατο ἡμᾶς. ὅτε οὖν καὶ σὺ τοιαύτας δυνάμεις ἐπιτελέσεις ἡμῖν, μείζονα ναὸν ἀνοικοδομήσωμέν σοι καὶ πολλὰς θυσίας προσενέγκωμεν τῇ σῇ ἀξίᾳ. τέως εἰπὲ ἡμῖν, παρακαλοῦμέν σε τὴν τύχην τῆς ἀξίας σου· ὡς ὑπολαμβάνομεν γὰρ θεὸς Ἀπόλλων εἶ, καὶ πεφανέρωσε Βονιφατίῳ, ὃς καὶ ᾠκοδόμησέν σοι τὸν οἰκίσκον τὸν μικρόν· ἀλλ' ὁ καθαρὸς καὶ μέγας θεὸς Λύσσων πλειότερον πεποίηκεν, τοῦτον αἰτήσας εἰς θυσίαν, καὶ ζῶντι πολλοστὴν χάριν χαρίζεται αὐτῷ." ὁ δὲ μακάριος πρὸς τοὺς ἄνδρας, "ἄνδρες Ταυρομενίται, νουνεχῶς ἀκούσατε καὶ πιστεύσατέ μου τοῖς λόγοις· ἐρῶ γὰρ ὑμῖν καὶ τὴν ζωὴν τοῦ μεγάλου καὶ ἀνεξιχνιάστου θεοῦ, τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ

XSCVO

1 ἰσχυροτέρα : ὀχυρωτέρα V 1 τῆς om. S 2 ἀλλ' εἰ XCV : ὅμως S 2 δείξεις V : δείξῃς XC, fort. recte δίξης S 4 συνεστίους XS : συνετίους C συνεσθίους V 4 ἐν πολέμοις om. S 5 ἡμᾶς XCV : αὐτούς S 6 τοιαύτας XCV : τοσαύτας S 6 ἐπιτελέσεις XCV : -σης S 6 ἡμῖν XCV : ἡμᾶς S 6 - 7 ἀνοικοδομήσωμέν nos : ἀνηκοδομήσωμεν S ἀνοικοδομήσομέν XC οἰκοδομήσωμέν V 7 προσενέγκωμεν XV : προσενέγκομεν C ἐνέγκωμεν S 7 τῇ σῇ ἀξίᾳ XSV : σοι C 8 παρακαλοῦμέν σε om. S 8 ὑπολαμβάνομεν SC : ὑπολλαμβάνομεν X ὑπολαμβάνωμεν V 8 γὰρ post θεὸς tr. XS 9 πεφανέρωσε CV : -ωσαι XS 9 ὃς CV : ὡς XS 9 ᾠκοδόμησέν nos : οἰκοδόμησεν XCV ὀκοδόμησεν S 10 post οἰκίσκον verbum τοῦτον hab. V 10 θεὸς om. C 11 πλειότερον V : πλεότερον X πλιώτερον S πλεώτερον C 11 πεποίηκεν XCV : ὑπέδειξεν S 11 τοῦτον XCV : τούτου S 11 ante καὶ verbum ὡς hab. V 11 ζῶντι V : ζωὴν XSC 12 χάριν om. XS 12 αὐτῷ XCV : ἡμῖν S 12 τοὺς ἄνδρας XCV : αὐτούς S 12 post ἄνδρας verbum ἔφη hab. V 13 μου post ἀκούσατέ tr. V, fort. recte 13 - 14 τοῖς λόγοις XCV : τοὺς λόγους S

πάντα τὰ ἐν αὐτοῖς, τὸν καὶ πλαστουργήσαντα τὸν ἄνθρωπον, καὶ χαρίζεται τοῖς ἀγαπῶσιν αὐτὸν εἰς αἰῶνας ἀπόλαυσιν, τρυφὴν παραδείσου, ἀνάπαυσιν, ἣν ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη. ταῦτα παρέχει ὁ κύριος τοῖς ἀγαπῶσιν καὶ προσκυνοῦσιν αὐτόν. οὗτοι δέ, οὓς λέγετε θεοὺς εἶναι, καὶ σωτηρίαν παρέχειν καὶ ζωὴν αἰώνιον τοῖς ἀρέσκουσιν αὐτοῖς, παρέχουσι, ἀκούσατε, τὴν τούτων πρὸς ὑμᾶς ὑπόσχεσιν· ἔστιν πῦρ ἄσβεστον, σκότος ἐξώτερον, βρυγμὸς ὀδόντων, κλαυθμὸς ἀνείκαστος. ταῦτά εἰσιν τὰ χαρίσματα, ἅπερ ἐπαγγέλλεται ὁ Λύσσων ὑμῖν μετὰ τοῦ πατρὸς αὐτοῦ τοῦ Σατανᾶ· ἐπειδή, ἃ ἡτοίμασται αὐτοῖς διὰ τὴν ὑπερηφανίαν αὐτῶν, φθόνῳ φλεγόμενοι, τὸ πλάσμα τοῦ θεοῦ ἀποστρέφοντες ἀπὸ τοῦ ἰδίου δημιουργοῦ, ταῦτα χαρίζονται τοῖς πειθομένοις τῶν ἀκαίρων φαντασιῶν αὐτῶν· ἐπειδή, λέγετέ με εἶναι θεὸν Ἀπόλλωνα, εἶπον κἀγὼ ὑμῖν, ἐγὼ οὔτε θεὸς Ἀπόλλων εἰμί, οὔτε Ἀπόλλωνι προσκυνῶ, ἀλλὰ θεῷ ἀληθινῷ ζῶντι καὶ διαμένοντι.

XS (15 ἀλλὰ - 168.1 σὺν τῇ mutil.) CVO

3 - 4 1 Cor. 2:9

(2)
1 τὸν ἄνθρωπον XSC : γένος τῶν ἀνθρώπων V 1 καὶ V : ἣν XSC 2 χαρίζεται XCV : παρέχεται S 2 αἰῶνας XV : αἰώνιον SC 3 εἶδε X : ἤδεν S ἴδεν CV 4 ὁ om. XCV 5 αὐτόν om. V, post ἀγαπῶσιν tr. X 5 λέγετε CV : -εται XS 6 τοῖς ἀρέσκουσιν nos : ἀρεσκίας XS τοῖς ἀρεσκίας C ἀρέσκουσιν V 8 post κλαυθμὸς verbum ὁδόντων hab. S (del.) 9 τὰ om. X 9 ὑμῖν SCV : ἡμῖν X 9 ἐπαγγέλλεται XCV : διαγγέλλεται S 10 αὐτοῦ XSV : αὐτῶν C 11 φλεγόμενοι XV : φλεγόμενον S φερόμενοι C 11 τὸ πλάσμα XCV : τὸ πλάσματι S 12 ἀποστρέφοντες XC : ἀποστρέφουσιν S ἀποστρέφοντε V 12 ante ταῦτα verbum καὶ hab. XS

φανεροποιῶ δὲ ὑμῖν καὶ τὴν ἐμὴν τύχην σὺν τῇ πατρωνυμίᾳ. ἐγώ, ὡς προεῖπον, ἐὰν ἀκούσητε, ἐρῶ ὑμῖν." οἱ δὲ ὡς ἐξ ἑνὸς στόματος ἔκραξαν, "ἀκούομεν, ἀκούομεν, μεγαλώτατε." ὁ δὲ μακάριος Παγκράτιος πρὸς τοὺς ἄνδρας, "ἐπειδή, ὡς προειρήκατε, ἡ θυσία Λύσσονος ἡτοίμασται, παραγενέσθαι ἔχω καὶ τῇ δυνάμει τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἄφαντον ποιήσω τοῦτον, καὶ ὡς ἀποσταλεὶς ὑπὸ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ σταυρωθέντος ἐπὶ Ποντίου Πιλάτου, καὶ Πέτρου τοῦ ἀποστόλου, ὁδὸν σωτηρίας δείκνυμι ὑμῖν, ἥνπερ ἐὰν ἀκολουθήσητε, εὑρήσετε τὴν αἰώνιον ζωήν." οἱ δὲ ἄνδρες ἀκαμπεῖς ὄντες ἐκ τῆς τοῦ διαβόλου παγίδος, κἂν μέντοι ἐκλίνοντο, πάλιν ἐπὶ τὴν τῶν εἰδώλων θυσίαν ἔσπευδον. οἱ οὖν πρὸς τὸν μακάριον ἀπεκρίθησαν, "μεγαλώτατε, εἰ πλειοτέραν δόξαν περιβέβλησαι ὑπὲρ Λύσσονα καὶ Δία καὶ τοὺς λοιποὺς θεούς, καί σε μὲν ὡς ὑπερέχοντα προσκυνοῦμεν, κἀκείνους ὡς εὐεργέτας ἡμῶν σέβομεν." ὁ οὖν μακάριος πρὸς αὐτούς, "ἄνδρες, ἀπέλθετε καὶ πᾶσαν ἀκολουθίαν τῆς

XS (usque ad 1 *σὺν τῇ*, 10 *ὄντες* - 11 *ἐπὶ τὴν* mutil.) CVO

1 *φανερωποιῶ* V *φανεροποιῶ* XSC 2 *ἀκούσητε* CV : *-σηται* XS 2 *ὡς* om. S 3 *ἔκραξαν* XSC : *εἶπον* V 3 *ἀκούομεν, ἀκούομεν* XSC : *-ωμεν -ωμεν* V 4 *Παγκράτιος* om. S 5 *ἡτοίμασται* V : *ἡτοιμάσθη* XSC 5 *παραγενέσθαι* SCV : *-έσθω* X 6 *ἄφαντον ποιήσω*XS : *ἀφαντοποιήσω* CV 6 *ἀποσταλεὶς* CV : *ἀποστολεὶς* X *ἀποσταλὴς* S 6 *ὑπὸ* XCV : *ἀπὸ* S 7 *ἐπὶ* SCV : *ὑπὸ* X 8 *δείκνυμι* CV : *δεικνύω* XS 9 *ἥνπερ* nos : *ἧσπερ* CV *ὅπερ* XS 9 *ἀκολουθήσητε* C *-ήσηται* X *-είσεται* S *-ήσειτε* V 9 *εὑρήσετε* nos : *-ήσεται* S *-ήσηται* X *-ήσητε* C *εὑρήσειτε* V 9 *τὴν αἰώνιον ζωήν* V : *τὸν ἴδιον δημιουργόν* XSC, fort. recte 11 *θυσίαν* : *θυσία* S 11 *ἔσπευδον* XSC : *ἐπέσπευδον* V 11 *οἱ* nos : *τί* XSCV 13 *Δία* S : *Δίαν* X, corr. *Δία* X[1] *Δίαν* CV 13 post *ὡς* verbum *σὺ* hab. V 14 *κἀκείνους* XCV : *ἐκείνους δὲ* S 14 *ἡμῶν σέβομεν* nos. : *ἡμῶν σέβωμεν* V *τιμῶμεν σεβόμενοι* X, fort. recte *τιμῶμεν σεβώμενοι* S *τιμῶμεν σεβώμενοι* (corr. *-όμενοι*) C 15 post *μακάριος* verbum *Παγκράτιος* hab. C 15 *ἀπέλθετε* C : *-ατε* XSV

θυσίας ποιήσατε καὶ τὸν Βονιφάτιον προσενέγκατε ὡς συντέτακται." ἐξῆλθον οὖν καὶ ἤρξαντο ὁμιλεῖν πρὸς ἀλλήλους περὶ ὧν ἐθεάσαντο, καὶ συναχθέντες ἐγγύτερον τῷ μακαρίῳ, ἠρώτων τὸν μακάριον καὶ φησίν, "εἰπὲ ἡμῖν, ἄξιε, ποίας τύχης τυγχάνεις;" ὁ δὲ μακάριος, "τὴν τύχην μου καὶ τὴν προσηγορίαν καὶ τὴν ἀξίαν ἐρῶ ὑμῖν. τύχη μὲν Χριστιανός, προσηγορία δὲ Παγκράτιος, ἐπίσκοπος τὴν ἀξίαν, καί, ὡς προεῖπον, ἀπεστάλην κηρύξαι ὑμῖν τὸν λόγον τοῦ ζῶντος καὶ ἀληθινοῦ θεοῦ Ἰησοῦ Χριστοῦ, τοῦ δόντος ἑαυτὸν λύτρον ὑπὲρ τῆς τοῦ κόσμου σωτηρίας." ἀκούσαντες δὲ οἱ ἄνδρες, ἀπῆλθον καὶ ἤρξαντο διαλογίζεσθαι πρὸς ἀλλήλους, "τίνα ἡμῖν," φησίν, "ἐπαγγέλλεται, λέγων ἰσχυρότερον τῶν ἡμετέρων θεῶν;" ὡς δὲ ἐποιοῦντο τὴν ἀντιβολὴν πρὸς ἀλλήλους, εἶπον, "ἀληθῶς ἡμῖν εἴρηκεν, ἐπεὶ εἰ μὴ ἰσχυρότερος ἦν, οὐκ ἂν οἱ θεοὶ ἡμῶν πτῶσιν εἴχασιν, καὶ οἱ μὲν ἀφανεῖς ἐγένοντο, οἱ δὲ συμπεσόντες ἀπώλοντο· ἀλλὰ καὶ ἡμεῖς πάντες, εἰ καὶ ἐξεβιασάμεθα τὸν Λύσσονα, ἀνισχύρως ἡμῖν ἀπεκρίνατο λέγων, 'εἴ τι

XSCVO

1 *συντέτακται* XC : *συντέτακτε* S *προστέτακται* V 2 post *οὖν* verbum *ἔξω* hab. V 2 *ἤρξαντο* XSC : *ἤρξατο* V 2 - 3 *ἐθεάσαντο καὶ συναχθέντες ἐγγύτερον τῷ μακαρίῳ* nos : *ἐθεάσαντο τῷ μακαρίῳ καὶ συναχθέντες ἐγγύτερον* SV *ἐθεασάντες ἐγγύτερον ἠρώτον τὸν μακάριον καρίῳ καὶ συναχθέντες ἐγγύτερον* X (*-ερον - μακάριον* del.) *ἐθεάσαντο ἐγγύτερον* C 3 *ἠρώτων* nos : *ἠρώτον* XC *ἠρώτουν* SV 4 *ποίας τύχης τυγχάνεις*] *коего лучая еси* Usp 4 *τυγχάνεις* XCV : *-ης* S 5 *τύχη* XCV : *τύχην* S, fort. recte 5 - 6 *τύχη - Παγκράτιος*] *Лучаемъ я христіанинъ, нарокомъ Панкратій* Usp 6 *προσηγορία* XCV : *προσηγορίαν* S, fort. recte 6 *καί* om. XSC 7 *ζῶντος καὶ* om. S 10 *διαλογίζεσθαι* XCV : *διαλογίζειν* S 11 *λέγων* XSC : *λέγον* V 11 post *λέγων* verbum *καὶ* hab. V 11 post *θεῶν* verba *ἕτερον καταγγέλλειν* hab. V 11 *ἐποιοῦντο* XCV : *-οῦντω* S 12 *ἀντιβολὴν* : *ἀνθηβολὴν* V 12 *εἶπον* XSC : *εἶπαν* V 13 *ἡμῶν* SCV : *ὑμῶν* X, corr. *ἡμῶν* X^2 13 *εἴχασιν* nos : *ἤξασι* X, fort. recte, *ἔξασιν* CV 14 *ἀπώλοντο* X : *ἀπόλλοντο* S *ἀπόλοντο* C *ὤλοντο* V 15 *ἐξεβιασάμεθα* XSC : *ἐβιασόμεθα* V 15 *εἴ τι* SV : *ἤ τι* XC

ἐφαντάσαμεν, <ἐφαντάσαμεν καὶ εἴ τι ἐπράξαμεν,> ἐπράξαμεν· ἀπὸ τοῦ νῦν δὲ ἀδυνατοῦμεν.' " οἱ δέ, "ἀληθῶς." εἷς δέ τις ἀρχιφιλόσοφος καὶ τὰς βίβλους πασῶν τῶν ἰατρικῶν θεσπισμάτων διακατέχων τοὔνομα Ξάνθιππος, κατασείσας τῇ χειρί, εἶπεν πρὸς τὸν λαόν, "ἄνδρες Ταυρομενίται, σιγήσατε μικρόν, καὶ ἐρῶ ὑμῖν τὴν δύναμιν τοῦ πράγματος." οἱ δὲ σεσιγήκασι πάντες, καὶ ἔλεγεν ὁ Ξάνθιππος, "ἄνδρες, προεβάλεσθέ με ὑμεῖς ἐν τῇ πόλει ἄρχειν τῶν ἰατρικῶν πραγμάτων, ὡς καὶ ἐπὶ πολλὴν ἐπιμέλειαν πεποίηκα. πρὸ δὲ ὀλίγων μηνῶν τοῦ χρονικοῦ κύκλου τοῦ ἰνδίκτου, ἀνὴρ ἄξιος τῷ εἴδει ἦλθεν πρός με καὶ ἐπέδωκεν μοι βιβλίον λέγων, 'λάβε, Ξάνθιππε, ἰατρικὸν ἐκ τῆς ἄνωθεν δυνάμεως στιχθὲν τῷ δυνάμει πολλοστῇ ἰατρεύοντι τὰ νοσήματα.' ἐδεξάμην οὖν ἐγὼ τὸ βιβλίον ἐν ταῖς χερσίν μου καὶ εἶπον πρὸς τὸν ἄνδρα, 'τίμιε ἄνερ, λάβε καὶ σὺ χρήματος πληθύν.' ὁ δὲ ὡς φθαρτὸν καὶ βδελυκτὸν εἴρηκεν μοι εἶναι τὸ χρυσίον, καὶ εὐθέως ἄφαντος ἀπ' ἐμοῦ ἐγένετο. ὑπαναγνοὺς οὖν ἐγὼ τὸ βίβλιον, εὗρον

XSCVO

1 <ἐφαντάσαμεν καὶ εἴ τι ἐπράξαμεν> supplevi 1 ante ἐπράξαμεν verbum καὶ hab. XSCV 3 πασῶν XSC : ἅπασας V 4 κατασείσας SC : κατασίσας XV 5 Ταυρομενίται om. V 6 post Χάνθιππος verbum μόνος hab. V 7 προεβάλεσθε CV : -εσθαι XS 7 post ἰατρικῶν verbum πάντων hab. V 8 ἐπὶ om. V 9 ~~τῆς~~ τοῦ ἰνδίκτου om. V 9 ante ἀνὴρ verba τίς ἦν οὐκ οἶδα hab. V 10 ἰατρικὸν XCV : ἰατρικῶν S 11 στιχθὲν] застрѣканы Usp 11 τῷ om. S 11 ἰατρευόντι SV : ἰατρεύοντα XC 12 μου om. S 12 καὶ ~~εἶ~~ om. S 13 πρὸς τὸν ἄνδρα om. C 13 ἄνερ : πάτερ C 14 τὸ χρυσίον XS : τὸν χρυσὸν CV 14 - 15 καὶ εὐθέως ἄφαντος ἀπ' ἐμοῦ ἐγένετο] Аѳіе безъ вѣсти бысть ѿ мене Usp 15 ὑπαναγνοὺς XCV : ἀναγνοὺς S 15 τὸ βίβλιον XSC : ἐν τῷ βιβλίῳ V 15 εὗρον XCV : ἑώρουν S

ἄνδρας τέσσαρας, μίαν φωνὴν φθεγγομένους καὶ τὴν διήγησιν ἐμφέροντας εἰς Χριστὸν υἱὸν θεοῦ ἀληθινοῦ. ἔχει μοι, ἄνδρες, ὅτι τοῦτον ἦλθεν ὁ μακάριος οὗτος κηρύξαι ὑμῖν. καὶ τοῦτο δὲ λέγω ὑμῖν, μὴ ἀποκρύβων ἀφ' ὑμῶν· ἐνέγκαντός μου τὸ βιβλίον ἐν τῷ οἴκῳ μου, φῶς περιέλαμψεν ἐκεῖσε καὶ πάντες οἱ νοσοῦντες τῶν νοσημάτων αὐτῶν ἀπηλλάγησαν. πρὸ πάντων δέ, ἀπὸ ὥρας ἑνάτης τῆς ἕκτης ἡμέρας ἕως πρώτης ὥρας τοῦ τὸν ἥλιον εἰσδῦσαι, φῶς περιέλαμψεν ὅλον τὸν οἶκον, καὶ μέχρι τοῦ παρόντος φόβος πολὺς συνέχει ἡμᾶς καὶ δειλία." ἀκούσαντες οὖν οἱ ἄνδρες παρὰ Ξανθίππου ταῦτα, ἤθελον ὑποστρέψαι εἰς τὸν μακάριον γονυπεποῦντες. ὁ οὖν ἀπ' ἀρχῆς ἀνθρωποκτόνος διάβολος ἐτάραξεν τὰς καρδίας τῶν ἀνδρῶν· εἶχον γὰρ καὶ ἄλλην βουλὴν τοῦ ἀπελθεῖν εἰς οἶκον Ξανθίππου καὶ θεάσασθαι τὸ βιβλίον καὶ παρατεῖναι τὴν θυσίαν. πάραυτα οὖν ταραχθέντες, ἀνῆλθον ἐν τῷ Τετραϊππίῳ, καὶ ἐξέπεμψαν κήρυκας ἐν τῇ πόλει, καὶ συνῆλθεν ἄπειρον πλῆθος λαοῦ, καὶ ἠλάλαξαν φωνὴν ὡς σφόδρα ἀκουσθῆναι, καὶ

XS (5 περιέλαμψεν - 8 ἡμᾶς καὶ mutil.) CVO

1 τέσσαρας : τέσσαρεις V 1 μίαν φωνὴν XCV : μίᾳ φωνῇ S 2 ἐμφέροντας C : ἐμφέρων XV ἐμφαίρων S 2 εἰς XSC : Ἰησοῦν V 2 ἀληθινοῦ : ἀλιθεινὸν S 2 ἔχει μοι V : ἔχοιον XS : ἔχοιμι C 2 ante ἄνδρες verbum οἱ hab. X 2 ante ἄνδρες verbum οὖν hab. V 2 ὅτι om. XSC 3 οὗτος om. S 3 ὑμῖν (1) XS : ἡμῖν CV 3 post ὑμῖν (1) verba τὸν λόγον τοῦ θεοῦ hab. C 4 ἀποκρύβων XCV : ἀποκρύβην S 5 ante ἐκεῖσε verbum τὰ hab. V 6 ἀπηλλάγησαν] гонезнуше Usp 7 ἕως πρώτης ~~ἡμέρας~~ om. C 7 ὥρας S : ἡμέρας XV 8 ὅλον τὸν οἶκον XC : τὸν οἶκον ὅλον V 8 φόβος πολὺς συνέχει ἡμᾶς] Страхъ же великъ держитъ ны Usp 9 ἤθελον C : εἴθελον V ἦλθον XS 11 τῶν ἀνδρῶν XSV : αὐτῶν C 11 εἶχον XCV : ἦχον S 12 καὶ (1) om. C 12 ante οἶκον verbum τὸν hab. V 13 οὖν ταραχθέντες XCV : συνταραχθέντες S 13 ἀνῆλθον XC : -ων S -αν V

1 ὥρας

ἀνῆλθον ἐν τῷ πραιτωρίῳ, διακατέχοντες δάφνας καὶ μυρσίνας ἐν ταῖς χερσὶν αὐτῶν, καὶ συνέλαβον τὸν Βονιφάτιον καὶ ἐνέγκαντες παρέστησαν αὐτὸν τῷ Λύσσονι, ἐκδύσαντες τὴν στολὴν τοῦ ὑπατικοῦ περιβλήματος καὶ τῆς ἡγεμονίας, καὶ ἔδησαν τὰς χείρας αὐτοῦ, εὐφημοῦντες φωνὰς καὶ εὐχαριστοῦντες τῷ ἀκαθάρτῳ δαίμονι. περιεβλέπετο οὖν ὁ Βονιφάτιος δεξιὰ καὶ ἀριστερά, ὅπως ἴδῃ τὸν μακάριον, ὡσεὶ μόσχος τὴν δάμαλιν. ἔλεγεν δὲ ὁ Βονιφάτιος ἐν κλαυθμῷ πικροτάτῳ, "οἴμμοι τῶν ἐμῶν κακῶν, ποίῳ πικρῷ θανάτῳ παρεδόθην, ἐγὼ ὁ τάλας. οἴμμοι, εἰς ποῖον ἀφανῆ βυθὸν καταπίνομαι. ποῦ εἶ, πάτερ Παγκράτιε; ἐλθέ, πάτερ, ἐλθέ. σὺ εἴρηκας, "παραγενέσθαι ἔχω ἐν τῇ θυσίᾳ ὀλέσαι τὸν ἀναίσθητον Λύσσονα," καὶ ἰδού, οὐ παρεῖς, προέπεμψας δέ με εἰς τὸν πικρὸν θάνατον τοῦτον. ἴδῃ κύριος Ἰησοῦς Χριστὸς καὶ ἐλεησάτω με." ἦν δὲ ὁ Λύσσων ἔχων παμμεγέθη ὄφιν ὡς ἱμάτιον. ἀναστὰς οὖν ὁ μακάριος καὶ ἀποκείρας με, ἔδωκεν μοι τὸν κλῆρον τοῦ διακόνου καὶ λέγει πρός με, "δεῦρο, τέκνον,

XSCVO

1 διακατέχοντες XCV : κατέχοντες S 2 συνέλαβον τὸν XSV : συνέλαβοντο C 5 φωνὰς καὶ εὐχαριστοῦντες om. XSC, propter homoeoteleuton 6 ἴδῃ C : εἴδη XS ἴδει V 6 ὅπως S : ποῦ XCV, fort. recte 7 post μακάριον verbum Παγκράτιον hab. V 7 ὡσεὶ : καθ' ἃ S 7 δάμαλιν SV : δάμαλην XC 8 κλαυθμῷ : κλαθμῷ C 8 ante ποίῳ verbum οἴμμοι hab. V 8 πικρῷ om. C 9 παρεδόθην XV : παρεδώθην SC 9 τάλας C : μέλας XS μέλεος V 9 ἀφανῆ : ἀχανῆ V 9 καταπίνομαι XV : καταπείνωμαι S καθέλκομαι C 10 εἶ S : ἦς XC εἶς V 10 σὺ V : σοι XSC 10 post εἴρηκας verbum μοι hab. V 11 ὀλέσαι C : ὠλέσαι XSC 12 παρεῖς S : παρῆς XCV 12 ἴδῃ V : ἴδοι XC ἤδει S 13 ἐλεησάτω nos : ἐλεησαίτο X ἠλεήσατό S ἐλεησάτο CV 15 ἔδωκεν μοι τὸν κλῆρον τοῦ διακόνου] и wстригь ме дасть ми причестиѥ диꙗчьскоѥ Usp 15 τὸν om. S

ἀναλάβωμεν τὰ ὅπλα ἡμῶν, καὶ παραγενώμεθα εἰς τὴν θυσίαν Λύσσονος τῇ δυνάμει τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ὀλέσωμεν τὸν ἀκάθαρτον· μέλλει γὰρ καὶ Βονιφάτιον εἰς θυσίαν εἰσδέχεσθαι." ἀνέστη οὖν ὁ μακάριος καὶ ἐξήλθομεν καὶ ἦν κατέχων ἐν τῇ χειρὶ αὐτοῦ τὸν σταυρόν, καὶ ἐγὼ τὴν εἰκόνα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τοῦ μακαρίου Πέτρου. εἴχαμεν δὲ καὶ ἕνα τῶν ναυτῶν τῶν τὸ ἅγιον βάπτισμα λαβόντων ὑπὸ τοῦ μακαρίου Πέτρου τοῦ ἀποστόλου, ἔχοντα καὶ αὐτὸν τὰ ἱερὰ ἄμφια. ἤλθομεν δὲ ἐν τῷ τόπῳ, καὶ λαοῦ πλῆθος πολύ, καὶ Βονιφάτιος ἦν ἔμπροσθεν τοῦ Λύσσονος δεδεμένος χερσίν. ὁ οὖν μακάριος λαβών με, εἰσῆλθεν εἰς ἕνα ἀπόκρυφον τόπον καὶ ἐφόρεσεν τὴν ἱερὰν στολὴν καὶ ἐγένετο ὅλως ὡς εἶδος πυρός. οἱ δὲ λαοὶ ἐπεδίδουν τὰς ἀτησίους φωνὰς καὶ ἐξῆλθεν ὁ μακάριος εἰς μέσον κρατῶν με τῇ χειρί. ἀτενίσαντες δὲ εἰς αὐτὸν οἱ λαοί, ὕπτιοι ἔπεσον. ποιήσας οὖν τὴν ἐν Χριστῷ σφραγῖδα, προσήγγισεν ὅπου ἦν ὁ Βονιφάτιος δεδεμένος τὰς χεῖρας. ἰδὼν οὖν ὁ Βονιφάτιος τὸν μακάριον,

XS (9 *Βονιφάτιος* - 10 *εἰσῆλθεν* mutil.) CVO

1 *ἀναλάβωμεν* S : *-ομεν* XCV 1 *παραγενώμεθα* nos : *παραγενόμεθα* XSCV 1 - 2 *εἰς τὴν θυσίαν Λύσσονος* om. S 2 *ὀλέσωμεν* nos : *ὠλέσομεν* XC *ὠλέσωμεν* S *ὀλέσομεν* V 3 *τὸν ἀκάθαρτον* XSV : *αὐτόν* C 3 post *ἀκάθαρτον* verbum *Λύσσονα* hab. V 4 *καὶ ἐξήλθομεν* (*-ωμεν* S) *καὶ* XSC : *καὶ ἐξελθὼν* V 4 *αὐτοῦ* om. XC 5 post *Χριστοῦ* verba *καὶ τῆς παναγίας ἀχράντου δεσποίνης ἡμῶν θεοτόκου* hab. XSC, fort. recte 6 *εἴχαμεν* XCV : *ἤχαμεν* S 8 *ἤλθομεν* XC : *-ωμεν* S *-αμεν* V 8 *λαοῦ* C : *λαὸς* XSV 9 *πολύ* XSC : *πολύς* V 9 *δεδεμένος* : *δέδενος* C 10 *οὖν* XC : *δὲ* V 10 post *μακάριος* verbum *Παγκράτιος* hab. C 10 *εἰς* (*εἰς* om. S) *ἕνα* (*ἓν* C) *ἀπόκρυφον τόπον* XSC : *ἐν ἀποκρύφῳ τόπῳ* V 11 *καὶ ἐγένετο ὅλως ὡς εἶδος πυρός*] *и бысть весь аки видъ огненный* Usp 11 *ὅλως* S : *ὅλος* XCV 11 *εἶδος* : *φλόγα* C 12 *ἐπεδίδουν* S : *ἐπίδον* XC *ἐπεῖδον* V 12 *καὶ ἐξῆλθεν* S : *καὶ ἐξῆλθον* X *ἐξῆλθεν* C *ἐξῆλθεν δὲ* V 12 *εἰς μέσον* om. S 13 *ἔπεσον* XSC : *ἔπεσαν* V 14 *οὖν* XSC : *δὲ* V 15 *τὰς χεῖρας* XSC : *ταῖς χερσίν* V 15 - 174.1 *ἰδὼν οὖν - φωνῇ μεγάλῃ* : *ἰδὼν οὖν ὁ μακάριος Παγκράτιος τὸν Βονιφάτιον, ἔκραξεν φωνῇ μεγάλῃ, δόξα σοι Ἰησοῦ Χριστὲ ὁ θεὸς ἡμῶν ὁμοίως δὲ καὶ ὁ Βονιφάτιος* C

ἔκραξεν φωνῇ μεγάλῃ, "δόξα σοι, ὁ θεὸς τοῦ θεράποντός σου Παγκρατίου," καὶ εὐθέως διερράγησαν τὰ δεσμὰ αὐτομάτως ἀπὸ τῶν χειρῶν Βονιφατίου. ἀνέστη δὲ καὶ ὁ λαὸς ἐκ τοῦ ἐδάφους, καὶ πάντες ἠτένιζον εἰς τὸν μακάριον, καὶ σιγῆς πολλῆς γενομένης, ἤγγισεν τῷ ἀνδριάντι καὶ φησίν, "Λύσσων, μιαρὲ καὶ ἀκάθαρτε, τί πράττεις ἐνταῦθα; ποῖον δὲ κέρδος ἤγησαι τὸ τοῦ θεοῦ μου πλάσμα ἀπατῶν; εἰπέ, ἀκάθαρτε." ὁ δὲ δαίμων ταράξας μέγα εἶπεν, "δοῦλε τοῦ ἀληθινοῦ θεοῦ, ὡς ἀγνοῶν, ἐρωτᾷς με τί πράττω;" ὁ δὲ μακάριος πρὸς τὸν μιαρόν εἶπεν, "δαίμων, οὐκ ἀγνοῶ, ἀλλ' ἐπιτρέπω σοι, ἵνα ἐνώπιον τοῦ λαοῦ, οὗ ἀπατᾷς, εἴπῃς τὰς ἀκαίρους φαντασίας σου. ποίαν δὲ ζωὴν παρέχεις αὐτοῖς αἰώνιον;" ὁ δὲ δαίμων πρὸς τὸν μακάριον ἔλεγεν ἐνώπιον πάντων, "ἐγὼ ζωὴν ἄλλην οὐ παρέχω αὐτοῖς, εἰ μὴ τὴν μετ' ἐμοῦ ἀπόλαυσιν εἰς τὴν Γέενναν τοῦ πυρός." ὁ δὲ μακάριος πήξας τὴν ῥάβδον τοῦ σταυροῦ εἰς τὸ ἔδαφος, καὶ στήσας κἀμὲ εὐφυῶς διακατέχοντα τῇ χειρὶ τὴν εἰκόνα, ἔκλινεν τὰ γόνατα, καὶ πᾶς ὁ λαὸς

XSCVO

1 φωνῇ μεγάλῃ XSC : μέγα V 1 post μεγάλῃ verbum λέγων hab. S 2 καὶ εὐθέως om. V 2 post διερράγησαν verba οὖν εὐθέως hab. V 2 post δεσμὰ verbum αὐτοῦ hab. C 2 αὐτομάτως ~ Βονιφατίου om. C 2 ἀπὸ S : ἐκ XCV 4 ἤγγισεν XCV : ἤγγικεν S 5 πράττεις CV : πράττης X πράττις S 6 μου om. XC 7 ταράξας XCV : κράξας S 8 τί πράττω ante ἐρωτᾷς tr. XSC 9 τὸν μιαρὸν εἶπεν XS : τὸν δαίμονα εἶπεν C τὸν μιαρὸν δαίμονα V 9 δαίμων om. C 10 οὗ om. S 11 παρέχεις XCV : παρέχης S 11 ἔλεγεν om. V 12 post πάντων verbum ἔφη hab. V 12 παρέχω S παρέσχων XV παρῆχων C 15 διακατέχοντα XCV : κατέχωντα S 15 τὴν εἰκόνα V : τὰς εἰκόνας XSC, fort. recte

ἰδόντες αὐτὸν καὶ αὐτοὶ ἔκαμψαν τὰ γόνατα. ποιήσας οὖν εὐχὴν ὁ μακάριος ἀνέστη κατασφραγῴζόμενος τὸν λαὸν τῷ σημείῳ τοῦ σταυροῦ δακτυλοτυπῶν. τότε προσελθὼν τῷ ἀκαθάρτῳ δαίμονι ἔφη, "ὁρκίζω σε, μιαρὲ καὶ ἀκάθαρτε δαίμων, κατὰ τοῦ ὀνόματος τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, ἔξελθε καὶ ἀναχώρησον ἐκ τοῦ τόπου τούτου καὶ ἄπελθε σὺν τῷ Φάλκονι ἐν τῇ θάλασσῃ ἕως τῆς ἡτοιμασμένης μεγάλης ἡμέρας τῆς κρίσεως," καὶ εὐθέως ἐποίησεν τὸ ἀκάθαρτον πνεῦμα ἦχον ὡσεὶ ῥοίζου βιαίου ἀνέμου. φόβος δὲ ἔπεσεν ἐν τῷ λαῷ, ὡς ἤκουσαν τοῦ ἤχου. ὁ δὲ μακάριος Παγκράτιος πρὸς τὸν λαόν ἔφη, "μὴ φόβος ἐπιπέσῃ ἐφ' ὑμᾶς, τεκνία μου, ἐπεὶ ὁ ἀκάθαρτος δαίμων ἅμα πάσης τῆς ὀλεθρίας δυνάμεως αὐτοῦ ἀφαντοῦται." ἐξῆλθεν οὖν ὁ ἀκάθαρτος δαίμων καὶ ἀπῆλθεν ὅπου ὥρισται αὐτῷ. τὸ δὲ ἱμάτιον αὐτοῦ, ὁ ὄφις, ἔμεινεν ἐν τῷ λάκκῳ. λαβὼν οὖν ὁ μακάριος φορβαίαν, περιέθηκεν ἐπὶ τὸν τράχηλον αὐτοῦ καὶ λέγει, "ἔξελθε, ἱμάτιον τοῦ Σατανᾶ. σὲ ἐνδυσάμενος ὁ διάβολος τὸν ἐλεεινὸν ἡμῶν

XSCVO

2 *κατασφραγιζόμενος* C : *κατασφαλιζόμενος* XS *κατασφραγίσας* V 2 *τὸν λαὸν* XCV : *τῷ λαῷ* S 2 *τῷ σημείῳ* SCV : *τὸ σημεῖον* X, fort. recte 3 post *σταυροῦ* verbum *καὶ* hab. S 3 *τότε* XSC : *ὁ δὲ μακάριος* V 5 *ἀναχώρησον* XCV : *-ισον* S 6 *ἐκ* XCV : *ἀπὸ* S 7 *μεγάλης* post *ἡμέρας* tr. S 7 *τῆς κρίσεως* om. V 8 *βιαίου* post *ἀνέμου* tr. V 8 *ἦχον* XSV : *ἦχων* C 8 *ἔπεσεν* XSC : *ἐπέπεσεν* V 9 *ἐν* om. CV 9 *ἤκουσαν* XSC : *ἤκουσεν* V, fort. recte 9 *τοῦ ἤχου* nos : *τοῦ ἤχους* XCV *τὸ ἦχος* S 9 *Παγκράτιος* om. S 10 *ἐπιπέσῃ* XV : *ἐπιπέσει* SC 10 *ἀκάθαρτος* : *κάθαρτος* S 11 *ὀλεθρίας* XCV : *ὀλεθρίου* S 11 *αὐτοῦ* om. S 11 *ἀφαντοῦται* XSC : *ἀφνατώθη* V 12 *ἀκάθαρτος* : *κάθαρτος* S, corr. *ἀ-* supr. lin. 12 *ὥρισται* C : *ὅρισται* XSV 13 *αὐτοῦ ὁ ὄφις* CV : *τοῦ ὄφεως* (*-εος* S) XS 13 *λαβὼν οὖν* XCV : *καὶ λαβὼν* S 14 *φορβαίαν* : *ῥομφαίαν* S 14 *ἐπὶ τὸν τράχηλον* (*τράχειλον* C) SC : *ἐπὶ τοῦ τραχήλου* X *περὶ τὸν τράχηλον* V 14 *λέγει* SCV : *ἔλεγεν* X, corr. *λέγει* X^1 15 *διάβολος* : *Σατανὰς* C

προπάτορα ἐκ τῆς τοῦ παραδείσου τρυφῆς ἐξήνεγκεν, καὶ νῦν σὲ ἐνδυσάμενος ὁ Λύσσων, τὸ τοῦ θεοῦ μου πλάσμα ἠπάτησεν. ἔξελθε ἐν ὀνόματι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ." καὶ σπαράξαν τὸ θηρίον καὶ δοὺς συριγμὸν ἐν ἰσχύϊ, ἐφάνη ἡ γλῶσσα αὐτοῦ ὡσεὶ ἐσχάρα πυρός. ἀπῆλθεν οὖν καὶ διερράγη ἀπὸ ἄνω ἕως κάτω. ὡς οὖν ἑώρακεν τὸ πλῆθος τὸ σημεῖον, ὃ ἐποίησεν ὁ κύριος διὰ τοῦ θεράποντος αὐτοῦ Παγκρατίου, ἔκραξαν φωνῇ μεγάλῃ, "εὐλογητὸς ὁ θεὸς Παγκρατίου. μέγας ὁ θεὸς Παγκρατίου. πιστεύομεν τοῖς κηρυσσομένοις ὑπὸ σοῦ, μεγαλόψυχε Παγκράτιε. πιστεύομεν εἰς Χριστὸν Ἰησοῦν, ὃν ἡμῖν ἐπαγγέλλῃ." καὶ καταπηδήσαντα τὰ πλήθη, τὰς φιάλας συνέτριψαν, καὶ τὴν θυσίαν πᾶσαν, ἣν ἦσαν ἑτοιμάσαντες, ταύρους καὶ τράγους, τοῖς κυσὶν ἐνέβαλον. ὁ δὲ μακάριος Παγκράτιος προσκαλεσάμενος ἄνδρας εἶπεν πρὸς αὐτούς, "εἴπατε τοῖς νεανίσκοις, 'ἐπάραντες τὸ θηρίον, ῥίψατε εἰς τὴν θάλασσαν.'" καὶ πάραυτα συνελάβοντο τὸν ὄφιν οἱ παῖδες καὶ ἔσυραν ἕλκοντες κατὰ τῶν πετρῶν. ἐγυμνώθησαν δὲ τὰ

XSCVO

1 ἐξήνεγκεν S : ἐξένεγκεν XCV 2 μου om. X 4 συριγμὸν XS : συρισμὸν CV, fort. recte 5 ἀπὸ XSC : ἀπ' V 5 ἀπῆλθεν XSC : ἀνῆλθεν V, fort. recte 5 ἄνω XCV : ἄνωθεν S 6 ὁ om. XCV 8 μέγας ὁ θεὸς Παγκρατίου om. XS, propter homoeoteleuton 8 πιστεύομεν XCV : -ωμεν S 9 μεγαλόψυχε XSC : μέγα V 9 πιστεύομεν XCV : -ωμεν S 9 Χριστὸν Ἰησοῦν XC : τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν S Ἰησοῦν Χριστὸν V 9 ἡμῖν SCV : ὑμῖν X 10 ἐπαγγέλλῃ V : ἐπαγγέλλει XSC 10 καταπηδήσαντα : καταδήσαντα X 10 post πλήθῃ verba τοῦ λαοῦ hab. S 10 φιάλας nos : φιάλεις XV φυάλας S φυάλεις C 11 post τράγους verbum κατασφάξαντες hab. V 12 ἐνέβαλον XCV : ἐνέβαλλον S 13 ἄνδρας om. S 14 συνελάβοντο XSC : συνέλαβον V, fort. recte 14 τὸν ὄφιν post παῖδες tr. C 15 ἔσυραν XSC : ἔσυρον V

ὀστᾶ τοῦ ὄφεως, συρομένου αὐτοῦ, καὶ ἐθεάσαντο οἱ παῖδες τὸ μέγεθος τῶν ὀστέων τῆς ῥάχης τοῦ ὄφεως, καὶ ἐκκόψαντες ὀστοῦν ἕνα, καὶ λαβόντες σταθμὸν ἔστησαν καὶ ἔβαλεν τὸ ὀστοῦν λίτρας ἑξήκοντα. ἀνῆλθον οὖν ἐν τῇ πόλει, καὶ εἰσελθόντες ἔστησαν ἐνώπιον τοῦ μακαρίου Παγκρατίου, ὡσεὶ ποίμνιον προβάτων καὶ πάντες ἠτένιζον εἰς αὐτόν. ἀναστὰς οὖν ὁ μακάριος, ἔστη ἐν ἐπισήμῳ τόπῳ καὶ προσκαλεσάμενος τὸν λαόν, ἐποίησεν εὐχὴν ὑπὲρ τοῦ λαοῦ παντός, καὶ ἔδωκεν ἅπασι τὴν ἐν Χριστῷ σφραγῖδα, καὶ λαβόντες τὸν ἀρραβῶνα τοῦ ἁγίου πνεύματος, ἐξῆλθον οἳ ποτὲ ἱερεῖς τῶν εἰδώλων, νῦν δὲ δοῦλοι Χριστοῦ Ἰησοῦ τοῦ κυρίου ἡμῶν, καὶ εἰσελθόντες εἷς ἕκαστος ἐν τοῖς ἰδίοις ναοῖς, ἐνέπτυον τοὺς ἀκαθάρτους δαίμονας, ἐμπλησθέντες τοῦ ἁγίου πνεύματος δι' ἐπιθέσεως τῶν χειρῶν τοῦ μακαρίου Παγκρατίου, καὶ συνέτριψαν τὰς στήλας αὐτῶν, ἃς ποτὲ προσεκύνουν φόβῳ, καὶ κατεπάτησαν ὑπὸ τοὺς πόδας αὐτῶν. ἀκούσας δὲ ὁ Αὐρηλιανὸς ὁ πολιτάρχης, ὃς ἦν τῇ θεηλάτῳ ὀργῇ κατακεντηθείς,

XS (3 ἔστησαν - 4 πόλει mutil.) CVO

3 σταθμὸν XS : στάθμην CV 3 τὸ ὀστοῦν om. V 5 ante ὡσεὶ verbum καὶ hab. V 5 καὶ om. V 6 εἰς αὐτόν XSC : αὐτῷ V 7 παντός om. V 10 Χριστοῦ post Ἰησοῦ tr. V 10 καὶ om. V 11 ἐμπλησθέντες om. C 12 post πνεύματος verba δι' ἐπιθέσεως τῶν χειρῶν τοῦ μακαρίου Παγκρατίου tr. C 12 τοῦ μακαρίου om. V 13 αὐτῶν om. V 14 κατεπάτησαν nos. : κατεπατοῦσαν XSCV 14 ὁ (✗) om. S 15 ὃς V : ὡς XSC

ἡμίπνους ἐξέψυξεν καὶ ὤλετο ὡς οὐθέν. ὁ δὲ μακάριος Παγκράτιος προσκαλεσάμενος Λυκαονίδην καὶ Βονιφάτιον λέγει αὐτοῖς, "τεκνία μου ἐν Χριστῷ, ἡ καρδία τοῦ θεοσώστου λαοῦ τούτου ἄγαν ἤνοικται τοῦ ποθῆσαι τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν. ποιήσωμεν τοὺς πρώτους τῆς πόλεως αὔριον ἐσθίειν σὺν ἡμῖν, καὶ ἐὰν ἀκούσωσι τῶν ἀχράντων τοῦ θεοῦ εὐαγγελίων, πλειοτέρως ἡμῖν πειθῶσι. τέως ἔλθωσι τῷ πρωΐ." ἀναβὰς οὖν ὁ κῆρυξ καὶ φωνήσας, συνῆλθεν πλῆθος λαοῦ μικροῦ τε καὶ μεγάλου, ὡσεὶ χιλιάδες ἑκατὸν ἢ καὶ πλείους, καὶ ἀνελθὼν ἐφ' ὑψηλοῦ τόπου καὶ ἀνοίξας τὸ πανίερον αὐτοῦ στόμα ὁ μακάριος, καὶ κινήσας τὴν πνευματικὴν γλῶσσαν, εὐηγγελήσατο τῷ λαῷ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν. ἅπαν δὲ τὸ πλῆθος ὡς ἐξ ἑνὸς στόματος ἔφησεν πρὸς τὸν μακάριον, "ἅγιε Παγκράτιε, πιστεύομεν τοῖς λεγομένοις ὑπὸ σοῦ καὶ πειθόμεθα τῇ διδαχῇ σοῦ. βδελυσσόμεθα τὰ ἀκάθαρτα εἴδωλα καὶ πιστεύομεν εἰς Ἰησοῦν Χριστόν τὸν ἀληθινὸν θεὸν ἡμῶν." ὁ δὲ μακάριος προσκαλεσάμενος τὸν Βονιφάτιον καὶ

XSCVO

1 ὤλετο XCV : ὅλετο S 3 θεοσώστου nos : θεοσόστου XCV θεωσότου S 3 τούτου om. V 4 ποιήσωμεν XSV : -σομεν C 5 ἡμῖν C : ἐμοί XSV, fort. recte 5 ἐὰν XSV : ἵνα C 6 πλειοτέρως : πλειότερον V 7 τῷ πρωΐ S : τὸ πάρον XCV 8 ἢ V : εἰ XSC 9 τόπου om. V 9 αὐτοῦ om. V 10 post μακάριος verbum Παγκράτιος hab. C 10 εὐηγγελήσατο XCV : εὐηγγελίσατο S 10 - 11 τῷ λαῷ om. S 11 τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν XSC : τοῦ Χριστοῦ V 12 ἔφησεν V : ἔφησαν XSC, fort. recte 12 post μακάριον verbum Παγκράτιον hab. S 13 καὶ om. XSC 13 πειθόμεθα V : πειθώμεθα XS πηθόμεθα C 13 διδαχῇ : δαχῇ S 13 βδελυσσόμεθα X : βδελυσσώμεθα S βδελλυσσόμεθα C βδελυσόμεθα V 14 πιστεύομεν XCV : -ωμεν S 14 - 15 εἰς Ἰησοῦν Χριστὸν τὸν ἀληθινὸν θεὸν ἡμῶν XC : εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν S Ἰησοῦ Χριστῷ τῷ ἀληθινῷ θεῷ V 15 τὸν om. V

Λυκαονίδην ἔφη, "ἔστω λοιπόν, τεκνία μου, ἡ ἑτοιμασία, καὶ μὴ γενέσθω τι, ἀλλ' ἀρξώμεθα βαπτίζειν." προσκαλεσάμενος δὲ καὶ τοὺς ναυτικούς, οὓς ἦν βαπτίσας ὁ μακάριος ἀπόστολος Πέτρος, φησὶν πρὸς αὐτούς, "τεκνία μου ἐν Χριστῷ, ἑτοιμάσατε ἄμφια καινά, ἵνα δέξησθε ὑμεῖς ὡς Χριστιανοὶ τοὺς μέλλοντας τὴν δι' ὕδατος καὶ πνεύματος χάριν λαμβάνειν." ἀπῆλθον οὖν πάραυτα εἷς ἕκαστος, καὶ ἤνεγκαν τὰ ἄμφια. ὁ οὖν μακάριος στὰς πάλιν ἐν ἐπισήμῳ τόπῳ, ἐπῆρεν τὴν φωνὴν αὐτοῦ πρὸς τὸν λαόν. οἱ δὲ προσεῖχον τῷ μακαρίῳ ὡς ἀληθῶς λογικὰ πρόβατα καλῷ ποιμένι. οὕτως λοιπὸν πρὸς αὐτούς, "ἑτοιμάσατε καὶ ἁγνίσατε ἑαυτοὺς ἡμέρας τρεῖς, ἵνα λάβητε τὴν χάριν τοῦ ἁγίου πνεύματος," καὶ ἐπευξάμενος αὐτοῖς ὁ μακάριος ἀπέλυσεν αὐτοὺς ἐν τοῖς ἰδίοις οἴκοις. ἀπέλυσεν δὲ καὶ τοὺς ἄνδρας, οὓς ἦν βαπτίσας ὁ μακάριος Πέτρος ὁ ἀπόστολος, ὡς ἤδη πεῖραν ἔχοντας τοῦ ἐνορδινεῦσαι αὐτούς, καὶ ἀπῆλθεν ἅπαν τὸ πλῆθος. ἀπήλθομεν δὲ καὶ ἡμεῖς εἰς τὸ εὐκτήριον, καὶ ἐλθούσης τῆς ἐνάτης ὥρας ὑμνήσαμεν, ὅ τε

XS (15 *εἰς τὸ - ἐλθούσης* mutil.) CVO

1 *τεκνία μου* om. S 2 *ἀρξώμεθα* XS : *-όμεθα* CV 3 *ἀπόστολος* om. C 3 - 4 *πρὸς αὐτούς* om. S 4 *καινά* XV : *κενὰ* S *καὶ* (sic) C 4 *δέξησθε* : *δέξησθαι* X *δέξεισθαι* S *δέξασθε* V 6 *ἀπῆλθον* X : *-ων* S *-αν* CV 6 *ἤνεγκαν* XSC : *ἠνέγκασιν* V 7 post *μακάριος* verbum *Παγκράτιος* hab. C 8 *προσεῖχον* XV : *προσῆχον* SC 9 ante *καλῷ* verbum *τῷ* hab. V 9 post *αὐτούς* verbum *ἔφη* hab. V 9 *ἑτοιμάσατε* S *ἑτοιμάσθηται* X *ἑτοιμάσθητε* CV 10 *ἁγνίσατε* X : *ἁγνείσατε* S *ἁγνήσατε* CV 10 *ἑαυτοὺς* XS : *αὐτοὺς* CV 10 *τρεῖς* ante *ἡμέρας* tr. S 10 *λάβητε* C : *-ειτε* S *-ηται* X *-ετε* V 10 *τὴν χάριν* om. S 12 - 13 *οὓς - ἀπόστολος* om. XSC 13 *ἤδη* nos : *εἴδη* XSC *ἤδει* V 13 *ἔχοντας* XSC : *ἔχοντες* V 14 *ἀπήλθομεν* nos : *-αμεν* XCV *-ωμεν* S 15 - 180.1 *ὅ τε - Παγκράτιος* om. XSC, fort. recte 15 *ὑμνήσαμεν* XCV : *-σωμεν* S

ἐγὼ καὶ ὁ μακάριος Παγκράτιος, καὶ ἐλάβομεν μικρᾶς τροφῆς καὶ ἡσυχάσαμεν ἐν τῷ εὐκτηρίῳ. οἱ δὲ ἀκάθαρτοι δαίμονες οὐκ ἐπαύσαντο παρενοχλοῦντες καὶ παρεδρεύοντες τῇ πόλει. ἐκάθευδεν δὲ ὁ μακάριος πεπληρωκὼς τὸν ἑσπερινὸν ὕμνον ἐν τῷ πυλῶνι, καὶ λαβὼν τὸν προφήτην Ἡσαΐαν ἀνεγίνωσκεν. οἱ οὖν δαίμονες ἐποίησαν συστροφήν, καὶ ἦλθον κατακτυποῦντες. ἦσαν δὲ ὡσεὶ κοράκων εἶδος ἔχοντες, ἵνα , φησίν, τὸν μακάριον ἐκφοβήσωσιν. ἀναστὰς οὖν ὁ μακάριος καὶ ἀποθέμενος τὸ βιβλίον καὶ ποιήσας τὴν ἐν Χριστῷ σφραγῖδα, λέγει τοῖς ἀκαθάρτοις δαίμοσιν, "ὁρκίζω ὑμᾶς τοὺς ὑψουμένους δαίμονας ἐν τῷ ἀέρι κατὰ τοῦ ὀνόματος Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν, πεσάτω ἡ ἄκαιρος ὑμῶν φαντασία ἐν τῷ ἐδάφει." καὶ εὐθέως σὺν τῷ λόγῳ Παγκρατίου ἔπεσαν καὶ ἐφάνησαν ὡσεὶ ἀγέλη χοίρων. ὁ οὖν μακάριος ἐπάρας τὸν σταυρὸν τῇ βακτηρίᾳ αὐτοῦ ἐμάστιζεν καὶ ἐνέγκας αὐτοὺς ἐν σπηλαίῳ, ἔβαλεν αὐτοὺς ἐκεῖσε, καὶ κελεύσας με ἐπεγεῖραι λίθους σὺν χοΐ, εἰρηκώς μοι, "βλέπε, τέκνον, οἱ ἀκάθαρτοι δαίμονες ἐν τῷ

XS (14 ἐπεγεῖραι - 15 εἰρηκώς mutil.) CVO

1 ἐλάβομεν XC : ἐλάβωμεν S λαβόντες V 1 καὶ (3) om. V 2 ἐπαύσαντο XSC : ἐπαύοντο V, fort. recte 3 ante τῇ πόλει verbum ἐν hab. S 3 δὲ XC : οὖν V, om. S 4 ἑσπερινὸν : αἰωθινὸν S 5 Ἡσαΐαν XSV : Ἰσαΐαν C 6 ὡσεὶ κοράκων εἶδος ἔχοντες] *аки врановъ видъ имуще* Usp 7 φησίν om. V 7 καὶ om. XSC 9 ὑψουμένους XSC : ὑψομένους V 10 πεσάτω XSV : -άτο C 11 ὑμῶν : ἡμῶν S 12 Παγκρατίου : Παγκρατίῳ S 12 ἔπεσαν SV : ἔπεσον X ἔπεσων, corr. -ον C 13 αὐτοῦ SCV : αὐτοὺς X, fort. recte 14 post σπηλαίῳ verbum τινι hab. V 14 ἔβαλεν XSC : ἐνέβαλεν V 14 κελεύσας C : καλέσας XSV 14 ἐπεγεῖραι C : ἐπεγεῖρε XS ἐπήγ[illegible] V

τόπῳ τούτῳ κατακρύπτονται," καὶ ἐποίησεν εὐχὴν καὶ τὴν ἐν Χριστῷ σφραγῖδα ἐν τῷ σπηλαίῳ, καὶ ἄρας τὴν φωνὴν αὐτοῦ, ὥρκισεν τοὺς ἀκαθάρτους δαίμονας μὴ ἐξελθεῖν ἐκ τοῦ σπηλαίου ἕως τῆς ἡτοιμασμένης ἡμέρας τῆς κολάσεως αὐτῶν, καὶ φησίν, "ὁρκίζω ὑμᾶς, πνεύματα ἀκάθαρτα, κατὰ τοῦ ὀνόματος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τοῦ ἀνάρχου πατρὸς αὐτοῦ καὶ τοῦ ζωοποιοῦ καὶ προσκυνητοῦ πνεύματος, μὴ ἐξέλθητε ἐκ τοῦ σπηλαίου τούτου ἕως τῆς ἡτοιμασμένης ὑμῖν ἡμέρας τῆς αἰωνίου κολάσεως μετὰ τοῦ πατρὸς ὑμῶν τοῦ διαβόλου." καὶ ταῦτα εἰπών, ἦλθεν ὁ μακάριος ἐν τῷ εὐκτηρίῳ. ἦσαν δὲ πλήθη πολλὰ Ἰουδαίων τε καὶ Μοντανῶν ἐν τῇ πόλει, καὶ αὐτοὶ εἰδωλολάτραι, οἵτινες οὐκ ἤκουσαν τοῦ κηρύγματος Παγκρατίου, ἀλλὰ προσέφερον τοῖς εἰδώλοις θυσίας· μόνον γὰρ οἱ Ἕλληνες ἦσαν συνθέμενοι. λέγει οὖν ὁ μακάριος πρός με, "τέκνον Εὐάγριε, ἔνεγκέ μοι τὸ σκεῦος τῆς εὐωδίας καὶ τὸν τίμιον σταυρὸν καὶ τὴν εἰκόνα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τοῦ μακαρίου Πέτρου,

XSCVO

1 τούτῳ SCV : τοῦτο X 1 κατακρύπτονται XCV : κατακρύπτοντες S 2 ὥρκισεν V : ὅρκισεν XC ὥρκησε S 3 ἐκ τοῦ σπηλαίου : ἐν τῷ σπηλαίῳ S 4 κολάσεως XSV : κρίσεως C 5 ἀκάθαρτα ante πνεύματα tr. V 6 ἀνάρχου om. XSC 7 post προσκυνητοῦ verbum αὐτοῦ hab. S 7 ἐξέλθητε nos : ἐξέλθηται X ἐξελθεῖν S ἐξέλθετε CV, fort. recte 7 ἐκ τοῦ σπηλαίου τούτου : ἐν τῷ σπηλαίῳ τούτῳ S 9 καὶ ταῦτα εἰπών V : καὶ ἀναστὰς XSC 9 ἦλθεν XSC (post μακάριος tr. C) : ἐπανῆλθεν V 10 τε om. CV 12 θυσίας XSC : θυσίαν V 14 τίμιον om. XSC 14 - 15 καὶ τὴν εἰκόνα - Πέτρου V : καὶ τὰς εἰκόνας XSC

καὶ λάβε τὸ κατασφάλιον τῆς ἐκκλησίας, καὶ ἀπέλθωμεν <καὶ> ποιήσωμεν εὐχὰς ἐν τῇ πόλει, ἐπεὶ Μοντανικὴ θυσία προσφέρεται, καὶ ἡ ὄσφρησις αὐτῆς ἐν τοῖς ῥισίν μου ἤγγικεν." ἐπήραμεν οὖν καὶ ἀπήλθομεν, καὶ σταθεὶς ὁ μακάριος ἐποίησεν εὐχὴν ἔν τε τῇ ἀνατολῇ καὶ τῇ δύσει, ἄρκτῳ τε καὶ μεσημβρίᾳ, λέγων, "ὁ κύριος μεθ' ὑμῶν," καὶ τὰς λοιπὰς εὐχάς. τοῦτο δὲ ἐπὶ πολλοὺς χρόνους πεποίηκεν. εὐθέως οὖν ἀκούσαντα τὰ Μοντανικὰ πνεύματα ἔφυγον, καὶ τὰ εἴδωλα συνέπεσον. ἤλθομεν οὖν εἰς τὸ εὐκτήριον. ὥρα δὲ ἦν ὡσεὶ ὀγδόη τῆς νυκτός, καὶ εἰσελθόντες ἐπετελέσαμεν τὸν ἑωθινὸν κανόνα. ὅτε οὖν ἔπαυσεν, συνῆλθεν πλῆθος λαοῦ πολύ, ἕκαστος τὰ ἄμφια ἑαυτοῦ βαστάζων καὶ πᾶσαν τὴν πρέπουσαν ἀκολουθίαν. ἀναστὰς οὖν ὁ μακάριος ἐξῆλθεν καὶ προσυπάντησεν αὐτοῖς, καὶ ἰδόντες αὐτόν, ἔπεσον ἐπὶ πρόσωπον, καὶ προσεκύνησαν αὐτόν. κατηχήσας οὖν τὸν συνελθόντα λαόν, ἐβάπτισεν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ χιλιάδας εἴκοσι τέσσαρας, καὶ οὕτως λοιπὸν ποιήσας καὶ τὸν θεῖον ὕμνον, μετέδωκεν

XSCVO

1 ἀπέλθωμεν XSC : -ομεν V 1 <καὶ> supplevi 2 ποιήσωμεν XS : ποιήσομεν C ποιῆσαι V 2 προσφέρεται XCV : -ετε S 3 ὄσφρησις V : ὄσφρα XSC 3 ῥισίν nos : ῥησίν XSV ὠσίν C 3 μου : μὲν S 3 ἤγγικεν V : ἤγγικεν X, corr. -σεν X^2 ἤγγισεν SC 4 ἀπήλθομεν XC : -ωμεν S -αμεν V 4 τε om. S 5 τῇ om. CV 5 ante ἄρκτῳ verbum καὶ hab. V 5 τε om. V 5 ὑμῶν : ἡμῶν V 7 ἀκούσαντα τὰ SC : ἀκούσαν τὰ XV 8 συνέπεσον XSC : συνέπεσαν V 8 οὖν XCV : δὲ καὶ ἡμεῖς S 8 εἰς τὸ εὐκτήριον om. V 8 δὲ om. V 9 post εἰσελθόντες verba ἐν τῷ εὐκτηρίῳ hab. V 9 κανόνα : ὕμνον V 10 ἔπαυσεν emendavi : ἔφαυσεν XSCV 10 πολύ XS : πολλοῦ V, om. C 10 ἑαυτοῦ V : αὐτοῦ XSC 11 ἀναστὰς XSC : στὰς V 12 καὶ (1) om. V 13 ἔπεσον XC : ἔπεσαν SV 13 αὐτόν XSC : αὐτῷ V 13 κατηχήσας] *огласилъ* Usp 15 post τέσσαρας verba τὸν ἀριθμόν hab. V 15 τέσσαρας : τέσσαρεις S 15 καὶ (2) om. C

αὐτοῖς τῶν ἀχράντων μυστηρίων. πολλοὶ οὖν τοῦ ὄχλου ἔλεγον ὅτι, "ἑωράκαμεν περιστερὰν ἐκ τῶν οὐρανῶν καταβάσαν καὶ ταράξασαν τὸ ὕδωρ τῆς κολυμβήθρας, καὶ πάλιν ἀνῆλθεν, βλεπόντων ἡμῶν." ἐγένετο οὖν χαρὰ ἀνεκλάλητος θείας χάριτος ἐν τῇ πόλει. οὗτοι οὖν πάντες προσεκαρτέρησαν τῷ μακαρίῳ ἡμέρας ὀκτώ, φοροῦντες τὰ τῆς ἀναγεννήσεως ἄμφια, καὶ ὁ μακάριος ἐπετέλει τὴν θείαν λειτουργίαν καὶ μετέδιδεν αὐτοῖς τοῦ σώματος καὶ αἵματος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῇ ὀγδόῃ ἡμέρᾳ ἀπέλυσεν ἅπαντας ἐν τοῖς ἰδίοις οἴκοις, καὶ οὕτως λοιπὸν ἐβάπτισεν ἅπαντας τοὺς ἐν τῇ πόλει. συνήρχοντο δὲ πλήθη πολλὰ ἐκ τοῦ Ἑτναίου ὄρους τῶν περὶ Βονιφατίου ἐπαρχιῶν, ὡς ἤκουσαν ὅτι ἡ θεῖα χάρις ἐπεσκίασεν ἐπ' αὐτούς, καὶ ἐβαπτίζοντο ἅπαντες διὰ χειρὸς Παγκρατίου, πολλάς τε νόσους ἐθεράπευσεν ὁ μακάριος τῇ χάριτι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τῶν προσιόντων, τυφλῶν, χωλῶν, ξηρῶν, παραλύτων, ὑδερ ιόντων, καὶ δαιμονιώντας ἀπήλασεν ἐκ τῆς ὀδύνης τῶν ἀκαθάρτων δαιμόνων. ὁ οὖν Βονιφάτιος

XSCVO

1 ante τοῦ verbum ἐκ hab. V 1 πολλοὶ : πολὺ X

4 ἐγένετο οὖν χαρὰ] *бысть радость* Usp 4 οὗτοι XSV : οὕτως C 5 προσεκαρτέρησαν : καρτέρησαν C 6 ἐπετέλει SCV : ἐπετέλη X 7 μετέδιδεν XSC : μεταδίδει V 8 ἐν τοῖς ἰδίοις - ἅπαντας om. V, propter homoeoteleuton 8 οἴκοις : οἴκεις X 10 Ἑτναίου] ιεισκыιε Usp 11 ἐπεσκίασεν XCV : ἦν S 11 ἐπ' αὐτούς XSC : αὐτοῖς V 13 προσιόντων CV : προιώντων XS ~~14 ὑδεριόντων nos : ὑδροπιόντων XSCV~~ 14 δαιμονιώντας S : διαμονιόντας XV διαμονιόντων τὰς C 15 ἀπήλασεν XSV : ἀπηλᾶς C, fort. ἀπήλλασσεν vel ἀπήλλαξεν emendandum

προσελθὼν τῷ μακαρίῳ ἔφη, "δέομαι τῇ σῇ ἁγιωσύνῃ, πάτερ, διὰ τί μοι οὐ δέδωκας τὴν δι' ὕδατος καὶ πνεύματος ἀναγέννησιν, ὡς ἅπασι, μάλιστα καὶ ἄρχοντί μοι ὄντι;" ὁ δὲ μακάριος πρὸς Βονιφάτιον, "τέκνον Βονιφάτιε, μὴ ᾖς προπετὴς καὶ ἐν δισταγμῷ, καὶ πάλιν λέγω σοι περὶ τούτου." καὶ στραφεὶς ὁ μακάριος, λέγει πρός με μυστικῶς, "τέκνον Εὐάγριε, λέγω σοι, οὐ μὴ Βονιφατίῳ διὰ χειρός μου δοθῇ τὸ ἅγιον βάπτισμα, ἀλλ' ἐκ τοῦ μέλλοντος μετ' ἐμὲ ἐγχειρίζεσθαι τὴν ἐπισκοπὴν ταύτης τῆς πόλεως." οἱ οὖν ἄνδρες παρέβαλλον τῷ μακαρίῳ καὶ ἐδιδάσκοντο παρ' αὐτοῦ. ὁ δὲ Βονιφάτιος πρὸς τὸν μακάριον, "πάτερ, ἀναβῶμεν ἐν τῷ πραιτωρίῳ." καὶ ἀνῆλθον ἀμφότεροι εἰς τὸ πραιτώριον. εἰσενέγκας οὖν ὁ Βονιφάτιος τὸν μακάριον εἰς οἰκίσκον, καὶ ἐξενέγκας πάντας τοὺς θησαυροὺς τῆς ἡγεμονίας, χρυσίον ἀνείκαστον, ὡς γὰρ ἐπὶ ἄλωνος σιτικῆς, ἢ καὶ ἀποθηκῶν κριθῆς, οὕτως ἦσαν πεπλησμένα τὰ † βιστορικὰ τοῦ χρυσίου· ἐμφέρεται γὰρ ἐν τοῖς ἱστορικοῖς, ὅτι αὕτη ἡ Μενία,

XSCVO

2 οὐ δέδωκας XSC : οὐκ ἔδωκας V 2 ἅπασι XSV : πάσιν C 3 μάλιστα καὶ ἄρχοντί μοι ὄντι : μᾶλλον ὡς ἄρχον ὄντα με S 3 μοι XS : μου CV 4 ᾖς XCV : ἔσει S 5 post σοι verba σὺ γνώμη σοι hab. V 6 δόθῃ V : δώθη XSC 7 ἅγιον om. V 8 ταύτης τῆς πόλεως V : ταύτην XSC, fort. recte 8 παρέβαλλον X : παρέβαλον SCV 8 τῷ S : τὸ XCV 10 ἀναβῶμεν S : ἀναβόμεν XV ἀναβῶμεν, corr. -ομεν C 10 ἀνῆλθον XV : -αν SC 11 ante ἀμφότεροι verbum οἱ hab. C 11 τὸ πραιτώριον : οἶκον τοῦ πραιτωρίου V 11 Βονιφάτιος : μακάριος S 11 - 12 τὸν μακάριον post εἰς οἰκίσκον tr. V 12 μακάριον XCV : ἅγιον Παγκράτιον S 12 πάντας om. CV 13 χρυσίον XSC : χρύσον V 13 γὰρ om. S 13 - 14 ἢ καὶ ἀποθήκων κριθῆς, οὕτως ἦσαν πεπλησμένα τὰ βιστορικὰ V οὕτως ἔγεμον (αἴγεμον S) αἱ ἀποθήκαι αὐτοῦ πεπλησμέναι (πεπλισμέναι X) XSC 15 post ὅτι verbum ἦν hab. CV

Μακεδόνισσα ἐκ γένους Ἀλεξάνδρου τοῦ βασιλέως τῶν Μακεδόνων, ἥτις ἁπάσης μεταλλικῆς τέχνης ἔμπειρος ἦν, καὶ τὰ μαζικὰ στίλβουσα, ἀόκνως τὴν πόλιν αὐτῆς ἔπλησεν χρυσίου καὶ ἀργυρίου, ὡς μὴ εὑρίσκεσθαι ἐν τῇ πόλει ἐν ἐνδείᾳ τινά. πολλοὶ δὲ τῶν πέριξ ἐπαρχιῶν χάριν πλούτου ἤρχοντο καὶ ἐνεπιμπλοῦντο. ἀλλ' εἰ δοκεῖ, ἐπὶ τὸν προκείμενον ἐπανέλθωμεν λόγον, καὶ μετ' ὀλίγον μνείαν ποιησόμεθα τῶν τῆς πόλεως γενεσίων. εἶτα φησὶν ὁ Βονιφάτιος πρὸς τὸν μακάριον, "τί ποιήσωμεν, πάτερ, ταῦτα πάντα;" ὁ δὲ μακάριος πρὸς αὐτόν, "τέκνον, δὸς αὐτὰ πτωχοῖς." ὁ δὲ Βονιφάτιος, "πάτερ, ἐν τῇ πόλει ἡμῶν ἐν ἐνδείᾳ τις οὐχ εὑρίσκεται, ἀλλ' ὡς σίδηρος καὶ χαλκός, οὕτως ἐστὶν ἐν αὐτοῖς χρυσὸς καὶ ἄργυρος." ὁ οὖν μακάριος ὑπομειδιάσας τῷ τιμίῳ προσώπῳ ἔφη, "καὶ λοιπόν, τέκνον, ἔστω τὰ τῆς ἡγεμονίας εἰς τὴν ἡγεμονίαν καὶ τὰ τοῦ πραιτωρίου εἰς τὸ πραιτώριον." ἐξήλθομεν οὖν καὶ ἤλθομεν εἰς τὸ εὐκτήριον. συνῆλθεν οὖν καὶ πλῆθος λαοῦ ἀναρίθμητον, καὶ ἀναστὰς ὁ μακάριος, διελέγετο

XSCVO

12 - 14 cf. Mt. 2:21

1 *ἐκ γένους - Μακεδόνων* om. XS 2 ante *μεταλλικῆς* verbum *τῆς* hab. V 2 *τὰ* om. C 4 *πόλει ἐν* om. S, propter homoeoteleuton 4 *ἐν* om. CV 4 *τινα* post *εὑρίσκεσθαί* tr. V 4 *πολλοὶ* : *πολὺ* X 4 post *πέριξ* verbum *πόλεων* hab. C 5 *ἐνεπιμπλοῦντο* X : *ἐμπιπλοῦντω* S *ἐνεμπιπλῶντο* C *ἐμπιπλοῦντο* V 6 *ἐπανέλθωμεν* XS : *-ομεν* CV 6 *μνείαν* om. XS 7 *ποιησόμεθα* V : *ποιούμεθα* XSC 7 *γενεσίων* XSC : *γενεθλίων* V 8 *ποιήσωμεν* XSV : *-ομεν* C 8 *πάτερ* om. C 9 *δὸς* CV : *δῶς* XS 10 *ἡμῶν* XSC : *τῆς Ταυρομενίας* V 10 *ἐν* om. C 11 *χαλκός* CV : *χαλκοῦς* XS 11 *οὕτως* CV : *οὗτος* XS 13 *τὴν* om. V 14 *ἐξῆλθομεν* XV : *-ωμεν* S *-αμεν* V 14 *ἤλθομεν* XC : *-ωμεν* S *-αμεν* V 15 *οὖν καὶ* om. S 15 *οὖν* XV : *δὲ* C 15 post *πλῆθος* verbum *πολὺ* hab. V 15 *ἀναρίθμητον* om. V 15 *καὶ ἀναστὰς* XSC : *ἀναστὰς οὖν* V

αὐτοῖς ἀπὸ τῶν θείων γραφῶν, καὶ πάντες οἱ ἄνθρωποι ἠτένιζον εἰς τὸ πρόσωπον αὐτοῦ, οἳ καὶ ἔλεγον γλῶσσαν πυρίνην βλέπειν ἐν τῷ στόματι αὐτοῦ. ὁ οὖν προρρηθεὶς Ξάνθιππος ὁ φιλόσοφος, ὁ ἔχων τὸ εὐαγγέλιον, προσῆλθεν τῷ μακαρίῳ καί, φησίν, τὴν αἰτίαν εἰρηκώς, παρήνεγκεν τὸ βιβλίον. δεξάμενος οὖν ὁ μακάριος, ἀνέγνω εἰς αὐτὸ ἐν τοῖς ὠσὶ τοῦ λαοῦ. οἱ δὲ ἀσμένως ἐδέξαντο τὸν λόγον τοῦ θεοῦ. ποιήσας οὖν εὐχὴν ὁ μακάριος, μετέδωκεν ἅπασι τῶν ἀχράντων καὶ ζωοποιῶν μυστηρίων, καὶ ἀπέλυσεν ἅπαντας εἰς τοὺς ἰδίους οἴκους εἰρηνεύσας καὶ ἐπευξάμενος. ἔμεινεν δὲ σὺν ἡμῖν Λυκαονίδης, Βονιφάτιος, καὶ Ξάνθιππος ὁ φιλόσοφος, καὶ ἐνέγκαντες μικρὰ βρώματα, ἐποιήσαμεν τὴν κλάσιν τοῦ ἄρτου, καὶ ἀναστάντες, ὁ μὲν Βονιφάτιος ἀνῆλθεν σὺν Ξανθίππῳ εἰς τὸ πραιτώριον, ὁ δὲ Λυκαονίδης κατῆλθεν ἐν τῷ ναυκληρίῳ, καὶ ἀπελθόντων αὐτῶν, ἐγένετο ὡσεὶ μιᾶς ὥρας διάστημα καὶ ἦλθεν γυνή, ἱέρισσα, ᾗ ὄνομα Χρυσή. αὕτη οὖν ἦν παρεδρεύουσα τῷ θυσιαστηρίῳ τῇ θυγατρὶ Ἥρωνος. ἦν δὲ λεπρά, καὶ πολλαχῶς, ὡς οἱ

XSCVO

1 *οἱ* om. XV 1 - 2 *τὸ πρόσωπον αὐτοῦ* XCV : *αὐτόν* S 3 *προρρηθεὶς* correxi : *προριθεὶς* XSCV 5 *παρήνεγκαν* XSC : *παρένεγκεν* V 5 *αὐτὸ* XCV : *αὐτὸν* S 7 *εὐχὴν* post *ὁ μακάριος* tr. V 7 *ἅπασι* SC : *πάσι* XV 7 *καὶ* om. SC 10 *ὁ φιλόσοφος* om. S 10 *μικρὰ βρώματα* XCV : *βρώμα μικρὰ* S 11 *ἀνῆλθεν* V : *ἐξῆλθεν* XSC, fort. recte 13 *αὐτῶν* om. C 13 in marg. verba *ΘΑΥΜΑ Α'* hab. X, *γυνὴ λαλεπρομένη θαῦμα ά* hab. S 13 *μιᾶς* post *ὥρας* tr. XCV 14 *οὖν* om. XS 15 *λεπρά* XSC : *λεπρή* V 15 *λεπρά*] *прьготива* Usp

ἰδόντες ἔλεγον, οἱ μιαροὶ δαίμονες 'μητέρα Χρυσὴν' αὐτὴν ἐφώνουν. αὕτη οὖν ἡ ἱέρισσα ἐν τῇ καρδίᾳ αὐτῆς τὸν μακάριον πειρᾶσαι ἐβούλετο καὶ φησὶν πρὸς αὐτόν, "εἰ ἀληθῆ εἰσι τὰ παρὰ σοῦ κηρυσσόμενα, μεγαλώτατε, ἄγω σήμερον ἔτη τεσσαράκοντα ἡ ἱέρισσα ἐν τῷ ναῷ τῆς μεγάλης θεᾶς Ἥρωνος θυγατρός. συνέβη δὲ γενέσθαί με ἐν τῇ ἀπρεπείᾳ ταύτῃ τῆς σαρκός. εἰ λόγῳ ἰάσῃ με, καὶ ἀπαλλαγῶ τούτου, πιστεύσω τῷ θεῷ, ὃν ἡμῖν ἐπαγγέλλῃ." ἦν δὲ κἂν τῷ στόματι λέγουσα, ἐπεὶ τῇ καρδίᾳ, ὡς προείρηται, πειρᾶσαι ἡμᾶς ἤθελεν. ὁ οὖν μακάριος ἀκούσας ταῦτα παρ' αὐτῆς εἶπεν, "ἄκουσον, γύναι, ἀληθινὰ ῥήματα θεοῦ, καὶ μὴ πειράσῃς κύριον τὸν θεὸν τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς, καὶ πλαστουργήσαντα τὸν ἄνθρωπον. εἰ προσέλθῃς τούτῳ τῷ ἀληθινῷ θεῷ, οὐ μόνον τῆς σωματικῆς ἀπρεπείας καθαρθήσῃ, ἀλλὰ καὶ τῶν ψυχικῶν σου νοσημάτων λυτρωθήσῃ· μόνον πιστῶς πρόσελθε." ἡ δὲ πρὸς τὸν μακάριον, "ταύτην τὴν ἀπρεπείαν τῆς σαρκὸς ἆρον ἀπ' ἐμοῦ·

XS (15 *ταύτην* - 188.1 *διάκειμαι* mutil.) CVO

1 *Χρυσὴν* XSV : *Χρυσὶν* C 2 *ἡ ἱέρισσα* C : *ἱέρισσα* XS *ἡ ἔρισσα* V 2 post *μακάριον* verbum *Παγκράτιον* hab. V 2 *πειρᾶσαι* XSC : *πειράζειν* V 2 *ἐβούλετο* V : *ἠβούλετω* X *ἠβούλετο* SC 3 *κηρυσσόμενα* XC : *κηρυσσώμενα* S *κηρυττόμενα* V 4 post *μεγαλώτατε* verbum *ἄνερ* hab. V 4 *ἄγω* XSC : *ἐγὼ* V 4 *τεσσαράκοντα* : *σαράκοντα* S 4 *ἡ* om. XSC 4 *ναῷ* : *λαῷ* C 6 *ταύτῃ* SV : *ταύτης* XC 6 ante *εἰ* verbum *καὶ* hab. V 6 *εἰ* : *ἢ* S 6 *ἰάσῃ* XSC : *ἰάσει* V 6 *καὶ ἀπαλλαγὼ τούτου* om. XSC, fort. recte 7 *ὃν* V : *ὧ* XSC 7 *ἐπαγγέλῃ* V : *ἐπαγγέλλει* XSC 7 - 8 *ἦν δὲ κἂν - ἤθελεν* : *ταῦτα δὲ εἰ καὶ τῷ στόματι ἔλεγεν, τῇ δὲ καρδίᾳ πειράζειν ᾤετο τὸν μακάριον* V, fort. recte 8 *ἤθελεν* XS : *θέλουσα* C 8 - 9 *ὁ οὖν μακάριος - εἶπεν* XSC : *ἀποκριθεὶς δὲ ὁ μακάριος Παγκράτιος, λέγει πρὸς αὐτήν* V, fort. recte 8 post *μακάριος* verbum *Παγκράτιος* hab. C 9 - 10 *ἄκουσον - θεοῦ* XSC : *ὅρα, γύναι, μήπως ἀντὶ ἰατρείας τιμωρίαν σαυτὴν ἐπισπάσῃ* V, fort. recte 9 *ῥήματα* XC : *παρὰ* S 10 post *θεοῦ* verbum *σου* hab. C 10 *πειράσῃς* XCV : *-σεις* S 10 *τὸν* (3) om. XCV 11 post *αὐτοῖς* verbum *τὸν* hab. C 12 ante *εἰ* verbum *καὶ* hab. V 12 *εἰ* om. S 12 *τούτῳ* SV : *τοῦτο* XC 12 *προσέλθῃς* C : *-εις* XSV 13 *καθαρθήσῃ* V : *καθαρισθεῖς* XS *καθαρθεῖς* C 14 *λυτρωθήσῃ* CV : *λυτρωθήσει* X *λυτροθήσει* S 14 *πιστῶς* XC : *πιστὸς* S *πιστεύουσα* V 15 *ἆρον* XSV : *ἄρων* C

τοῖς γὰρ λοιποῖς ἐντοσθίοις μου ἐν ῥώσει διάκειμαι, πνεύμονί τε καὶ ἥπατι καὶ ὑποχονδρίοις, κοιλίᾳ καὶ σπληνὶ καὶ πᾶσι τοῖς ἐν ἐμοὶ οὖσιν, σὺν φάρυγγι καὶ ἀρτηρίαις, καὶ μελικῆς τάξεως ἁπάσης, ὡς καὶ θαυμάζειν τοὺς ἐν τῇ πόλει τοὺς τὴν ἰατρικὴν ἐπιστήμην ἐγχειριζομένους τὴν ἐν ἐμοὶ οὖσαν ῥῶσιν· μόνον με ἐκ ταύτης καθάρισον." ὁ δὲ μακάριος πρὸς αὐτήν, "ὅλως, ὦ γύναι, τετόλμηκας εἰπεῖν μὴ ἔχειν σε ψυχικὰ νοσήματα. τὸν θεὸν ἐπελάθου καὶ δαίμοσι καὶ ἀπωλείᾳ προσῆλθες καὶ θυσίαν αὐτοῖς προσφέρεις, καὶ οὐ νόσῳ ὄντως χαλεπῇ καὶ δεινοτάτῃ νοσοῦσιν οἱ ἐπιλανθανόμενοι τοῦ θεοῦ; πρόσελθε, γύναι, τῷ θεῷ τῶν ἁπάντων, κυρίῳ Ἰησοῦ Χριστῷ, καὶ λάβε τὴν δι' ὕδατος καὶ πνεύματος ἀναγέννησιν, καὶ καθαρισθήσῃ ἀπὸ πάσης ἁμαρτίας ψυχικῆς, καὶ ἥξει ὡς φῶς ἐν σοὶ ἡ εὐμορφία τῆς σαρκός σου, ἐὰν ἐπιλάθῃ τῆς ματαίας πλάνης τοῦ διαβόλου." ἡ δὲ πρὸς τὸν μακάριον ἀπεκρίνατο, "καθάρισόν μου τὴν λέπραν πρῶτον, ἵνα μὴ ἐν τῇ κολυμβήθρᾳ μωμωμένην τὴν σάρκα ἔχουσα κατέλθω." ὁ δὲ

XS (usque ad 1 διάκειμαι mutil.) CVO

1 ἐντοσθίοις XC : ἐν τοῖς θίοις S ἐνδοσθίοις V 1 πνεύμονί : πνεύμοσίν V 2 καὶ (3) om. S 2 ἐν ἐμοὶ : σὺν ἐμοὶ V 2 οὖσιν CV : οὔση X οὔσει S 3 ἀρτηρίαις : ἀρτηρίοις V 4 ἐν τῇ πόλει XSC : τῆς πόλεως V 4 τοὺς (2) om. V 5 μόνον με ἐκ ταύτης καθάρισον om. X 5 με ante καθάρισον tr. S 8 θυσίαν XC : θυσίας V 8 καὶ θυσίαν αὐτοῖς προσφέρεις om. S 8 - 9 οὐ νοσῷ - νουσοῦσιν XS : οὐ νοεῖς ὄντως χαλαιπᾶ καὶ νοσήματα δεινᾶ C ἐν χαλεπῇ νόσῳ οὔσαν σε οὐκ ἰάσαντώ σε, καὶ δεινοτάτην νόσον νοσοῦσιν V, fort. recte 8 νόσῳ nos : νοσεῖ XS 9 δεινοτάτῃ nos : δεινότατα XS 11 καθαρισθήσῃ XCV : -θήσει S 12 εὐμορφία X : ἀμορφία SCV 13 σου om. C 13 ἐπιλάθῃ XCV : -ει S 14 πρῶτον post μου tr. V 14 πρῶτον : μόνον S

μακάριος πρὸς αὐτήν, "ἄκουσον, γύναι, ὁ μῶμος τῆς σαρκός σου, ἐὰν καθαρισθῇ, δῆλον ὅτι καὶ ἡ ψυχὴ καθαρίζεται ἐκ τῶν παθῶν τῆς ἁμαρτίας. λέγω δέ σοι, μὴ ἐκπειράσῃς κύριον τὸν θεὸν ἡμῶν, καὶ ἀντανελεῖ σε ἡ νόσος τοῦ σώματος, καὶ δυσὶ κακοῖς περιπέσῃς." ἡ δὲ πρὸς τὸν μακάριον, "ἄκουσόν μου καὶ καθάρισόν με ἀπὸ τῆς λέπρας, καὶ πιστεύω τῷ θεῷ σου." ὁ δὲ μακάριος, βλέπων τὴν ἔνστασιν τῆς γυναικός, καὶ γνοὺς τῷ πνεύματι ὅτι πειράσαι βούλεται τὴν χάριν τοῦ ἁγίου πνεύματος τὴν δοθεῖσαν αὐτῷ, σταθεὶς προσηύξατο καὶ λέγει τῇ γυναικί, "λύσον τὴν ζώνην σου." ἡ δὲ τάχιστα ἔλυσεν, καὶ ποιήσας τὴν ἐν Χριστῷ σφραγῖδα ἐπ' αὐτῇ, ἐξέπεσεν ὡσεὶ λεπίδες ἡ νόσος τῆς λέπρας καὶ ἐγένετο ὅλη ὑγιής, στραφὲν τὸ εἶδος τῆς σάρκος αὐτῆς ἐπ' αὐτήν. ὡς οὖν ἑώρακεν ἑαυτὴν ὑγιῆ, ἀντὶ τῆς εὐχαριστίας τῆς πρὸς τὸν θεόν, λέγει πρὸς τὸν μακάριον, "οὐδέν μοι ἀγαθὸν σὺ πεποίηκας· καὶ γὰρ πεπείρακά σε, εἰ ἐπίστασαι τὴν ἰατρικὴν μέθοδον, ἐπεὶ οἱ ἡμέτεροι σοφοὶ πλειοτέρας νόσους ἀπελαύνουσι." ὁ δὲ μακάριος πρὸς αὐτήν, "ὦ

XSCVO

1 ἄκουσον XCV : ἄκουσαι S 1 σου om. V 2 καθαρισθῇ XCV : -εῖ S 3 δέ post σοι tr. SV 3 σοι om. C 3 ἐκπειράσῃς CV : -σεις XS 4 περιπέσῃς XCV : περιπέσεις S 6 σου om. V 8 δοθεῖσαν XV : δωθήσαν SC 9 ἡ δὲ : ἰδὲ C 10 ἐπ' αὐτῇ XSC : ἐπ' αὐτήν V 10 ante ἐξέπεσεν verbum καὶ hab. XC 10 ἐξέπεσεν XCV : ἐξέπεσον S 10 ὡσεὶ XCV : ὡς S 11 ὅλη ὑγιής : ὁλουϋγιὴς V 12 ὑγιῆ : ὑγιὴν V 12 ἑαυτὴν XV : αὐτὴν SC 12 τῆς (1) om. S 12 τὸν om. S 13 μοι post ἀγαθὸν tr. S 14 post ἐπεὶ verbum καὶ hab. V

γύναι, ὅτι ἐπείρασας κύριον τὸν θεὸν τὸν ἰώμενον πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν, τὸ ἔργον τοῦτο, γύναι, οὔκ ἐστιν ἀνθρωπίνης ἐργασίας, ἀλλὰ θείας ἐπισκέψεως, καὶ οὐδεὶς τῶν σοφῶν ποιεῖ τοιοῦτον. ὅμως ὁ τὴν ῥώσιν ταύτην δούς, δύναται ἀξιῶσαί σε διὰ σῆς λέπρας, ἵνα πολλοῖς ἰατροῖς προσέλθῃς, καὶ μηδὲν ὠφεληθῇς, ὡς οὐδὲ μέχρι τοῦ παρόντος," καὶ ἐπάρας ὁ μακάριος τὰς ἐκπεσούσας λεπίδας σὺν τῷ χοΐ, ἔρριψεν ἐπ' αὐτῇ λέγων οὕτως, "εὐλογητὸς κύριος ὁ θεὸς ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς, ὁ καὶ τὸν ἄνθρωπον πλάσας οἰκείαις χερσίν, ὁ κατελθὼν ἐκ τῶν οὐρανῶν οὐ χωρισθεὶς τῶν πατρικῶν κόλπων, ὁ ἀναλαβὼν τὰ ἡμέτερα χωρὶς ἁμαρτίας, ὁ τὰς ἀσθενείας ἡμῶν καὶ τὰς νόσους θεραπεύων, ὅτι διὰ σὴν λέπραν λαμβάνεις, ὡς ψευσαμένη τὴν χάριν τῆς ἰάσεως," καὶ εὐθέως ἀνῆψεν σὺν τῷ λόγῳ Παγκρατίου ἡ σὰρξ αὐτῆς φλυκταίνας ὡς ἐκ πυρὸς ἀπὸ ποδῶν μέχρι κορυφῆς, ὡς καὶ τοὺς ὀφθλαμοὺς αὐτῆς πλησθῆναι, καὶ ἦν ἰδεῖν τὴν τάλαιναν, νῦν δὲ εὐγνώμονα καὶ πιστήν, ἐν

XSCVO

1 ἐπείρασας XSV : πεπείρακας C 1 post θεὸν verbum σου hab. C 1-2 καὶ πᾶσαν μαλακίαν om. XCV 4 ante τοιοῦτον verbum τι hab. V 4 τὴν ῥώσιν ταύτην δούς XSC : παρασχών σοι τὴν ῥώσιν ταύτην ταύτην V 4 ante δούς verbum καὶ hab. S 4 σε post ταύτην tr. S 5 προσέλθῃς SCV : -εις X 5 ~~-θῃ~~ ὠφελεθῆς X ὀφεληθεῖς S ὠφεληθεὶς C ὀφεληθὴς V5-6? ὡς οὐδὲ μέχρι τοῦ πάροντος om. XSC, fort. recte 7 ἔρριψεν XSC : ἐπέρριψεν V 7 ἐπ' αὐτῇ V : πρὸς αὐτήν XSC 7 ante λέγων verbum οὕτως tr. V 9 αὐτοῖς : αὐτῆς S 9 οἰκείαις : ἰδίαις S 9 τῶν om. V 10 οὐ : καὶ μὴ V 12 λαμβάνεις XSV : -ης C 13 ἀνῆψεν post Παγκρατίου tr. S 13 φλυκταίνας nos : φλυκτένας XS φλυκτίδας C φλωκτίδες V 13 ὡς om. V 14 ποδῶν XSC : ποδὸς V 14 κορυφῆς XCV : κεφαλῆς S 15 ἦν om. S 15 post τάλαιναν verbum Χρυσὴν hab. V 15 νῦν XSC : νυνὶ V 15 εὐγνώμονα : εὐγνώνα S

δεινῷ πάθει· ἐρράγησαν γὰρ τὰ ἕλκη τῶν ἀναζεουσῶν φλυκταινῶν καὶ ἔρρεεν ὡς ὕδωρ ἐκ τῶν σαρκῶν αὐτῆς, ὡς καὶ τὴν γῆν πλήσσειν ἐκ τῆς δριμύτητος ὡς ὅτ' ἂν ὄξους χυθέντος ἐπ' αὐτήν. ἦν δὲ καὶ ἡ βοὴ τῆς ταλαίνης ἰσχυρά, καὶ ἔκραζεν λέγουσα, "ἐλέησόν με, ἅγιε Παγκράτιε, ἐλέησόν με, δοῦλε τοῦ ἀληθινοῦ θεοῦ. οὐαί μοι τῇ μέλεᾳ ὅτι ἀπόλλυμαι. μὴ ἔγνωκα τύχην τοῦ ἱερατείου σου, θεὰ Ἥρωνος θυγάτηρ· σὲ γὰρ ποθήσασα, τῷ δεινῷ νοσήματι τούτῳ περιπέπτωκα," καὶ πάλιν πρὸς τὸν μακάριον ἔκραζεν λέγουσα, "ἐλέησόν με, μεγαλώτατε Παγκράτιε, δοῦλε θεοῦ ζῶντος, καὶ πιστεύσω τῇ διδαχῇ σου, καὶ βαπτισθῶ εἰς ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, βδελυξαμένη τὰ ἀκάθαρτα εἴδωλα. ἐλέησόν με, ἅγιε Παγκράτιε· ἰδοὺ γάρ μου ἐξέλιπεν ἡ ψυχὴ καὶ ἡ φωνὴ ἐκόπασεν, καὶ λοιπὸν οὐκ ἔστιν μοι ἐλπὶς εἰς τοὺς μιαροὺς καὶ ἀκαθάρτους θεούς, ἀλλ' ἐλπὶς μοί ἐστιν, ἅγιε Παγκράτιε, εἰς σέ." ὁ δὲ μακάριος Παγκράτιος πρὸς αὐτήν, "ὦ γύναι, τί εἰς ἐμὲ ἐλπίδα ἔχειν νομίζεις; εἰς κύριον Ἰησοῦν Χριστὸν ἔχε τὴν

XS (1 ἐρράγησαν - 2 ὕδωρ mutil.) CVO

1 πάθει XSV : πάθη C 1 φλυκταινῶν nos : φλυκτενῶν XC φλυκτίδων V 2 ἔρρεεν nos : ἔρραιεν X ἔρεεν CV 2 ὡς (ι) XC : ὥσει V 2 τῶν σαρκῶν XV : τῆς σαρκὸς SC 3 ἐπ' αὐτήν SV : ἐπ' αὐτῇ XC 3 ὄξους XC : ὄξος S ὄξου V 3 χυθέντος XCV : χυθὲν S 5 ἀληθινοῦ om. V 5 post θεοῦ verba τοῦ ὑψίστου hab. V 5 μοι om. V 5 μελέᾳ nos : μελαία XCV μελένη S, fort. μελαίνῃ legendum 5 ἀπόλλυμαι XCV : -ωμαι S 6 ἱερατείου X : ἱερατίου CV ἱερατικοῦ S 7 post ποθήσασα verbum περιέπεσα hab. V 7 τούτῳ SCV : τοῦτο X 7 περιπέπτωκα om. V 8 ante μεγαλώτατε verba δοῦλε τοῦ ἀληθεινοῦ θεοῦ hab. S 9 δοῦλε θεοῦ ζώντος om. S 9 ante ζώντος verbum τοῦ hab. C 10 τοῦ (1,2,3) om. XCV 11 - 14 ἰδοὺ γὰρ - Παγκράτιε om. V propter homoeoteleuton 12 ἐξέλιπεν XCV : ἐξελείπε S 12 post φωνὴ verbum μου hab. C 12 μοι CV : μου XS, fort. recte 13 μιαροὺς καὶ om. S 13 θεούς : δαίμονας S 13 μοι CV : μου XS 14 Παγκράτιος om. C 15 ἔχειν XCV : ἔχεις S

ἐλπίδα σου, ὃν πολλάκις εἶπόν σοι, μὴ ἐκπειράσῃς. σὺ ἐκπειράσασα αὐτόν, τὸν ἀπείραστον καὶ ἀνεξιχνίαστον καὶ ἄναρχον καὶ ἀκατάληπτον, δημιουργὸν ὄντα πάσης κτίσεως, ἐν κημῷ καὶ χαλινῷ ἦγξεν σε· οὕτως γὰρ καὶ ἐν τῷ προφητικῷ λογίῳ γέγραπται, 'διὰ γὰρ πολλὴν φιλανθρωπίαν ἦλθεν σῶσαι ἡμᾶς.' σὺ δὲ ἀκούσασα τὸν λόγον, ἐπείρασας τὸν ἀληθινὸν θεόν." ἡ δὲ πάλιν ἔκραζεν λέγουσα, "ἐλέησόν με, ἅγιε Παγκράτιε, καὶ γενοῦ μοι ἐγγύη τῆς πρὸς κύριον Ἰησοῦν Χριστόν, καὶ μόνον ἀπαλλαγῶ τῆς καυστικῆς καὶ δεινοτάτης νόσου· διὰ γὰρ τῆς παρακλήσεώς σου τὸ νόσημα ἐφυγαδεύθη, καὶ ἐμοῦ δυσπιστούσης, μᾶλλον δὲ ἐκπειρασάσης, ἐδόθη μοι ἡ σαρκοφάγος νόσος ταύτη. δυσώπησον καὶ νῦν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, καὶ ἐπισκεψάτω με τὴν ἀχρείαν." συνῆλθον οὖν ἐκ τῶν πιστῶν καὶ ἔλεγον πρὸς τὸ γύναιον, "ὦ ἱέρισσα Χρυσή, τί πέπονθας πειράσασα τὸν ἀληθινὸν θεὸν ἡμῶν; μὴ σὺ πλείων τῶν μεγάλων ἱερέων εἶ, ἢ ἐντιμωτέρᾳ κατὰ τὰ πατρῷα μάταια ἔθη, οἵτινες ἀκούσαντες τὸν

XSCVO

1 ἐκπειράσῃς XCV : -σεις S 1 σὺ C : οὐδὲ XV 1 post σὺ verbum δὲ hab. S 2 τὸν ἀπείραστον - ὄντα : αὐτὸς γὰρ ἀπείραστος ἐστὶν καὶ ἀνεξιχνίαστος καὶ ἄναρχος καὶ ἀκατάλειπτος δημιουργὸς ὢν S 2 τὸν om. XV 3 κημῷ nos : κιμῷ XSCV 4 καὶ om. C 4 οὕτως - γέγραπται om. S 9 ἐφυγαδεύθη SCV : -θει X 10 ἐδόθη V : ἐδώθη XSC 11 νόσος ταύτη : νόσους ταύτης S 11 ταύτη : αὕτη C 11 δυσώπησον SCV : δυσώπεισον X 11 καὶ νῦν XV : οὖν S, om. C 12 ἐπισκεψάτω XSC : -άτο V 13 τί XSC : ὅτι V 14 σὺ XCV : σοι S 14 πλείων S : πλείους XCV 15 τὰ om. S

λόγον τοῦ θεοῦ ὑπὸ Παγκρατίου κηρυσσόμενον, καὶ ἰδόντες τὴν ὄλεσιν τῶν ἀκαθάρτων θεῶν Φάλκονος καὶ Λύσσονος τῶν μιαρῶν, ἐξεδίωξαν πᾶσαν τὴν μυθικὴν αὐτῶν πλάνην, καὶ προσεκολλήθημεν ἅπαντες τῷ Χριστῷ, καὶ σύ, τί ἐξεπείρασας ἐν τῇ διανοίᾳ σου τὸν ὕψιστον θεόν;" ἡ δὲ τούτοις μηδὲν ἀποκριθεῖσα ἐδέετο τοῦ ἁγίου Παγκρατίου, "ἐλέησόν με τὴν ἐν πολλῷ ἀγῶνι οὖσαν, ἅγιε Παγκράτιε, καὶ συγκαταρίθμησόν με τῇ ποίμνῃ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ." ὁ δὲ μακάριος σπλαγχνισθεὶς εἰσῆλθεν εἰς τὸ εὐκτήριον, καὶ σταθεὶς ἐνώπιον τοῦ θυσιαστηρίου, ἐποίησεν εὐχὴν ὑπὲρ αὐτῆς, ποιῶν τὴν ἐν Χριστῷ σφραγῖδα, καὶ εὐθέως σὺν τῇ ἁφῇ τοῦ τιμίου σταυροῦ, ἐξέπεσαν τὰ τῶν φλυκταινῶν οἰδήματα, καὶ ἐγένετο ἐν ῥώσει ἡ νόσος. ἰδόντες οὖν οἱ συνελθόντες τὴν μακαρίαν παρόντος Παγκρατίου πλέον ἐδόξασαν τὸν θεὸν τὸν ποιοῦντα μεγάλα θαυμάσια διὰ τοῦ θεράποντος αὐτοῦ Παγκρατίου. ὁ οὖν μακάριος κατηχήσας αὐτὴν καὶ χρίσας τῷ ἁγίῳ ἐλαίῳ ἐβάπτισεν, καὶ ἐν τῷ συμπληρωθῆναι τὴν ἀπόθεσιν τῶν ἀμφίων,

XS (13 *θαυμασία* - 14 *κατηχήσας* mutil.) CVO

1 *ἰδόντες* XS : *ἰδῶτες* C *εἰδόντες* V 1 *ὄλεσιν* V : *ὤλεσιν* XSC 2 *θεῶν* XSC : *εἰδώλων* V 2 *μιαρῶν* XSC : *μιαρωτάτων* V 4 *σύ* : *σοι* S 4 *ἐν τῇ διανοίᾳ σου* post *θεόν* tr. S 4 - 5 *ἡ δὲ* : *ἰδὲ* C 5 *μηδὲν* XCV : *μὴ* S 5 post *Παγκρατίου* verbum *λέγουσα* hab. C 6 *με* om. X 6 ante *πολλῷ* verbum *τῷ* hab. V 7 post *μακάριος* verbum *Παγκράτιος* hab. V 10 post *ἁφῇ* verba *τοῦ σημείου* hab. V 11 *φλυκταινῶν* nos : *φλυκτενῶν* XC *φλικτενῶν* S *φλυκτιδῶν* V 11 *οἰδήματα* V : *ὕδατα* XSC 11 *ῥώσει* XSC : *ῥώσω* V 11 *ἰδόντες οὖν* : *καὶ ἰδῶντες* S 12 post *συνελθόντες* verbum *κατακρίναι* hab. CV, fort. recte 12 ante *Παγκρατίου* verbum *τοῦ μακαρίου* hab. S 13 *θαυμάσια* XC : *θαύματα* V

ἐχειροτόνησεν αὐτὴν διάκονον. αὕτη δὲ ἡ μακαρία κατὰ σάββατον ἐπλήρου τὴν καλλιεργίαν τοῦ εὐκτηρίου, ἣ καὶ μετονομάσθη ὑπὸ τοῦ μακαρίου Βενεδίκτα. λαβοῦσα οὖν τὸν μακάριον κατ' ἰδίαν, φησὶν πρὸς αὐτόν, "δέομαί σου, πάτερ, διέλθωμεν ἐγώ τε καὶ ἡ σὴ ἁγιωσύνη ἕως τῆς θυγατρὸς Ἥρωνος· οὐ γὰρ τολμᾷ τίς παραβαλεῖν αὐτῇ ἄνευ ἐμοῦ. μὴ νομίσῃς δέ με ὡς τιμῆσαι βουλομένην αὐτήν, ἀλλ' ἀτιμῆσαι." ἀπῆλθεν οὖν ὁ μακάριος συμπαραλαβὼν καὶ τινας τῶν παρόντων πιστῶν, καὶ εἰσελθόντες ἐν τῷ ναῷ ἡ χρηστὴ διάκονος συλλαβομένη τοὺς μιαροὺς θεοὺς συνέτριψεν ἔμπροσθεν τοῦ μακαρίου καὶ τῶν σὺν αὐτῷ παρόντων· ἦσαν γὰρ οἱ θεοὶ οἱ ὄντες ἐν τῷ ναῷ, ὑέλινοι καὶ ὀστράκινοι καὶ γυψόπλαστοι, οὐ μὴν ἀλλὰ καὶ χρυσοῖ καὶ ἀργυροί· ἕκαστος γὰρ τῶν τῇ εἰδωλικῇ μανίᾳ καὶ πλάνῃ ὑποσπενδόντων κατὰ τὸ ἴδιον θέσπισμα θεὸν ἀνέπλαττεν, καὶ προσῆγεν εἰς τὸν εἰδωλικὸν ναόν. αὕτη οὖν συντρίψασα τοὺς μιαροὺς θεούς, εἰσήνεγκε τὸν μακάριον εἰς ἕνα τῶν περιβόλων τοῦ ναοῦ, καὶ ὑπέδειξεν αὐτῷ χρυσίον

XS (8 *ἐν τῷ ναῷ* - 9 *ἔμπροσθεν* mutil.) CVO

1 *ἐχειροτόνησεν* V : *ἐχειροτόνισεν* XC *ἐχειρωτόνησεν* S 1 *διάκονον* V : *διάκονα* XSC 1 *δὲ* XSC : *οὖν* V 2 *ἐπλήρου* nos : *ἐπλήροι* XSCV 2 *ἣ* om. V 3 post *μακαρίου* verbum *Παγκρατίου* hab. V 3 *λαβοῦσα οὖν* : *καὶ λαβοῦσα* S 4 *διέλθωμεν* XSC : *-ομεν* V 4 *ἡ σὴ ἁγιωσύνη* : *σύ* S 5 *αὐτῇ* V : *αὐτὴν* XS, om. C 5 *παραβαλεῖν* V : *παραλαβεῖν* XC *παραβαβεῖν* S 6 *νομίσῃς* XV : *νομήσεις* S *νομήσης* C 6 *με* om. X 6 *βουλομένην* CV : *-μένη* XS 6 *αὐτήν* XSC : *ταύτην* V 6 *αὐτήν* post *τιμῆσαι* tr. S 6 *ἀτιμῆσαι* nos : *ἀτιμᾶσαι* XCV *ἀτοιμᾶσι* S 7 *ἀπῆλθεν* V : *ἀνήλθεν* XSC, fort. recte 7 *συμπαραλαβὼν* : *συμπαραλαβεῖν* S 7 *παρόντων* om. S 8 *χρηστὴ* CV : *χριστὴ* X 9 *συνέτριψεν* XC : *συνέτριβεν* V 9 post *μακαρίου* verbum *Παγκρατίου* hab. V 10 *ὑέλινοι*] *цклѣни* Usp 11 *ὀστράκινοι*] *здѣни* Usp 11 *χρυσοῖ* : *χρυσῆ* S 12 *τῶν* V : *αὐτῶν τῶν* XC : *αὐτῶν* S 12 *εἰδωλικῇ* CV : *εἰδωλικεία* X *εἰδωλικοῖ* S 12 *ὑποσπενδόντων* C : *ὑποσπένδων* V *ὑποσπευδόντων* XS 14 post *εἰσήνεγκε* verbum *δὲ* hab. X 14 - 15 *τὸν μακάριον* om. C 15 post *μακάριον* verbum *Παγκράτιον* hab. V

ἀνείκαστον, καὶ λέγει τῷ μακαρίῳ, "τί ποιήσωμεν, πάτερ, τὰ χρήματα ταῦτα;" ὁ δὲ φησίν, "δοθήτωσαν πτωχοῖς." ἡ δὲ πρὸς αὐτόν, "οὐχ εὑρίσκεται ἐν τῇ πόλει ταύτῃ πτωχός· πάνυ γάρ ἐστιν ἐμπεπλησμένη πασῶν τῶν μεταλλικῶν εἰδῶν." ὁ δὲ μακάριος πρὸς τὴν διάκονον, "τέκνον, πάντων τῶν κακῶν ῥίζα ἐστιν ἡ φιλαργυρία· ἐκ ταύτης γὰρ γεννᾶται καὶ ἡ εἰδωλολατρία. ταύτην φεῦγε καὶ ἀποστρέφου, ἔχουσα πλοῦτον ἐν οὐρανῷ." ἡ δὲ μακαρία τῷ λόγῳ Παγκρατίου ἀκούσασα, ἅπαντα τὰ ἐν τοῖς ναοῖς ἐγκαταλείψασα, καὶ τὸν ἑαυτῆς οἶκον βδελυξαμένη, ἠκολούθησεν αὐτῷ ἅπαντα τὸν χρόνον τῆς ζωῆς αὐτῆς τὴν διακονίαν πληροῦσα ἐν τῷ εὐκτηρίῳ.

ἑτέρα δὲ γυνὴ ἦλθεν ἐν ἀληθινῇ διαθέσει γονυπετοῦσα τῷ μακαρίῳ· οὐκ ἐτόλμα γάρ τις ἔτι πειράσαι αὐτόν. ἦν δὲ αὐτὴ ἐν πολλῷ πλούτῳ· ὁ γὰρ ταύτης ἀνὴρ τριβοῦνος ἐγεγόνει τῇ ἀξίᾳ, καὶ ἐν πολέμῳ συνέβη αὐτὸν πεσεῖν. αὕτη οὖν εἶχεν ἐν τῷ τραχήλῳ χοιρέαν, ὡς πολὺν ἀγῶνα εἶναι ἐν αὐτῇ τῆς ἀσθενείας, ἣ καὶ ἐδέετο τὸν μακάριον λέγουσα, "ἅγιε

XSCVO

5. cf. 1 Tim. 6:10

1 ποιήσωμεν XSV : -σομεν C 2 δοθήτωσαν XV : δωθήτωσαν SC 2 - 3 ἡ δὲ πρὸς - πτωχός om. S propter homoeoteleuton 4 ἐμπεπλησμένη C : ἐμπεπλισμένη XS ἐμπεπλησαμένη V 4 πασῶν om. X 4 - 5 τὴν διάκονον V : τῆς διάκονα X τὸν (corr. τὴν) διάκονα C αὐτήν S 5 ante ῥίζα verbum ἡ hab. S 5 ἐστιν post φιλαργυρία tr. S 5 ἡ om. XSC 6 γεννᾶται : γενάται V 6 post ταύτην verbum δὲ hab. S 7 ἀποστρέφου SCV : ἀπόστρεφε X 8 ἀκούσασα XS : ἐπακούσασα CV 8 ante ναοῖς verbum αὐτοῖς hab. C 8 ἐγκαταλείψασα : καταλείψασα V 11 ante ἑτέρα verba ΘΑΥΜΑ Β' hab. XSC 11 μακαρίῳ : ἁγίῳ C 12 τις post ἔτι tr. XCV 13 τῇ ἀξίᾳ XCV : τὴν ἀξίαν S, fort. recte 14 εἶχεν : ἦχεν S 14 χοιρέαν : χυρέαν V 14 πολὺν CV : πολλὴν XS 15 αὐτῇ : αὐτῆς S 15 ἣ : εἰ S 15 τὸν μακάριον XSC : τῷ μακαρίῳ V

Παγκράτιε, δοῦλε τοῦ ἀληθινοῦ θεοῦ, δέξαι με τὴν ἁμαρτωλὴν καὶ ἀχρείαν καὶ δεδουλωμένην τούτῳ τῷ ἀνιάτῳ πάθει, καὶ ἐλέησόν με τῇ πρεσβείᾳ σου. δυσώπησον τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν ἀληθινὸν θεὸν ἡμῶν, καὶ λύτρωσαί με τὴν ἐλεεινὴν ἐκ τῆς ὀδύνης ταύτης· οὐκ ἔτι γὰρ ὑποφέρω τὰς τομὰς τῶν σιδήρων καὶ τῶν καυστήρων τὴν ἀγρίωσιν καὶ τῶν αὐστηρῶν φαρμάκων τὰς ἐπιθέσεις· ἅπαντες γὰρ οἱ ἐν τῇ πόλει ἰατροὶ ἐπ' ἐμὲ χείρας ἐπέβαλον, ἑκάστου ἐν σπουδῇ τὴν σοφιστικὴν αὐτοῦ τέχνην ἐφαπλώσαντος, καὶ εἰς ἐμὲ εἶδος θεραπείας οὐκ ἐνήργησεν, οὐ μόνον δὲ οἱ σοφοὶ τῆς πόλεως ταύτης, ἀλλὰ καὶ τῶν πέριξ ἐπαρχιῶν, ὧν δέδωκα παμπόλλα χρήματα, καὶ ἐλέους οὐκ ἔτυχον. διὸ δέομαί σου ἅγιε Παγκράτιε, γενέσθω μοι ἡ δέησίς σου, ἴασις, καὶ λύτρον τῆς δεινοτάτης νόσου ταύτης· οἶδα γὰρ ὅτι θεὸς ἀληθὴς ὑπάρχει κύριος Ἰησοῦς Χριστός, υἱὸς καὶ λόγος ὢν τοῦ ἀοράτου πατρός, καὶ σύ, ἅγιε Παγκράτιε, ἔχεις πολλὴν παρρησίαν εἰς αὐτόν, ὃς καὶ ἀπέστειλέν σε διὰ Πέτρου τοῦ ἀποστόλου τοῦ ἰάσασθαι

XS (10 *τῶν πέριξ* - 11 *ἅγιε* mutil.) CVO

1 *δέξαι* XSV : *δέξε* C 1 *με* om. XSC 1 *ἁμαρτωλὴν* V : *ἁμαρτωλὸν* XSC 3 *δυσώπησον* X : *δυσώπεισον* S *δυσωπῶν* CV 3 *ἡμῶν* om. S 4 *ἡμῶν* om. V 4 *λύτρωσαί* : *λύτρωσέ* C 5 *τομὰς* : *θωμὰς* S 5 - 6 *καὶ τῶν καυστήρων - ἀγρίωσιν* om. S 5 *τῶν* (2) om. XC 8 *ἐφαπλώσαντος* XSC : *-σαντες* V 8 *εἶδος* : *εἴδως* S 9 *ἐνήργησεν* : *ἐγένετο*, corr. *ἐνέργησεν* C 9 *μόνον* om. C 12 *λύτρον* : *λύτρων* S 12 *δεινοτάτης* XV : *δυνωτάτης* S *δυνοτάτης*, corr. *δεινοτάτης* C 12 *ταύτης* ante *νόσου* tr. V 13 ante *υἱὸς* verbum *ὁ* hab. C 14 *εἰς* XCV : *πρὸς* S 15 *τοῦ ἀποστόλου* om. C 15 post *ἀποστόλου* verbum *αὐτοῦ* hab. V

τὰς ἀσθενείας ἡμῶν καὶ τοὺς πεπλανημένους ἐν ἀγνοίᾳ πρὸς τὴν ἀληθινὴν ὁδὸν τοῦ Χριστοῦ ἐπαναγάγαι, καὶ ὡς καλὸς ποιμὴν τὰ πεπλανημένα πρόβατα εἰς τὴν μάνδραν τοῦ Χριστοῦ εἰσαγάγαι." ὁ δὲ μακάριος Παγκράτιος δακρύσας καὶ στενάξας ἐκ βάθους καρδίας, εἰσῆλθεν ἐν τῷ εὐκτηρίῳ, καὶ ῥίψας ἑαυτὸν ἐν τῷ ἐδάφει, ἀνενέγκεν συνεχέστερον κλαυθμὸν καὶ εἶπεν, "εὐλογητὸς κύριος ἡμέραν καθ' ἡμέραν, καὶ εὐλογημένη ἡ βασιλεία σου, καὶ δεδοξασμένον τὸ κράτος σου. δυσωπῶ σε, βασιλεῦ τῶν αἰώνων, μόνε ἀγαθέ, μόνε δημιουργέ, μόνε ἀναμάρτητε, μόνε εὔσπλαγχνε, ᾧ τὴν δόξαν ἀναπέμπουσιν πᾶσαι αἱ τῶν οὐρανῶν δυνάμεις, μεθ' ὧν καὶ τὴν ἡμετέραν ἱκεσίαν προσδέξαι, ἵνα δοξασθῇ τὸ πολύτιμον ὄνομά σου ἐπιπλεῖον ἐνώπιον τοῦ λαοῦ τούτου. δεῖξον τὴν σὴν φιλανθρωπίαν ἐπὶ τὴν γυναῖκα ταύτην, καὶ ἴασαι αὐτήν, οἰώμενος τοὺς συντετριμμένους τῇ καρδίᾳ καὶ δεσμεύων τὰ συντρίμματα αὐτῶν. αὐτὸς καὶ νῦν, δέσποτα Ἰησοῦ Χριστέ, ἐπάκουσόν μου καὶ ἐπίσκεψαι αὐτήν, ἵνα δοξασθῇ τὸ ὄνομά σου σὺν τῷ

XS (5 ἐν τῷ - 6 εὐλογητὸς mutil.) CVO

1 ἐν om. XSV 2 ἐπαναγάγαι C : ἀναγάγε X ἐπαναγάγει SV 2 καλὸς XC : καλῶς SV 2 τὰ om. V 3 μάνδραν : μάνδρα S 3 εἰσαγάγαι X : εἰσαγάγε S εἰσαγάγε, corr. -αγάγαι C εἰσαγαγεῖν V 6 post κύριος verba ὁ θεὸς ἡμῶν hab. C 8 σε : σαι S 8 ante βασιλεῦ verbum μόνε hab. S 9 ᾧ XC : καὶ σὺ S ὃ V 10 πρόσδεξαι : πρόσδεξε C 11 πολύτιμον XS : πολυΰμνητον CV 11 ἐπιπλεῖον XSV : ἐπιπλείων C 12 post φιλανθρωπίαν verba καὶ ἀπόστειλον hab. V 15 ἐπίσκεψαι : ἐπίσκεψε C

ἀχράντῳ σου πατρὶ καὶ τῷ παναγίῳ σου πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν." καὶ πληρώσας τὴν εὐχήν, ἐξῆλθεν. ἦν δὲ πλῆθος λαοῦ συνελθόν, ἵνα λάβωσι τὴν δι' ὕδατος καὶ πνεύματος ἀπολύτρωσιν. καλέσας οὖν ὁ μακάριος τὴν γυναῖκα ἐνώπιον παντὸς τοῦ λαοῦ, εἶπεν αὐτῇ, "πολλοῖς ἰατροῖς, ὡς λέγεις, ὦ γύναι, προσῆλθες, πάμπολλα καταναλώσασα, καὶ ἐλέους οὐκ ἔτυχες. ἰδοὺ οὖν λέγω σοι, ὡς πιστεύσασαν τῷ θεῷ καὶ πατρί, ἴαταί σε κύριος Ἰησοῦς Χριστὸς ὁ ἐκ παρθένου τεχθεὶς διὰ πνεύματος ἁγίου," καὶ λαβὼν τὸ γύναιον, ποιήσας τὴν ἐν Χριστῷ σφραγῖδα ἐπὶ τοῦ μετώπου καὶ τοῦ στήθους, καὶ δακτυλοτυπήσας τὸ πάθος, λέγει ἰσχυρᾷ τῇ φωνῇ, "~~σὺ~~ σοὶ λέγω, πάθος ἀνίατον, πολλὰς σιδήρων τομὰς ἐδέξω καὶ καυστήρας πυρακτικοὺς καὶ φάρμακα αὐστηρά, καὶ τούτων πάντων ὑπεισελθόντων σοι, οὐκ ἠνέσχου ἀναχωρῆσαι ἀπὸ τοῦ πλάσματος τοῦ θεοῦ μου. νῦν δὲ λέγω σοι, πάθος ἀνίατον, ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ σωτῆρος τῶν ἁπάντων, ἐξέλθε ἐκ τοῦ πλάσματος τοῦ

XSCVO

1 παναγίῳ : ἁγίῳ C 3 post πλῆθος verbum πολὺ hab. V 3 συνελθόν V : συνελθὼν XSC 4 ἀπολύτρωσιν XCV : ἀναγέννησιν S 5 πολλοῖς ἰατροῖς XCV : πολλαῖς ἰατρείαις V 7 θεῷ καὶ om. V 8 λαβὼν : λαβὸν S 9 ἐπὶ : ἐπεί τε V 11 σιδήρων τομὰς V : τομᾶς σιδήρου XC τομάς σιδήρω S 12 πυρακτικοὺς V : πυρεκτεικοὺς X πρακτικοὺς S πυραστικοὺς C 13 ὑπεισελθόντων : ἐπεισελθόντων S 13 σοι SCV : συ X, fort. recte 13 ἀναχωρῆσαι SCV : ἀναχωρίσαι X 14 post πάθος verba τῆς γυναικὸς hab. C

θεοῦ μου," καὶ κρατήσας τὸ πάθος ὁ μακάριος, ἀπέσπασεν αὐτὸ ἀπὸ τοῦ τραχήλου τῆς γυναικός, καὶ ἔρριψεν αὐτὸ ἐν τῷ ἐδάφει. ἅπαν δὲ τὸ πλῆθος ἤρξατο εὐχαριστεῖν καὶ λέγειν, "δόξα σοι, Χριστὲ ὁ θεὸς ἡμῶν Ἰησοῦ μονογενὴ υἱὲ τοῦ θεοῦ ὁ ἐπιφανεὶς ἡμῖν. πιστεύομεν τῇ σῇ θεότητι. πιστεύομεν ὅτι θεὸς σὺ ὑπάρχεις ὁ λυτρωσάμενος ἡμᾶς ἐκ πάσης ἐπιβουλῆς τοῦ ἀλλοτρίου." ὁ οὖν μακάριος ἀνοίξας τὸ θεόπνευστον στόμα, ἔλεγεν τῷ λαῷ, "ἴδετε, τέκνα μου, τὴν χάριν τοῦ ἀληθινοῦ θεοῦ, τί πεποίηκεν εἰς ἡμᾶς. αὐτὸς οὖν ὁ ταῦτα ποιῶν καὶ ἀπελαύνων ἅπασαν μαλακίαν καὶ νόσον, τὸν οὐρανὸν ὡσεὶ δέρριν ἐξέτεινεν καὶ τὴν γῆν ἐπὶ ὑδάτων ἐθεμελίωσεν καὶ τὰς ἀβύσσους κλείσας ἐσφραγίσατο, καὶ ἐν μὲν τῷ οὐρανῷ ἔθετο τὸν ἥλιον καὶ τὴν σελήνην καὶ τὰ ἄστρα. τούτῳ, τεκνία μου, τῷ φιλανθρώπῳ καὶ ἀγαθῷ θεῷ καὶ δημιουργῷ, παρίστανται λειτουργοὶ λειτουργοῦντες· ἄγγελοι, ἀρχάγγελοι, θρόνοι, κυριότητες, ἀρχαί, ἐξουσίαι, δυνάμεις καὶ τὰ πολυόμματα χερουβὶμ καὶ τὰ ἑξαπτέρυγα σεραφὶμ ἀενάως

XS (7 ἴδετε - 8 ταῦτα mutil.) CVO

9 - 10 cf. Ps. 103:2 10 - 11 cf. Ps. 103:5 - 6 13 - 200.1 1 Col. 1:16

1 post μακάριος verbum *Παγκράτιος* hab. C 1 αὐτὸ V : αὐτῷ XSC 2 αὐτὸ V : αὐτῷ XC αὐτῇ S 3 post πλῆθος verbum *θεασάμενοι* hab. V 4 Ἰησοῦ : υἱὲ V 4 ἐπιφανεῖς SC : -ῆς XC 4 πιστεύομεν XSC : -ωμεν V 5 πιστεύομεν XSC : -ωμεν V 5 post ὑπάρχεις verbum *πιστεύωμεν* hab. S 6 post μακάριος verbum *Παγκράτιος* hab. V 7 θεόπνευστον] *Богодушная* Usp 7 ἴδετε : ἴδε C 7 τέκνα XC : τεκνία V 8 ἀληθινοῦ XC : αἰωνίου V 8 ἡμᾶς X : ὑμᾶς CV 8 ποιῶν XSC : ποιήσας V 9 ἀπελαύνων : ἀπολαύνων S 9 ἅπασαν XCV : πᾶσαν S 10 - 12 καὶ τὰς ἀβύσσους - σελήνην om. V 11 κλείσας C : κλίσας XSV 11 ἐσφραγίσατο : -ήσατο S 13 λειτουργοὶ om. CV 14 ἀρχάγγελοι om. C 15 ἀενάως XV : ἀεννάως SC

δοξολογοῦντα. αὐτὸς ὁ τῶν ὅλων δεσπότης καὶ κύριος ἔπλασε καὶ τὸν ἄνθρωπον οἰκείαις χερσὶ κατ' εἰκόνα ἰδίαν καὶ ὁμοίωσιν. πλανηθεὶς οὖν ὁ ἄνθρωπος καὶ ἐπιλαθόμενος τοῦ ἰδίου δημιουργοῦ, ἐλάτρευσεν τῇ κτίσει παρὰ τὸν κτίσαντα, τοῦ ὄφεως ἀπατήσαντος αὐτόν. οὐκ ἀπηξίωσεν δὲ ὁ ἀγαθὸς καὶ φιλάνθρωπος θεὸς κλίναι οὐρανοὺς καὶ κατελθεῖν ἐπὶ γῆς καὶ σάρκα τὴν ἡμῶν λαβεῖν καὶ ὁμοιοπαθὴς γενέσθαι κατὰ πάντα ἡμῖν χωρὶς ἁμαρτίας, καὶ τὸν μὲν ὄφιν ὤλεσεν θεϊκῇ δυνάμει, τὸ δὲ ἴδιον πλάσμα ἑλκύσας πρὸς ἑαυτὸν ἀνεκαλέσατο. ἀπεστάλημεν δὲ ἡμεῖς κηρύξαι ὑμῖν τὸν λόγον τοῦ θεοῦ·" ὑπελάμβανον γὰρ αὐτὸν εἶναι θεόν, ὡς ἐποίει δι' αὐτοῦ τὰς ἰάσεις ὁ κύριος Ἰησοῦς Χριστός· πολλὰς γὰρ νόσους ὁ μακάριος ἐθεράπευσεν τῇ χάριτι αὐτοῦ, ἅς, ἐὰν κατ' ἔπος εἰς μέσον ἀγάγωμεν, πολὺς γενήσεται ὁ φόρτος τῆς βίβλου. ἀνακαμψάντες οὖν, τὸ τοῦ ὄχλου καὶ τὸ πιστότατον τῆς γυναικὸς εἴπωμεν. ἐν τῷ οὖν ῥίψαι τὸν μακάριον τὸ πάθος ἐκ τοῦ τραχήλου τῆς γυναικός, καὶ δοξάσαι τὸν ὄχλον τὸν κύριον ἡμῶν

XS (3 δημιουργοῦ - 4 αὐτόν mutil.) CVO

1 ante δεσπότης verbum καὶ hab. X 1 καὶ (ι) om. V 2 (καθ') ὁμοίωσιν] по подобству Usp 3 ἐλάτρευσεν V : ἐλάτρευσαι XC 5 κλίναι CV : κλίνας XS 6 κατελθεῖν SCV : κατελθὼν X, corr. -εῖν X¹ 7 κατὰ πάντα post ἡμῖν tr. S 7 ὤλεσεν : ὅλεσεν S 9 ὑμῖν CV : ἡμῖν XS 9 ὑπελάμβανον : ὑπολάμβανον C 10 γὰρ om. C 10 αὐτὸν εἶναι θεόν V : θεὸν εἶναι τὸν μακάριον XSC 11 ἐθεράπευσεν ante ὁ μακάριος tr. V 11 τῇ χάριτι V : ἐν τῇ χάριτι XC διὰ τῆς χάριτος S 11 αὐτοῦ XCV : τοῦ θεοῦ S 12 ante ἐὰν verbum καὶ hab. C 12 κατ' ἔπος nos : καθέπως XS καθέπος CV 12 ἀγάγωμεν SV : ἀγάγοιμεν X ἀγάγομεν C 12 γενήσεται XSC : γένηται V 13 τὸ τοῦ ὄχλου καὶ τὸ πιστότατον XSV : τὸ τοῦ ὄχλου καὶ τοῦ πιστοτάτου C 14 εἴπωμεν S : -ομεν XCV

Ἰησοῦν Χριστόν, ὡς ἐλάλησεν ὁ μακάριος τοὺς λόγους τούτους εἰς τὰ ὦτα τοῦ λαοῦ, λέγει πρός με, "τέκνον Εὐάγριε, καιρὸς τοῦ ποιῆσαι τῷ κυρίῳ. ποιήσωμεν τὴν κατήχησιν τῶν λογικῶν προβάτων καὶ βαπτίσωμεν τὸ συνελθὸν πλῆθος· ἅπαντες γὰρ ἐπιποθοῦσι τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐνδύσασθαι." εὐθεως οὖν ἐγὼ ἀπελθὼν καὶ λαβόμενος τὸ στιχάριόν μου καὶ τὸ ὀράριον, ἐφόρεσα καὶ ἀπελθὼν ἠτησάμην παρὰ τοῦ μακαρίου εἰρήνην, ἤγουν παράθεσιν. ἐξελθὼν οὖν ἀπεχώρισα ἅπαν τὸ πλῆθος, ἄνδρας τε καὶ γυναῖκας, δεξιὰ καὶ ἀριστερά, καὶ ἀναστὰς ὁ μακάριος κατήχησεν ἅπαν τὸ πλῆθος, καὶ ἐβάπτισεν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὡς ὀκτάκις χιλίους ἄνδρας χωρὶς γυναικῶν καὶ παιδίων, ὡς καὶ τὰ ὀνόματα πάντων ὑπὸ τοῦ μακαρίου Παγκρατίου τῶν ἀπ' ἀρχῆς βαπτισθέντων γέγραπται, ἵνα ὅταν ὁ δίκαιος κριτὴς τῶν ἐγχειρισθέντων ποιμαίνων τὰς ψυχὰς τῶν λογικῶν προβάτων ἀπαιτήσῃ, καὶ ὁ μακάριος Παγκράτιος τῆς ἑαυτοῦ ποίμνης, νομικὸν ἀποδώσει τὸ ἔγγραφον. βαπτίσας οὖν ὁ μακάριος ἅπαντας,

XSCVO

3 *ποιήσωμεν* XSV : *-σομεν* C 4 *βαπτίσωμεν* V : *-σομεν* XSC 4 post *βαπτίσωμεν* verbum *ἅπαν* hab. V 4 *τὸ* XSC : *τῷ* V 4 *συνελθὸν* nos : *συνελθὼν* XSC *συνελθόντι* V 7 *παρὰ τοῦ μακαρίου* : *τὸν μακάριον τὴν παρ' αὐτοῦ* V 8 *ἀπεχώρισα* CV : *ἀπεχώρησα* XS 8 *ἄνδρας τε καὶ γυναῖκας* post *ἀριστερά* tr. S 9 post *πλῆθος* verba *καὶ βάπτησεν ἐν ἐκείνῃ τῇ ἡ* (*βάπτησεν - ἡ* del.) *ἄνδρας τε καὶ γυναικὰς δεξιᾷ καὶ ἀριστερᾷ. καὶ ἀναστὰς ὁ μακάριος κατήχησεν ἅπαν τὸ πλῆθος* hab. C 10 *ὡς* om. V 10 *ἄνδρας* post *ἡμέρᾳ* tr. V 11 *παιδίων* SV : *τέκνων* XC 12 *τῶν* om. V 12 *γέγραπται* XS : *ἐνγέγραπται* CV 13 *τῶν* (1) om. C 14 *ἀπαιτήσῃ* V : *ἀπετήσει* XSC 15 ante *νομικὸν* verbum *τὸ* hab. V 15 *ἀποδώσει* XSC : *ἀποδόσει* V

λέγει πρός με, "τέκνον Εὐάγριε, ποιήσωμεν τὸν θεῖον ὕμνον καὶ λάβωσι τροφῆς οἱ λαοί." ταῦτα δὲ ὁ συμπαθὴς καὶ ἀγαθὸς ἔλεγεν, οὐχὶ τὸ τῆς γαστριμαργίας ὀδυνηρὸν διδάσκων, μὴ γένοιτο, ἀλλὰ τὸν λαὸν συμπαθητικῇ ἀξίᾳ ὁρῶν. ὅτε οὖν εἰσήλθομεν τοῦ τὴν θείαν λειτουργίαν ἐπιτελέσαι, ἦλθεν καὶ ὁ Βονιφάτιος πολὺ πλῆθος ἔχων μετ' αὐτοῦ, πιστῶν καὶ ἀπίστων, ὥστε μὴ τὸν παρόντα τόπον τὸ πλῆθος τοῦ λαοῦ χωρεῖν. ὁ οὖν Βονιφάτιος κελεύσας τοῖς παιδαρίοις αὐτοῦ ἀπεχώρισεν ἀπὸ τῶν πιστῶν τοὺς ἀπίστους, κελεύσας μὲν τοῖς πιστοῖς προσελθεῖν τῇ κοινωνίᾳ, τοῖς δὲ ἀπίστοις κατὰ τὰ ἀρκτῷα μέρη τῆς πόλεως παραγενέσθαι. ὡς οὖν ἐπλήρωσεν ὁ μακάριος τὰ θεῖα μυστήρια, καὶ ἦλθεν ἐν τῇ ὑψώσει τοῦ ἄρτου, ἐγένετο ἄφνω διανοιχθῆναι τὸ καταπέτασμα τοῦ εὐκτηρίου καὶ κατελθεῖν πῦρ φοβερὸν καὶ περικυκλῶσαι αὐτόν. ἐπειδὴ μικροῦ ὄντος τοῦ εὐκτηρίου, ἔξωθεν τῶν πύλων τὸ πολὺ πλῆθος ἑστήκει. φόβος δὲ ἀφόρητος ἔπεσεν ἐπὶ πάντας. ὅτε οὖν ὁ μακάριος προσῆλθεν τὸν θεῖον ἄνθρακα τοῖς φωτισθεῖσιν

XSCVO

1 ποιήσωμεν SCV : -σομεν X 4 εἰσήλθομεν XC : -ωμεν S -αμεν V 5 ante καὶ verbum δὲ hab. X 7 ἀπεχώρισεν XS : ἀπεχώρισαν CV 8 μὲν om. S 9 τὰ om. S 9 ἀρκτῷα μέρη : ἄκρα V 11 διανοιχθῆναι : διαρυγίναι S 12 καὶ (1) om. V 12 κατελθεῖν XSC : κατῆλθεν V 13 περικυκλῶσαι XSC : περιεκύκλωσεν V 13 post αὐτόν verba καὶ πάντας τοὺς τὸ βάπτισμα λαβόντας hab. V 13 ὄντος XC : ὄντως SV 13 τῶν om. C 14 πολὺ om. S 14 δὲ om. V 14 ἔπεσεν XS : ἐπέπεσεν CV 15 τὸν θεῖον ἄνθρακα] *божественный уголь* Usp 15 φωτισθεῖσιν nos : φωτίσθήσιν C φωτισαμάσιν XSV

ἐπιδοῦναι, ἐγένετο τὸ πρόσωπον αὐτοῦ ὡς εἶδος πυρός, οὐ μόνον δὲ τὸ πρόσωπον, ἀλλὰ κατὰ τὸ γεγραμμένον, ὅλον τὸ ὁρώμενον σῶμα, ὡς καὶ σὺν δάκρυσι πολλοῖς μετὰ φόβου εἰπεῖν, "εὐλογητὸς κύριος τῶν δυνάμεων ὁ καθήμενος ἐπὶ θρόνου δόξης τῆς βασιλείας σου, ὁ ποιῶν τοὺς ἀγγέλους σου πνεύματα καὶ τοὺς λειτουργούς σου πυρὸς φλόγα." προσῆλθεν δὲ κατέχων ἐν τῇ ἁγίᾳ χειρὶ τὸν πύρινον ἄνθρακα, ἤγουν τὸ σῶμα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐμοῦ δὲ τὸ ποτήριον κατέχοντος, εἰρηκότος μου τὸ προσελθεῖν αὐτοὺς μετὰ φόβου, οὐδεὶς ἐτόλμα προσψαῦσαι καὶ μεταλαβεῖν. ὁ οὖν μακάριος πρὸς αὐτούς, "προσέλθετε, τέκνα μου, καὶ μεταλάβετε τῶν ζωοποιῶν μυστηρίων τοῦ σώματος καὶ αἵματος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. ταῦτα, τέκνα μου, ζωοποιοῦσιν ὑμᾶς, οὐ καταφλέγουσιν." προσῆλθον οὖν φόβῳ πολλῷ καὶ μετέλαβον, καὶ ἐν τῷ συμπληρωθῆναι τὴν ἁγίαν μετάληψιν καὶ ἐμπλησθῆναι ἅπαντας πνεύματος ἁγίου, ἀπέλυσεν πάντας εἰς τοὺς ἑαυτῶν οἴκους, ἕκαστος τὸν ἴδιον ἐγγυητὴν

XS (3 εὐλογητός - 4 ποιῶν mutil.) CVO

3 - 5 Ps. 103:4

1 δὲ om. C 2 κατὰ om. V 3 ante φόβου verbum θεοῦ hab. V 5 σου (1) V : αὐτοῦ XSC 5 σου (2) V : αὐτοῦ S σοι C, om. X 6 ἁγίᾳ om. C 6 ἤγουν om. XSC 6 - 7 τὸ σῶμα om. C 7 - 8 τὸ ποτήριον κατέχοντος] потиръ держа Usp 8 αὐτοὺς : αὐτοῖς C 10 τέκνα XSC : τεκνία V 10 μεταλάβετε] комкайтесь Usp 12 μου om. X 12 ὑμᾶς S : ἡμᾶς X, om. CV 12 post ὑμᾶς verbum καὶ hab. C 14 ἅπαντας XS : πάντας V

παραλαβών. ἐγγυητὴν δὲ λέγω τὸν τοῦ βαπτιζομένου ἀνάδοχον. οἱ οὖν ἀπελθόντες ἄπιστοι ἦλθον καὶ αὐτοὶ κράζοντες, "ἐλέησον ἡμᾶς, ἅγιε Παγκράτιε. δὸς καὶ ἡμῖν τὴν χάριν τοῦ ἁγίου βαπτίσματος." ὁ δὲ μακάριος Παγκράτιος πρὸς τὸν λαόν, "τεκνία μου, ποιήσωμεν τὴν κλάσιν τοῦ ἄρτου καὶ μακροθυμήσατε σήμερον καὶ αὔριον ἀξιοῦσθε τῆς δι' ὕδατος καὶ πνεύματος ἀναγεννήσεως." ὁ οὖν Βονιφάτιος πρὸς τὸν μακάριον, "ἀνάβωμεν, πάτερ, εἰς τὸ πραιτώριον." ὁ δὲ μακάριος εἰρηνεύσας τὸν λαὸν καὶ ἐπευξάμενος ἀπέλυσεν αὐτούς. ἦσαν δὲ τὸν ἀριθμὸν ὡσεὶ πεντάκις χίλιοι, οἷς ἦν συνταξάμενος ἐλθεῖν τοῦ βαπτισθῆναι ὑπ' αὐτοῦ, οἳ καὶ ἰδόντες θαῦμα μέγα, ὅτε ἡ θεία λειτουργία ἐπετελεῖτο, ἔλεγον ἐνώπιον τοῦ ἡγεμόνος καὶ πάντων δυναστῶν τῆς πόλεως ταύτης ὅτι, "ἅπαντες ἡμεῖς ἐν τῷ Φιλικῷ Τοπίσκῳ εἱστήκαμεν, καθὼς ἐκέλευσας ἡμῖν ἀπελθεῖν, κύριε ἡγεμών. ὅτε οὖν ὥρας μιᾶς διάστημα ἐγένετο, εἴδομεν πῦρ κατελθόντα ἐκ τῶν ὑψωμάτων τοῦ οὐρανοῦ καὶ περιεκύκλωσε τὴν ἐκκλησίαν καὶ πάντας

XSCVO

1 δὲ om. XSC 2 κράζοντες XS : λέγοντες V κατακράζοντες C 3 ἁγίου βαπτίσματος XV : ἁγίου σου βαπτίσματος S ἁγίου σου πνεύματος C 4 τόν λαόν XCV : αὐτοὺς S 4 τεκνία V : τέκνα XSC 5 μακροθυμήσατε XC : -ίσατε S -ήσετε V 6 ἀναγεννήσεως ante δι' ὕδατος tr. V 7 ἀνάβωμεν SV : -ομεν XC 8 ἦσαν XSV : εἶσαν C 9 post συνταξάμενος verba αὐτοῖς τοῦ hab. S 9 ἐλθεῖν XSV : ἀνελθεῖν C 9 τοῦ XCV : καὶ S 10 οἳ καὶ ἰδόντες θαῦμα μέγα : ἦσαν δὲ καὶ θαύμα μέγα ἰδόντες S 10 ὅτε XCV : ὅτι S 11 ἐπετελεῖτο XC : ἐπειτελείτω S ἐπιτελεῖτο V 12 δυναστῶν XCV : τῶν ἐπισίμων S 12 ταύτης om. S 13 εἱστήκαμεν nos : ἱστήκειμεν XS ἱστίκημεν C ἡστήκημεν V 13 ἀπελθεῖν om. S 14 εἴδομεν nos : οἴδαμεν XSC ἴδαμεν V 15 ὑψωμάτων τοῦ om. C 15 οὐρανοῦ XSV : οὐρανῶν C

τοὺς ἐν τῇ ἐκκλησίᾳ. ἡμεῖς δὲ ἐνεοὶ γεγονότες ἕστημεν ὁρῶντες τὸ θαῦμα ἐν αὐτῷ τῷ τόπῳ μέχρις ὅτου ἀνῆλθεν τὸ εἶδος τοῦ πυρὸς εἰς τὸν οὐρανόν." ταῦτα εἶπον οἱ ἄνδρες, ἡμεῖς δὲ ἀνήλθομεν εἰς τὸ πραιτώριον σὺν Βονιφατίῳ καὶ Ξανθίππῳ τῷ φιλοσόφῳ, καί τινων συγκτητόρων τῆς πόλεως, ἅμα καὶ Λυκαονίδῃ τῷ ναυκλήρῳ, λαβόντες καὶ τὸ κατασφάλιον τοῦ εὐκτηρίου. ἀπελθόντων δὲ ἡμῶν, ποιήσας εὐχὴν ἐκάθισεν, κελεύσας ἐμὲ καθίσαι ἐν τοῖς δεξιοῖς αὐτοῦ, καὶ Βονιφάτιον ἐν τοῖς ἀριστεροῖς. Ξάνθιππος δὲ καὶ Λυκαονίδης καὶ πάντες, οὓς κέκληκεν Βονιφάτιος εἱστήκεσαν. κλάσας οὖν ὁ μακάριος ἄρτον ἐπέδωκεν αὐτοῖς. πάντες δὲ προσεῖχον τῷ μακαρίῳ ὡς ἀληθῶς ἐπουρανίῳ ἀνθρώπῳ καὶ ἐπιγείῳ ἀγγέλῳ. πληρωθέντων οὖν τῶν πολυτελῶν βρωμάτων οὐδὲν ἐκ τῶν ἐδεσμάτων τῶν κρεῶν ἤσθιεν ὁ μακάριος ἢ οἶνον εἰ μὴ ὀλιγοστὸν διὰ τὸ ῥᾷον τοῦ σώματος· λέγει πρός με ὁ μακάριος, "τέκνον Εὐάγριε, λάβε τὸ θεόπεμπτον εὐαγγέλιον, ὅπερ ἡμῖν δέδωκεν Ξάνθιππος ὁ ἡμέτερος υἱός, νῦν δὲ μετονομασθεὶς

XS (6 ἡμῶν - 8 ἐν τοῖς mutil.) CVO

1 ἐνεοὶ XSC : ἐννεοὶ V 2 εἶπον XSC : εἶπαν V 3 post δὲ verba ἀνέστημεν καὶ hab. C 3 ἀνήλθομεν XC : -ωμεν S -αμεν V 4 συνκτητόρων : συνκλητόρων C 5 ναυκλήρῳ : ναυκληρίῳ S 7 ἐκάθισεν V ἐκάθησεν XC 7 ἐμὲ CV : ἐμοὶ X 7 καθίσαι CV : καθῆσαι X 7 αὐτοῦ om. V 7 Βονιφάτιον XV : Βονιφάτιος C 8 Ξάνθιππος XSC : Ξάνθιππον V 8 δὲ XV : τε C, om. S 8 Λυκαονίδης SXC : Λυκαονίδην V 8 πάντες C : πάντας XV, om. S 8 - 9 οὓς κέκληκεν Βονιφάτιος : οἱ κεκλημένοι S 9 εἱστήκεσαν nos : ἱστήκησαν X ἡστίκησαν S, om. CV 9 κλάσας οὖν : καὶ κλάσας S 10 δὲ XCV : γὰρ S 10 προσεῖχον CV : προσῆχον X προσέχων S 11 ἀνθρώπῳ om. V 12 τῶν (1) om. V 13 post λέγει verbum οὖν hab. XCV 13 - 14 πρός με ante τέκνον tr. V 14 post μακάριος verbum Παγκράτιος hab. V 14 θεόπεμπτον X : θεώπεμπτον S θεόπνευστον CV 15 ἡμῖν post Ξάνθιππος tr. S 15 δέδωκεν XSC : ἔδωκεν V 15 υἱός XS : ἀδελφὸς ὁ C, om. V 15 μετονομασθεὶς V : μετενομασθεὶς SC ὀνοματισθεὶς X

παρ' ἐμοῦ Ἐπαφρόδιτος ἐν τῇ ἁγίᾳ κολυμβήθρᾳ, καὶ ἀνάγνωθι τῇ ἀκοῇ τῆς ἡμετέρας ἀδελφότητος." ἀναστὰς οὖν ἐγὼ ἀνέγνων ἐνώπιον τοῦ μακαρίου καὶ πάσης τῆς ἐν Χριστῷ συνοδίας. ὁ οὖν μακάριος πρός με, "τέκνον, ἀνάγνωθι ἡμῖν τὴν τοῦ σωτῆρος γέννησιν." τοῦτο δὲ ὑπέλαβον ἐγὼ τὸν μακάριον ποιεῖν διότι οἱ πολλοὶ ὁρῶντες αὐτὸν τὴν θείαν χάριν τοῦ ἁγίου πνεύματος περιβεβλημένον ἐνόμιζον θεὸν εἶναι, καὶ χάριν τούτου συχνοτέρως ἡ τῶν εὐαγγελίων τετρὰς ὑπανεγινώσκετο αὐτοῖς, ἵνα γνῶσιν τὸν ἀληθινὸν θεὸν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν εἶναι σωτῆρα καὶ λυτρωτὴν τοῦ παντός. ἐπειδὴ οἶδα τὸν μακάριον τὴν τοῦ εὐαγγελίου τιμὴν οὕτως παρέχοντα, ὡς εἶναι αὐτὸν ἐν τῇ μυστικῇ τραπέζῃ ἀεί. μόνον δὲ τῷ καιρῷ τῆς ἀναγνώσεως ἐλάμβανεν αὐτὰ ὁ μακάριος ἐν τῷ εὐκτηρίῳ καὶ ἀνεγίνωσκεν ἐπὶ τραπέζης διὰ τὸ γνῶναι τοὺς ὄχλους, ὡς προγέγραπται, τὸν κατελθόντα κύριον σῶσαι τὸ γένος τῶν ἀνθρώπων, καὶ μὴ λέγουσιν εἶναι θεὸν Ἀπόλλωνα τὸν μακάριον. πληρωθέντος οὖν τοῦ ἀρίστου καὶ

XS (2 ἐγὼ - 4 ἡμῖν mutil.) CVO

1 ἁγίᾳ XSC : θείᾳ V 1 κολυμβήθρᾳ : ἐκκλησίᾳ S 3 post μακαρίου verbum Παγκρατίου hab. V 5 οἱ om. C 5 post πολλοὶ verbum ἔλεγον hab. V 6 - 7 τοῦ ἁγίου πνεύματος - χάριν om. XS, propter homoeoteleuton, τοῦ ἁγίου πνεύματος περιβεβλημένον ἐνόμιζον θεὸν εἶναι suppl. X in marg. 6 ἐνόμιζον om. CV 7 τετρὰς XS : στερρὰς C διδασκαλία V 8 ὑπανεγινώσκετο XS : ὑπαναγινωσκέτο C ἀνεγινόσκετο V 11 αὐτὸν SV : αὐτῷ XC 11 ἀεί V : ὡσεὶ XSC 11 δὲ om. XSC 11 ἀναγνώσεως XSV : ἀναγεννήσεως C 12 αὐτὰ om. XSC 12 ἐν τῷ εὐκτηρίῳ : fort. ἐκ τοῦ εὐκτηρίου emendandum? 13 ante τραπέζης verbum τῆς hab. S

ἐξαναστάντων πάντων, κατήλθομεν ἡμεῖς εἰς τὸ εὐκτήριον, καὶ Βονιφάτιος σὺν Ξανθίππῳ καὶ Λυκαονίδης σὺν ἡμῖν, καὶ ἀνακλιθεὶς ὁ μακάριος εἰς μικρὸν κλινάριον τριχίνοις ἠμφιεσμένον, ἐκαθέσθη καὶ Βονιφάτιος παρὰ τοὺς πόδας αὐτοῦ. Λυκαονίδης δὲ καὶ Ξάνθιππος <...>. ὁ δὲ Βονιφάτιος πρὸς τὸν μακάριον, "δέομαί σου, τίμιε πάτερ, ἔθος ἡμῖν ἐστιν τοῖς ἐναντιουμένοις ἡμῖν τὰς ἀνδραγαθίας ἡμῶν ἐμποιεῖσθαι καὶ τούτους τροποῦσθαι. ἔχοντες δὲ τὴν εὐχήν σου, ἐξέλθωμεν." ὁ δὲ μακάριος πρὸς Βονιφάτιον, "ἄκουσον, τέκνον Βονιφάτιε, οὐ πρέπον ἐστιν Χριστιανοῖς ἀνδράσι μαχαίρας σπᾶσθαι καὶ αἵματα ἐκχέειν. ὅμως, τέκνον, τὴν αἴτησίν σου πληρῶ, καὶ ἄπελθε, ἔχων τὸν θεὸν βοηθοῦντά σοι καὶ τροπούμενον ἐνώπιόν σου πάντας τοὺς ἐναντίους, ὡς ἐνώπιον Ἀβραὰμ τοὺς ἀλλοφύλους καὶ ἐνώπιον Μωϋσέως, καὶ συμπολεμήσῃ σοι ὡς Ἰησοῦ τοῦ Ναυΐ, καὶ κατισχύσῃ σε ὡς Δαυὶδ τὸν πρᾶον κατὰ τοῦ Γολιάθ, ἐμβάλῃ δὲ τὸν φόβον αὐτοῦ εἰς τὴν καρδίαν σου, εἰς τὸ γνῶναί σε τὴν εὐθείαν ὁδόν. ἄπελθε, τέκνον,

XSCVO

1 κατήλθομεν XC : -αμεν SV 2 Λυκαονίδης XS : Λυκαονίδη CV 2 ἀνακλιθεὶς X : ἀνακληθεὶς SCV 3 μικρὸν post κλινάριον tr. V 3 τριχίνοις ἠμφιεσμένον] гаригомь одѣянъ сѣбе Usp 4 δὲ XSC : τε V 4 post Ξάνθιππος lacunam statui, fort. εἱστήκεσανsupplendum (cf. l. 3 supr.) 5 τίμιε post πάτερ tr. V 8 ἐξέλθωμεν XSV : -ομεν C 9 πρέπον XV : πρέπων SC 9 μαχαίρας SCV : μαχαίρες X 13 συμπολεμήσῃ X : -ήσει SCV 13 Ναυΐ SCV : Ναυή X 13 κατισχύσῃ nos : κατισχύσει XSCV 14 σε XSC : σοι V 14 τὸν(ι) XSC : τὸ V 14 κατὰ τοῦ Γολιάθ om. XSC 14 ἐμβάλῃ nos : ἐμβάλει XSCV

τὰ τῆς πόλεώς σου πράγματα συνιστῶν." ὁ δὲ Βονιφάτιος πρὸς τὸν μακάριον, "πάτερ, διὰ χειρῶν σου θέλω διοικηθῆναι τὰ πάντα." ὁ δὲ μακάριος, "τέκνον, ἡμῖν τὸ τῆς τάξεως ἡμῶν ἀρκεῖ. ἐν δὲ τῇ πόλει ὡς ἦν ἀπ' ἀρχῆς τὸ ἔθος τῆς τάξεως τῆς ἡγεμονίας ποίησον· ὁ γὰρ μαθητὴς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, Πέτρος ὁ ἀπόστολος καὶ διδάσκαλος τῶν ἐθνῶν, κἀμοῦ τοῦ πρὸς ὑμᾶς ἐληλυθότος, ταύτας τὰς κοσμικὰς διοικήσεις ἐκφεύγειν ἡμᾶς παρῄνεσεν καὶ πάντοτε ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς τὴν ἡμετέραν διάκρισιν κατέχειν. βλέπε, τέκνον, ἐν τῇ πόλει ἄνδρα εὐσεβῆ καὶ σοφὸν καὶ ἐπιστήμονα καὶ ἱκανόν, καὶ αὐτὸν κατάστησον ἐν τοῖς πράγμασι τῆς πόλεως καὶ ἡμεῖς συμπαρῶμεν αὐτῷ." ποιήσας οὖν συμβούλιον Βονιφάτιος μετὰ τῶν μεγιστάνων αὐτοῦ, προέβαλε τὸν υἱὸν τοῦ ἀνηλεοῦς Αὐριλιανοῦ πολιτάρχην τοῦ εἶναι εἰς τὴν τάξιν τοῦ πατρὸς αὐτοῦ, καὶ αὐτὸν ὄντα ὁμοιότροπον αὐτοῦ, ὃς οὐδέποτε ἠθέλησεν τὸ βάπτισμα λαβεῖν λέγων, "ἕως οὗ λάβῃ ὁ κύριός μου Βονιφάτιος τὸ βάπτισμα, οὐδὲ ἐγὼ

XS (9 ἐν τῇ - 10 κατάστησον mutil.) CVO

1 πράγματα om. C 2 διοικηθῆναι nos : διοικιθῆναι XSC διοικεῖσθαι V 3 τέκνον ἡμῖν om. S 4 post ἡγεμονίας verbum σου hab. V 5 τοῦ CV : αὐτοῦ XS 6 ὑμᾶς : ἡμᾶς V 6 ἐληλυθότος : προσεληλυθότος S 6 ταύτας post κοσμικὰς tr. S 7 παρῄνεσεν : παρήνεσαι X 8 ᾠδαῖς om. V 9 εὐσεβῆ X εὐσεβεῖ C εὐλαβὴ V 11 συμπαρῶμεν V : συμπαρῆμεν XC συνπαρείμεν S 11 ante Βονιφάτιος verbum ὁ hab. V 12 προέβαλεν S : προέβαλον XV προσεβάλον C 12 τοῦ ἀνηλέους om. C 12 ἀνηλεοῦς nos : ἀνηλέου X ἀνϊλίου S ἀνειλέου V 13 τοῦ εἶναι - ὄντα om. S 14 ante βάπτισμα verbum ἅγιον hab. S 14 λαβεῖν post ἠθέλησεν tr. S 14 ante λέγων verba μόνον οὐχὶ hab. CV, fort. recte 15 λάβῃ XCV : λάβει S

εἰσδέχομαι αὐτό." ἦν δὲ ἡ προσονομία αὐτοῦ Ἔλιδος, καὶ λοιπὸν ἐνέγκαντες αὐτὸν ἔστησαν ἐνώπιον τοῦ μακαρίου, συνελθόντος καὶ παντὸς τοῦ πλήθους τῆς πόλεως. λέγει οὖν ὁ Βονιφάτιος πρὸς τοὺς τῆς πόλεως, "γνωρίζω ὑμῖν, ἀδελφοί, τὸν νέον ἡμῶν πολιτάρχην, σὺν τῷ πατρὶ ἡμῶν καὶ ποιμένι Παγκρατίῳ· ἡμεῖς γὰρ διὰ τῆς χάριτος Ἰησοῦ Χριστοῦ καὶ τῆς εὐχῆς αὐτοῦ ἀδνουμῆσαι ἔχομεν πάντας τοὺς περὶ ἡμᾶς καὶ ἐξελθεῖν πρὸς τὸ τοὺς ἐναντιουμένους ἡμῖν τροπώσασθαι." οἱ δὲ τῆς πόλεως ἀκούσαντες ταῦτα παρὰ Βονιφατίου, ἠλάλαξαν ἐπαινοῦντες ἅμα καὶ γονυπεποῦντες αὐτῷ. ὁ δὲ Βονιφάτιος πρὸς τὸν μακάριον, "διέλθωμεν, πάτερ, εἰς τὸ πεδίον τοῦ ἀδνουμῆσαι τοὺς περὶ ἡμᾶς λαούς, ἵνα ἐπεύξῃ αὐτοῖς." ὁ δὲ μακάριος πρὸς αὐτόν, "τέκνον, μακροθύμησον τὴν οὖσαν ἡμέραν, ἵνα καὶ οἱ ἄνδρες οἱ τὸ ἅγιον βάπτισμα συνταξάμενοι ἡμῖν λαβεῖν φθάσωσιν." ὁ δὲ Βονιφάτιος, "γενέσθαι ἔχει ἀριθμὸς ἡμερῶν τριάκοντα, ἵνα καὶ οἱ τῶν ἐπαρχιῶν ἡμῶν συνέλθωσι καὶ βουλὰς πολεμικὰς ποιήσωμεν, ποίοις τόποις τὸν

XS (5 ἡμεῖς - περὶ mutil.) CVO

1 εἰσδέχομαι XCV : -ωμεν S 1 αὐτό SV : αὐτῷ XC 2 καὶ om. XCV 3 post πάντος verba καὶ παντὸς hab. C 4 ἡμῶν (=) om. V 7 τὸ om. CV 8 post δὲ verbum μεγίστανες hab. S 10 διέλθωμεν nos : -ομεν XSCV 10 ἀδνουμῆσαι XC : ἀδνουμεῖσαι S ἀδνουμεῦσαι V 1 post ἵνα verbum καὶ hab. V 11 αὐτοῖς XCV : αὐτοὺς S 13 συνταξάμενοι V : ταξάμενοι XSC 14 ante γενέσθαι verbum πάτερ hab. V 15 ποίοις τόποις τὸν XC : τὸ ποίοις τόποις τὸν S ἵνα καὶ τὸν πιστὸν V

πόλεμον κροτήσωμεν. ταῦτα δέ, πάτερ, ποιοῦμεν, οὐ κατ' ἔνδειαν χρημάτων ἢ ἑτέρων σκύλων, μὴ γένοιτο, ἀλλὰ τὰς ἀνδραγαθίας ἡμῶν ἐνδεῖξαι τοῖς ἐναντιουμένοις ἡμῖν ἐμποιούμενοι." ὁ δὲ μακάριος πρὸς αὐτόν, "τέκνον, χειροτονῶ καὶ τὸ ἡμέτερον τέκνον Εὐάγριον τὸν κλῆρον τοῦ πρεσβυτέρου, καὶ ἔλθῃ μεθ' ὑμῶν, καὶ ἄπελθε ἐν εἰρήνῃ." ὁ δὲ Βονιφάτιος ῥίψας ἑαυτὸν εἰς τοὺς πόδας τοῦ μακαρίου ἔλεγεν περιπτυσσόμενος, "ὡς οἶδας, πάτερ, τὸ συμφέρον τῆς πόλεως ταύτης καὶ ποίμνης σου, ποίησον· ἡμεῖς γὰρ κατὰ πάντα, ἃ λαλήσεις ἡμῖν, ἀκουσόμεθά σου, ὡς Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, πεπιστευκότες ἐν σοὶ τὰς ἡμετέρας ψυχάς." ὁ δὲ μακάριος πρὸς αὐτόν, "τέκνον, ἄνελθε εἰς τὸ πραιτώριόν σου, καὶ τὰ καθ' ἡμᾶς βραβεύσει κύριος Ἰησοῦς Χριστὸς ὁ ἀληθινὸς θεός." ἀνέστη οὖν ὁ Βονιφάτιος σὺν Ξανθίππῳ καὶ Λυκαονίδῃ, καὶ ἀνῆλθεν εἰς τὸ πραιτώριον. τῇ δὲ ἐπαύριον συνῆλθεν τὸ πλῆθος τοῦ βαπτισθῆναι ὑπὸ τοῦ μακαρίου. ἀναστὰς οὖν κατήχησεν ἅπαντας, καὶ ἐβάπτισεν πανοικὶ καὶ μετέδωκεν τῶν ἀχράντων

XSCVO

2 χρημάτων : ποιοῦμεν S 2 ἢ : εἰς V 4 ἡμέτερον : ὑμέτερον S 4 τὸν om. XV 5 πρεσβυτέρου XSC : πρεσβυτερίου V 5 ἔλθῃ V : ἔλθοι XSC 7 οἶδας : εἶδας S 8 λαλήσεις XSC : ἐλαλήσας V 9 ἀκουσόμεθα XV : -σώμεθα SC 10 ἡμετέρας ψυχάς XCV : ψυχὰς ἡμῶν S 13 post πραιτώριον verbum σου hab. S 14 post μακαρίου verbum Παγκρατίου hab. C 15 πανοικὶ X : πανοικεί, corr. πανοικὴ C πανοικεὶ SV

μυστηρίων, καὶ ἐπευξάμενος ἀπέλυσεν ἅπαντας ἐμπεπλησμένους πνεύματος ἁγίου, δοξάζοντας τὸν θεὸν τὸν ἐπισκεψάμενον τὸ ἴδιον πλάσμα καὶ λυτρωσάμενον ἐκ τῆς πλάνης τοῦ Βελίαρ διὰ τῆς φρικτῆς ταύτης ἀναγεννήσεως. δύο δέ τινες ἐκ τῆς πόλεως νεάνιδες ὑπάρχουσαι ἀδελφαὶ ὁμοπάτριαι καὶ ὁμομήτριαι, πάνυ τρυφεραὶ καὶ εὔοπτοι, ὧν οὐχ ὑπῆρχεν οὐ πατὴρ οὐ μήτηρ, ὑπὸ δὲ τῶν τῆς πόλεως πρώτων, ὡς σώφρονες οὖσαι, παρεκαλοῦντο τοῦ προσομιλῆσαι εἰς γάμου κοινωνίαν, καὶ οὐκ ἠνέσχοντο τῆς τοιαύτης ὑπακοῦσαι συμβουλίας. αὗται δὲ προσῆλθον τῷ μακαρίῳ μετὰ τὸ λαβεῖν αὐτὰς τὸ ἅγιον βάπτισμα γονυπετοῦσαι ἐν δάκρυσι καὶ λέγουσαι, "δεόμεθά σου, πάτερ καὶ ἅγιε τοῦ θεοῦ, ἐπίβλεψον εἰς τὴν ὀρφανίαν ἡμῶν, καὶ ποίησον ἔλεος μεθ' ἡμῶν τῶν πιστευσάντων τὰς ψυχὰς εἰς Χριστὸν Ἰησοῦν τὸν κύριον ἡμῶν καὶ εἰς σέ." ὁ δὲ μακάριος πρὸς αὐτάς, "ἐπειδή, νεάνιδες, ἤλθατε, γυναῖκες οὖσαι, θεάσασθαι Παγκράτιον ἐπίσκοπον, εἴπατε νῦν ὡς θυγατέρες τὴν αἰτίαν τοῦ πράγματος." αἱ δὲ

XS (12 ἔλεος - 13 εἰς σέ mutil.) CVO

2 - 3 2 Cor. 6:15

3 post λυτρωσάμενον verbum αὐτὸ hab. V 3 τοῦ Βελίαρ : τῶν εἰδόλων S 3 διὰ om. X 4 ταύτης post ἀναγεννήσεως tr. XSC 5 post ἀδελφαὶ verba ὄνομα τῇ μιᾷ Σεγία καὶ ὄνομα τῇ ἑτέρα Σουσάννη hab. C, fort. recte cf. infr. 6 δὲ om. CV 7 τοῦ om. XSC 7 εἰς XSC : πρὸς V 8 κοινωνίαν XCV : κοινωνίας S 8 ἠνεσχόντο SV : ἠνήχοντο XC 8 τῆς τοιαύτης ὑπακοῦσαι συμβουλίας om. XSC 9 - 10 αὗται - βάπτισμα : αὗται οὖν μετὰ τὸ ἀξιωθῆναι τὸ ἅγιον δέξασθαι βάπτισμα προσῆλθον ἐν μιᾷ τῶν ἡμερῶν τῷ ἐν ἁγίοις Παγκρατίῳ V 9 δὲ ante τῷ μακαρίῳ tr. XS, om. C 9 προσῆλθον : προσελθοῦσαι XS 11 καὶ (1) om. V 11 ἐπίβλεψον XS : ἐπίβλεψαι CV 12 ποίησον XS : ποίησαι CV 12 πιστευσάντων X : καταπιστευσάντων CV 13 Ἰησοῦν om. V 13 δὲ XCV : οὖν S 14 θεάσασθαι XSV : θεάσασθε C

x 239.4

παρθένοι πρὸς τὸν μακάριον, "ἅγιε τοῦ θεοῦ, ἐκ τῶν ὁσίων χειρῶν σου κατήλθομεν εἰς τὴν ἁγίαν κολυμβήθραν. οὐκ ἤλθομεν δὲ πειράσαι τὴν σὴν ἁγιωσύνην, μὴ γένοιτο, ἀλλὰ δυσωποῦμεν, ἐπειδή, πάτερ, ὀρφαναὶ καὶ ἄνανδροι ὑπάρχομεν, καὶ οὐ συνέλαβεν ἡ καρδία ἡμῶν τοῦ συνάφειαν ἀνδρὸς σχεῖν, μάλιστα δὲ ἀφ' οὗ τὸ ἅγιον βάπτισμα ἐδεξάμεθα, τῶν πρώτων τῆς πόλεως πολλὰ ἡμῖν προσποιησάντων συναφθῆναι, ἀλλὰ καὶ πρὶν ἢ ἡμᾶς τὸ ἅγιον βάπτισμα λαβεῖν, παρῃτησάμεθα, καὶ νῦν παραιτούμεθα πλειότερον, καὶ τῇ σῇ ἁγιωσύνῃ καταφεύγομεν. συγκαταρίθμησον τὰς οἰκέτιδάς σου τῇ ποτὲ ἱερίσσῃ Χρυσῇ, νῦν δὲ πιστῇ καὶ φρονίμῃ δούλῃ Χριστοῦ τοῦ θεοῦ, καὶ δὸς ἡμῖν τὸ διακονικὸν καὶ ἅγιον σχῆμα, ἵνα διὰ τῆς πρεσβείας σου διπλῆς χάριτος ἀξιωθῶμεν." ὁ οὖν μακάριος ἀκούσας ταῦτα παρὰ τῶν παρθένων, εἶπεν, "ἔσθε ὑγιαίνουσαι ἐν Χριστῷ Ἰησοῦ" καὶ ἀναβλέψας εἰς τὸν οὐρανόν, εἶπεν, "εὐχαριστῶ σοι, ὁ θεός, καὶ δοξάζω σε, ὁ πᾶσι παρέχων τῆς θεϊκῆς σοῦ χάριτος τὴν ἀγαθότητα, ὁ πάντας πρός σε

XS (8 παρῃτησάμεθα - συγκαταρίθμησον mutil.) CVO

15 - 213.2 Mt. 11:28

1 χειρῶν post σου tr. X 2 κατήλθομεν XC : -ωμεν S -αμεν V 2 ἤλθομεν XC : -ωμεν S -αμεν V 2 δὲ om. C 4 καὶ ἄνανδροι om. C 4 ὑπάρχομεν : -ωμεν S 5 ἀφ' οὗ om. S 7 πρὶν ἢ nos : πρινὶ XSV πρὶν C 7 λαβεῖν : λαμβάνον S 9 τὰς οἰκέτιδάς XSC : ταῖς οἰκέτιδές V 10 Χρυσῇ om. V 10 φρονίμῃ nos : φρονήμη SC φρονίμῳ XV 10 ante δούλῃ verbum καὶ hab. V 10 post δούλῃ verbum σου hab. S 10 καὶ δὸς XSC : δὸς καὶ V 11 καὶ om. XSC 12 ἀξιωθῶμεν CV : ἀξιωθόμεν S καταξιωθῶμεν X 13 ἔσθε om. XSV 13 Ἰησοῦ om. XC 14 σοι XC : σε SV 14 δοξάζω σε nos : δοξάζο σε X δοξάζω σαι S δοξάζω CV 15 πρός σε post προσκαλούμενος tr. V ^ 213.1

προσκαλούμενος τοὺς κεκοπιακότας καὶ πεφορτισμένους, τῷ ζυγῷ σου τῷ χρηστῷ καὶ τῷ φορτίῳ τῷ ἐλαφρῷ, εἰς τὴν αἰώνιον ζωὴν καὶ ἀπόλαυσιν τῶν ἀνεκλαλήτων ἀγαθῶν σου εἰσαγαγών," καὶ στραφεὶς ὁ μακάριος πρὸς τὰς παρθένους εἶπεν, "οὕτως, τέκνα, καλὴν μερίδα ἐξελέξασθε καὶ καλὸν θησαυρὸν αἰτήσασθε." πάραυτα οὖν ὁ μακάριος προσκαλεσάμενος τὴν διάκονον Βενεδίκταν, εἶπεν αὐτῇ, "ἰδού, τέκνον, ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καὶ συνοδίαν σου περιεποιήσατο," καὶ ἀναστὰς ὁ μακάριος, παραλαβὼν κἀμέ, ἐχειροτόνησεν τὴν μίαν τῶν παρθένων, ἐάσας τὴν νεωτέραν, παραδοὺς αὐτὴν τῇ πρωτοδιακόνῳ, ποιήσας αὐταῖς ὁ μακάριος κελλίον ἐν ἑνὶ τόπῳ τοῦ εὐκτηρίου, ἵνα ἐν αὐτῷ ἵστανται καὶ ἑσπερινῷ καὶ ἑῳθινῷ κανόνι καὶ ὅτε ὁ θεῖος ὕμνος ἐπετελεῖτο. ἐπειδὴ καὶ ἐν ταῖς χειροτονίαις τῶν διακονισσῶν ἦλθεν ἡμῖν ὁ λόγος σαφῶς, συμπληρώσωμεν πάντα τοῦ κεφαλαίου τὸν τρόπον καὶ ἐν ἑτέροις λόγοις ἐπανέλθωμεν. οὕτως λοιπὸν πολλαὶ νεάνιδες προσῆλθον τῷ μακαρίῳ, οὐ μόνον παρθένοι, ἀλλὰ καὶ χῆραι αἱ

XSCVO

1-2. cf. Mt. 11:30
4 - 5 Luc. 10:42

2 χρηστῷ XC : χριστῶ SV 2 φορτίῳ : φορτίσον σου S 3 σου ante ἀγαθῶν tr. V 3 εἰσαγαγών : εἰς ἀγαθόν V 4 οὕτως XSV : ὄντως C 5 ἐξελέξασθε V : ἐξελέξασθαι XS ἐπελέξασθαι C 5 αἰτήσασθε V : αἰτῆσθαι X αἰτεῖσθαι SC 7 σου XSC : σοι V 7 περιεποιήσατο XSV : ἐποιήσατο C 8 παραλαβὼν XSC : συνπαραλαβὼν V 8 ἐχειροτόνησεν CV : -ισεν XS 8 - 9 τῶν παρθένων XCV : πάρθενον S 9 πρωτοδιακόνῳ XS : προτοδιακόνῳ C πρώτῳ διακόνῳ V 10 ἐν (1) om. V 11 post ὅτε verbum καὶ hab. V 12 ἐπετελεῖτο X : ἐπετελείτω S ἐπιτελεῖται CV 13 σαφῶς : σαφὸς (post ἡμῖν tr.) S 13 συμπληρώσωμεν SV : συμπληρώσομεν X συνπληρώσωμεν, corr. -ομεν C 14 ἐπανέλθωμεν : ἐπανέλθωμεν, corr. -ομεν C 15 νεάνιδες : νεάνιδαι S ~~15~~ 214.1 αἳ ἐδέοντο ἡμέρας καὶ νυκτὸς X : ἀλλὰ καὶ ἄλλαι αἳ ἐδαίοντο ἡμέρας καὶ νυκτὸς S (in marg. verba περὶ παυλινῆς) ἡμέρας καὶ νυκτὸς ἐδέοντο CV

ἐν τῇ πόλει οὖσαι, αἳ ἐδέοντο ἡμέρας καὶ νυκτὸς τοῦ θεοῦ σὺν τῇ μακαρίᾳ καὶ ἁγιωτάτῃ Παυλίνῃ, πορευόμεναι ἐν νόμῳ κυρίου. ὁ δὲ Βονιφάτιος ἐκπέμψας τοὺς ταχυδρόμους εἰς τὰς ἐπαρχίας τοῦ συνελθεῖν τὰ στρατεύματα ἔτι ἡμερῶν πλείους εἴκοσι ὀκτώ, συνῆλθεν λαὸς ἀπὸ τῶν Μυλικῶν καὶ Αἰτνικῶν ὀρέων καὶ τῆς παραλίου Τίτου καὶ τοῦ σὺν αὐτῷ τέρμονος κατὰ μεσημβρίαν τοῦ Ἄγοντος τόπου. ἦν δὲ ὁ ἀριθμὸς τῶν συνελθόντων ἀνδρῶν πολεμιστῶν τῶν σπομένων ῥομφαίαν χιλιάδες πεντακόσιαι. συνελθόντων δὲ πάντων ἐν τῷ συνήθει τόπῳ, λέγει ὁ Βονιφάτιος τῷ μακαρίῳ, "διέλθωμεν, πάτερ, εἰς τὸ πεδίον τοῦ ἀδνουμίου, καὶ ἵνα ἐπεύξῃ τοῦ λαοῦ σου καὶ ἀπολύσῃς αὐτὸν εἰς τὴν παράταξιν τοῦ πολέμου." ὁ δὲ μακάριος λέγει πρός με, "τέκνον Εὐάγριε, λάβε τὰ σκεύη τὰ λειτουργικὰ καὶ τὰ ἱερὰ ἄμφια μου, τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν καὶ τὴν εἰκόνα τοῦ κυρίου καὶ τοῦ μακαρίου Πέτρου, καὶ ἀπέλθωμεν σὺν Βονιφατίῳ." λαβὼν οὖν ἅπαντα, ἐξῆλθον. ἐξῆλθεν δὲ καὶ ὁ μακάριος σὺν Βονιφατίῳ καὶ τοῖς

XSCVO

1 τοῦ θεοῦ CV : τῷ θεῷ XS 3 ἐκπέμψας XSC : πέμψας V 5 Αἰτνικῶν ὀρέων : ἐτνικῶν V 5 ante τῆς verbum ἐκ hab. V 9 ὁ om. V 9 διέλθωμεν S : διέλθομεν XV διέλθωμεν, corr. -ομεν C 10 ἐπεύξῃ XCV : ἐπεύξει S 10 καὶ (1) om. S 10 ante ἀπολύσῃς verbum ἵνα hab. V 10 ἀπολύσῃς XCV : ἀπολύσεις S 10 αὐτὸν XSV : αὐτοὺς C 13 - 14 καὶ τὴν εἰκόνα τοῦ κυρίου καὶ τοῦ μακαρίου Πέτρου V : καὶ τὰς τρεῖς εἰκόνας XSC, fort. recte 14 ἀπέλθωμεν XSC : -ομεν V 14 post οὖν verbum ἐγὼ hab. V 15 καὶ (1) om. C 15 post μακάριος verbum Παγκράτιος hab. V

τὸν μακάριον, λέγοντες ὅτι, " Ἔλιδος μετὰ τῶν Ἰουδαίων καὶ Μοντανῶν σέκρετον πεποίηκεν." εἷς δὲ νεανίσκος ἐλθὼν εἶπεν ὅτι, "παρθένον νεάνιδα ζητοῦσι παρενέγκαι ἐν τῷ σεκρέτῳ." ὁ οὖν μακάριος πρὸς τοὺς πιστούς, "τεκνία μου, ἀπέλθετε εἰς τοὺς τόπους ὑμῶν ἢ παραμείνατέ μοι, καὶ εἴτιδ' ἄν ἐστιν εἰς τὴν βουλὴν τοῦ ἀνοσίου τούτου, ποιησάτω, καὶ ὑμεῖς ἐν τῷ σεκρέτῳ μὴ παραγίνεσθε· ὁ Σατανᾶς γὰρ πεπλήρωκε τὴν καρδίαν Ἐλίδου." ὡς οὖν ταῦτα ἐλάλησεν ὁ μακάριος, ἦλθον καὶ συνελάβοντο τὰς δύο παρθένους, τήν τε μακαρίαν διάκονον καὶ τὴν ἀδελφὴν αὐτῆς τὴν νέαν, καὶ ἤγαγον εἰς τὸ μιαρὸν σέκρετον Ἐλίδου. ἰδόντες δὲ αὐτὴν οἱ μιαροὶ καὶ παμπόνηροι, εἶπον πρὸς αὐτόν, "ἀληθῶς ἡ πρόνοια τῶν μεγίστων θεῶν ἀξίαν καὶ εὐπρεπεστάτην σοι ἀνέδειξε, πολιτάρχα ἀξιώτατε." ἐλθουσῶν δὲ τῶν μακαρίων παρθένων εἶπεν Ἔλιδος πρὸς αὐτάς, "οἴδατε, γυναῖκες, ὅτι εἶπον ὑμῖν τὸ τῆς ψυχῆς μου μυστήριον. νῦν δὲ φανερῶς λέγω ὑμῖν τοῦ ἀποθέσθαι σε τοὺς λογισμοὺς τῆς γνώμης σου

XSCYVO

1 τὸν μακάριον : τὴν μακαρίαν S 3 παρθένον νεάνιδα SV : νεάνιδα X παρθένον CY 4 post μακάριος verbum Παγκράτιος hab. Y 4 τεκνία XS : τέκνα CYV 4 ἀπέλθετε XY : -ατε SV -εται C 5 ἤ om. V 5 μοι om. V 5 τὴν om. V 6 ποιησάτω XSCY : -σάτο V 6 παραγίνεσθε nos : παραγίνεσθαι XS παραγένεσθε CY παραγένεσθαι V 7 ὡς : ὁς S 8 ἐλάλησεν XCV : λελάληκεν S ἐλάληκεν Y 8 post μακάριος verbum Παγκράτιος hab. V 8 ἦλθον CYV : ἦλθων S ἦλθοντο X 8 συνελάβοντο XSCY : συνέλαβον V 9 διάκονον CYV : διάκονα XS 9 post διάκονον verbum Σουσάνναν hab. CY 9 αὐτῆς : αὐτοῦ Y 9 τὴν νέαν V : Σεῖαν XS Σεγίαν CY, fort. Σεργίαν emendandum 9 ἤγαγον XSCV : ἤγαγεν Y 10 ἰδόντες XSV : ἰδότες CY 10 αὐτὴν : αὐτὸν S 11 αὐτόν XSCY : τὸν Ἔλιδον V 11 τῶν μεγίστων θεῶν XSCY : τῶν θεῶν τῶν μεγίστων V 12 ἀνέδειξεν SV : ἀνεδείξαν XCY 12 ἀξιώτατε XCV : ἀξιάγαστε SY 13 παρθένων om. XSV 13 Ἔλιδος : Ἔλιδον S 14 ὑμῖν (2) XSCY : σοι V

καὶ πεισθῆναί μοι καὶ ἐνώπιον πάντων τῶν σοφῶν τούτων, ποιήσαντες λαμπρὸν συμπόσιον, ἐγώ τε καὶ σὺ συναπτώμεθα, ἀλλὰ θέλω, ἵνα καὶ Χριστὸν ἀρνήσῃ καὶ τῷ Σκαμάνδρῳ λίβανον προσενέγκῃς καὶ τοῖς ἐμοῖς ἀγαθοῖς ἀεὶ συναπολαύσῃς." ἡ δὲ μακαρία παρθένος ἡ νέα ἔφη, "ὦ Ἔλιδε, οὐ γενήσεται παρ' ἐμοῦ τοῦτο, ὃ λελάληκας. πλὴν οὐκ ἀρκέσει μοι ἡ τῆς σαρκὸς φθορά, ἀλλὰ καὶ τὸν κύριόν μου Ἰησοῦν Χριστὸν ἀρνήσασθαί με παραινεῖς, ἄθλιε. εὐλογητὸς κύριος ὁ θεός, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν, ὁ ῥυόμενος πτωχὸν ἐκ χειρὸς στερεωτέρων αὐτοῦ, ὅτι οὐ μὴ ἐάσω τὴν πίστιν, ἣν παρέλαβον, τὴν καθαρὰν καὶ ἀκηλίδωτον, ἀλλὰ μέχρι θανάτου ὑπὲρ αὐτῆς τὴν ψυχήν μου θήσομαι." οἱ οὖν μιαροὶ γελάσαντες σατανικὸν γέλωτα εἶπον, "ἄρα ἡ νεᾶνις αὕτη, ποῖον σύντομον ῥῆμα ἐφθέγξατο, ἢ τρυφερὰ <ὦν> αὕτη ὑπομένει αἰκισμούς;" ἡ δὲ νεᾶνις ἔφη, "ἔχουσα τὸν ἐνδυναμοῦντά με Ἰησοῦν Χριστὸν οὐκ ἡττηθήσομαι παρ' ὑμῶν, οὐδὲ μὴ τοῖς λόγοις ὑμῶν δειλανδρίσω, ἀλλ' ὡς προεῖπον, πάντα τὸν

Η οὖσα

XS (1 ἐνώπιον - 2 τε, 10 θανάτου - νεᾶνις mutil.) CYVO

7 - 9 Ps. 146:6

1 πεισθῆναι V : πισθῆναί XSCY 2 λαμπρὸν om. V 2 ἐγώ τε καὶ σὺ συναπτώμεθα] *азъ и ты совокупивъсе* Usp 2 συναπτώμεθα XSY : -όμεθα CV 3 ἀρνήσῃ XV : ἀρνήσει SCY 3 λίβανον] *тьмиянъ бѣлый* Usp 3 προσενέγκῃς XV : -εις SCY 4 συναπολαύσῃς XV : -σεις SY -σις, corr. -σης C 4 ἡ νέα om. SCY 5 γενήσεται XCYV : -ετε S 5 ἐμοῦ S : ἐμοὶ XCYV, fort. recte 5 τοῦτο om. X, post γενήσεται tr. S 5 ὃ SCYV : ὦ X 5 ante οὐκ verbum ὅμως hab. V 6 ἀρκέσει SCYV : ἀρκέση X 6 μοι XCYV : μου S 7 με XSV : μοι CV 7 παραινεῖς XCYV : παρενεῖς S 7 post θεός verba τοῦ Ἰσραήλ hab. S 8 καὶ τὴν θάλασσαν om. XSCY 9 πίστιν : πίστην C 11 θήσομαι XSCV : θήσωμαι Y 12 εἶπον XSCY : εἶπαν V 12 ἄρα ἡ νεᾶνις αὕτη om. CY 12 αὕτη V : ταύτη XS 12 ῥῆμα V : πρᾶγμα XSCY 13 ὢν supplevi 13 αὕτη XV : ταύτη SCY 13 ὑπομένει XCY : ὑπομείναι V οὐκ ἠπομένη S 14 ante Ἰησοῦν verbum κύριον hab. V 14 Ἰησοῦν om. CY 15 οὐδὲ μὴ XCY : οὐδὲ S οὐδ' οὐ μὴ V

νοῦν μου καὶ τὴν ἐπ' ἐμὲ αἴσθησιν, ἣν ἐν Χριστῷ ἀνεθέμην, ἔχουσα, τὴν θρασύτητα ὑμῶν νικήσω καὶ τῷ ἀφθάρτῳ νυμφίῳ τὴν λαμπάδα μου φυλάττουσα ἄσβεστον, συνεισέλθω εἰς τὸν οὐράνιον νυμφῶνα." ταῦτα ἀκούσας ὁ μιαρὸς ὑπὸ τῆς παρθένου τῆς νεάνιδος καὶ θυμοῦ πλησθείς, λέγει τοῖς μιαροῖς καὶ ἀκαθάρτοις Ἰουδαίοις καὶ Μοντανοῖς, "ὦ φίλοι μου καὶ μύσται, ἐλεήσατέ με, κἂν ἄρτι ἠκούσατε τῆς ἀθλίας ταύτης, ἅπερ ἐφθέγξατο πρός με." οἱ δὲ ἀνόσιοι καὶ παμπόνηροι εἶπον, "λόγοις ἀπατηλοῖς προσέλθωμεν αὐτῇ καὶ πάντως πεισθῆναι ἔχει." ὁ οὖν Ἔλιδος πρὸς αὐτήν, "ἄκουσόν μου, νεᾶνις, πεισθεῖσα τοῖς λόγοις μου, συζῆσόν μοι, ἀπολαύουσα τῶν ἐμῶν ἀγαθῶν· ἰδεῖν γὰρ ἔχεις πάντας τοὺς θησαυρούς μου, πειθομένη καὶ τῷ πλούτῳ τῆς ἐμῆς πολιταρχίας, ὡς ἀξιωθήσομαι καὶ τῆς ἡγεμονίας. ἰδού, εἶπόν σοι τὴν σωτηρίαν σου." ἡ οὖν μακαρία παρθένος πρὸς Ἔλιδον καὶ τὸ παμπόνηρον σέκρετον εἶπεν, "ἄκουσον, Ἔλιδε καὶ ὑμεῖς πάντες οἱ ἐν τῷ σεκρέτῳ, ὁ πλοῦτος ὑμῶν καὶ οἱ θησαυροὶ καὶ ἡ ἐξουσία σὺν ὑμῖν ἔστωσαν εἰς

XSCYVO

1 καὶ om. XS 1 ἀνεθέμην XSCV : ἐθέμην Y 2 post ἀφθάρτῳ verbum μου hab. Y 3 εἰς τὸν οὐράνιον νυμφῶνα om. XSCY 4 post μιαρὸς verbum Ἔλιδος hab. CYV 5 ὦ om. V 5 φίλοι : φίλη, corr. φίλοι X 6 ἠκούσατε XCYV : -σαται S 7 εἶπον XCY : εἶπων S εἶπαν V 8 ἀπατηλοῖς V : ἀπαλοῖς XSCY, fort. recte 9 πεισθῆναι YV : πισθῆναι XSC 9 μου (1) om. XYV 9 πεισθεῖσα nos : πεισθήσα CYV πισθήσα XS 10 συζῆσόν XC : σύνζησόν V καὶ σὺν ἐμοὶ S 10 post ἀπολαύουσα verbum τῶν ἐθῶν ἅμα καὶ hab. CY 10 ἐμῶν om. S 11 πειθομένη CYV : πιθομένη X, om. S 11 τῷ πλούτῳ V : τὸ πλοῦτος XSC τοῦ πλοῦτος Y 12 ἀξιωθήσομαι : -σωμαι Y 12 post ἰδού verbum οὖν hab. Y 13 σὺ om. CY 14 εἶπεν ἄκουσον Ἔλιδε καὶ ὑμεῖς πάντες οἱ ἐν τῷ σεκρέτῳ om. V, propter homoeoarchon 15 ὑμῖν SCV : ἡμῖν XY

ἀπώλειαν· ἐγὼ γὰρ πλοῦτον ἔχουσα ἐν οὐρανοῖς, πλοῦτον ἕτερον τῆς γηΐνης φαντασίας οὐ προτιμήσομαι, οὐδὲ τῇ ζωῇ ὑμῶν, οὐδὲ τοῖς ἀγαθοῖς ζήσομαι, ἔχουσα τὸν σωτῆρά μου Ἰησοῦν Χριστὸν τὸν κύριον τοῦ παντός." οἱ οὖν παμπόνηροι πρὸς Ἔλιδον, "ἀποχωρισθήτω ἡ νεᾶνις ἀπὸ τῆς διακόνου ταύτης, καὶ πάλιν ἀνακριθήτω ἡ διάκονος, ἀπούσης τῆς νέας. ἀποχωρισθέντων οὖν αὐτῶν, ἐνέγκας ὁ Ἔλιδος τὴν διάκονον, καὶ ἀναστὰς ἐκ τοῦ σεκρέτου, εἶπεν αὐτῇ κατ' ἰδίαν, "ἄκουσόν μου, γύναι, καὶ φεῖσαι τῆς ψυχῆς σου καὶ τῆς νέας ταύτης, καὶ βουλεῦσαι αὐτῇ τοῦ ὑπακοῦσαί μου." ἡ δὲ μακάρια διάκονος εἶπεν πρὸς αὐτόν, "ἐνδότε ἡμῖν ὀλίγον καὶ βουλευσόμεθα καὶ ἴσως δυνήσομαι, <ὡς> ταῖς κολακείαις σου πεῖσάς με, πεῖσαι πάλιν ἐγὼ τὴν νέαν πρὸς τὸ σὸν θέλημα." ἤρεσεν οὖν ὁ λόγος πρὸς Ἔλιδον καὶ πρὸς ἅπαν τὸ μιαρὸν σέκρετον, καὶ παραλαβοῦσα ἡ διάκονος τὴν νέαν, ἀπῆλθεν ἐν τόπῳ ἡσυχαστικῷ καὶ ἤρξαντο ἀλλήλας περιπτυξάμεναι λέγειν, "ἀγωνισώμεθα, ἀδελφικῇ στοργῇ ἀγωνισώμεθα Χριστὸν

XS (13 ἡ διάκονος - 14 περιπτυξάμεναι mutil.) CYVO

1 ἕτερον XSCY : ἕταιρον V 1 πλοῦτον post ἔχουσα tr. S 2 προτιμήσομαι CYV : προτιμήσωμαι X προτιμίσωμαι S 3 Ἰησοῦν Χριστὸν X : Χριστὸν Ἰησοῦν CYV (post ἔχουσα tr. CY) τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν S 3 - 4 τὸν κύριον τοῦ παντός om. CY 4 Ἔλιδον : Ἔλπιδον X 5 διακόνου SCYV : διάκονος X 5 ἀνακριθήτω XSCY : ἀποκριθήτω V 6 ἐνέγκας XSV : εἰσενέγκας CY 7 διάκονον SV : διάκονα CY διάβο (supr. lin.) X[1] 7 post αὐτῇ verba κατ' ἰδείαν hab. S

10 post ἐνδότε verbum δὲ hab. V (del.) 11 <ὡς> supplevi 11 πείσας XCYV : πείσαι S, ~~fort. ἔπεισάς emendandum~~ 11 πάλιν om. S 11 πεῖσαι V : πείσο X πίσω S πείσω CY 11 ἐγὼ XCYV : κἀγὼ S 12 τὴν νέαν XCYV : αὐτὴν S 13 ἅπαν XS : πᾶν CYV 13 σέκρετον V : συνέδριον XSCY, fort. recte 13 διάκονος V : διάκον X διάκων CY 14 ἐν om. X 14 ἐν τόπῳ ἡσυχαστικῷ] *мѣсто молчальное* Usp 14 περιπτυξάμεναι XCY : περιτυσσόμεναι V 15 ἀγωνισώμεθα (1) V : ἀγωνισόμεθα X ἀγονησόμεθα SCY 15 ἀγωνισώμεθα (2) V : ἀγωνισόμεθα X ἀγονησόμεθα SCY

βασιλέα ἰδεῖν καὶ τοῖς ἀνεκλαλήτοις αὐτοῦ ἀγαθοῖς κληρονόμους γενέσθαι." ἡ δὲ μακαρία διάκονος λαβομένη ἤρξατο τὴν νεάνιδα παρακαλεῖν καὶ φησὶν ὅτιπερ, "τέκνον μου καὶ ἀδελφή, τὸν πατέρα ἡμῶν τὸ σύνολον οὐκ ἐγνωρίκαμεν, ἡ μήτηρ ἡμῶν καὶ αὐτή σε μὲν ἔασεν ὡσεὶ ἐτῶν τεσσάρων, ἐμὲ δὲ ὡς ἐτῶν δεκαδύο, καὶ παρῆλθεν τὸν ἀνθρώπινον βίον, καὶ κατελείφθημεν ὀρφαναὶ εἰς τὴν πόλιν ταύτην. πολλοὶ οὖν, τέκνον μου, ᾐτήσαντο ἡμᾶς εἰς γάμου κοινωνίαν καὶ οὐκ ἠνεσχόμεθα ποτέ τινι αὐτῶν κατακαμφθῆναι καὶ τῇ φθορᾷ ἐπιδοῦναι τὰ σώματα ἡμῶν, καὶ τότε μὲν Ἑλληνίδες ὑπήρχομεν, καὶ οὕτως παρητούμεθα. πόσῳ μᾶλλον Χριστὸν ἐνδυσάμεναι νῦν οὖν, τέκνον μου καὶ ἀδελφή, ἀγωνισόμεθα τῷ βήματι τοῦ Χριστοῦ ἄσπιλον τὸ σῶμα ἡμῶν παραστῆσαι. λέγω σοι δέ, τέκνον μου, ὅτι οὗτοι οἱ παμπόνηροι καὶ ἐργάται τοῦ διαβόλου, ἐμὲ ὀλίγον αἰκίσαντες, ἀποκτενοῦσι, σὲ δέ, ἀδελφή μου, φησίν, θέλοντες πολλαῖς κολακείαις ὑποπεῖσαι τῷ ἰδίῳ θελήματι ἀνεκτοτέρως χρήσονται· ἀλλά, τέκνον, μιμνησκομένη τῶν

XS (8 ἠνεσχόμεθα - 9 τότε mutil.) CYVO

1 κληρονόμους : κληρονόμοι S 2 λαβομένη XSCY : ὑπολαβοῦσα V 2 ante ἤρξατο verba τὴν νέαν hab. S 2 τὴν νεάνιδα om. S 2 νεανίδα : νεάνιδι V 3 post παρακαλεῖν verbum αὐτήν hab. S 4 οὐκ ἐγνωρίκαμεν XCY : οὐκ ἐγνωρήκαμεν S οὐ γεγνωρίκαμεν V 5 δεκαδύο XSCY : δώδεκα V 7 πολλοὶ SCYV : πολὺ X 7 μου om. V 7 ᾐτήσαντο XCY : ᾐτίσαντο S αἰτησάντων V 7 εἰς XSCV : πρὸς Y 7 γάμου : γάμον V 8 ἠνεσχόμεθα : ἀναεσχόμεθα V 9 Ἑλληνίδες : Ἑλλήνισσαι V 10 πόσῳ XSV : πόσου C πῶς οὖν Y 10 post πόσῳ verbum γὰρ hab. S 10 ante Χριστὸν verbum Ἰησοῦν hab. V 10 μου om. XS 11 ἀγωνισόμεθα XV : ἀγονησώμεθα SY ἀγωνησόμεθα C, fort. ἀγωνισώμεθα emendandum 14 ὑποπεῖσαι V : ὑποσπῆσαι XCY πίσαι S 15 χρήσονται : χρίσονται S 15 μιμνησκομένη XY : μνησκομένη SCV 15 - 248.1 τῶν διδασκαλίων om. S 15 τῶν : τὸν Y

διδασκαλιῶν τοῦ ἁγίου Παγκρατίου, μὴ χωρήσωσίν σε ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ." ἀκούσασα δὲ ἡ παρθένος ταῦτα παρὰ τῆς διακόνου, στενάξασα ἐκ βάθους καρδίας εἶπεν, "πιστεύω εἰς τὸν κύριον Ἰησοῦν Χριστὸν τὸν ἀληθινὸν θεὸν ἡμῶν, ὅτι οὐ μὴ ἐκφοβήσωσίν με αἱ ἀπειλαὶ αὐτῶν, ἀλλ' οὐδὲ αἱ κολακεῖαι αὐτῶν ἀποστρέψουσι τῶν ἐντολῶν τοῦ θεοῦ." ταῦτα οὖν λαλήσασαι, ἀπῆλθον πρὸς τὸ ἀνόσιον σέκρετον. ἡ δὲ μακαρία διάκονος ἔφη πρὸς τὸν δεινότατον, "πολιτάρχα, πολλοῖς λόγοις ἐχρησάμην τῇ ἀδελφῇ μου, καὶ ποτὲ ἐκκλῖναι αὐτὴν οὐκ ἴσχυσα ἐκ τῶν τοῦ Χριστοῦ πειθαρχημάτων, καὶ τὰ νῦν, ὡς δοκεῖ σοι ποίει." ἀκούσας δὲ ὁ Ἔλιδος τὰ ῥηθέντα ὑπὸ τῆς διακόνου, πικρίᾳ διαβολικῇ ἐμπλησθείς, λέγει τοῖς ἀθεοτάτοις φίλοις αὐτοῦ, "αὕτη ἡ μέλαινα τὴν νέαν παρθένον πεισθῆναι ἡμῖν οὐ πεποίηκεν." οἱ δὲ παράνομοι πρὸς αὐτόν, "κτανθήτω, πολιτάρχα, αὕτη, ἵνα ὁρῶσα ἡ νέα, πεισθῇ ἡμῖν φόβῳ συσχεθεῖσα." πάραυτα οὖν λαβόντες, ἐξέδυσαν τὴν διάκονον καὶ ἤρξαντο ἀφειδῶς τύπτειν.

XSCYVO

1 χωρήσωσίν XC : χωρίσουσίν SYV 2 παρὰ XSCY : ὑπὸ V 4 ἐκφοβήσωσίν XC : ἐκφωβήσωσίν S ἐκφοβήσουσίν YV, fort.recte 7 post δεινότατον verbum Ἔλιδον hab. V 8 τῇ ἀδελφῇ : τὴν ἀδελφήν X 10 τὰ νῦν SCY : τὸν νῦν V τὸν νοῦν X 10 δοκεῖ SC : δοκή XV δοκί Y 10 post ῥηθέντα verbum ταῦτα hab. CY 11 ἐμπλησθείς XS : πλησθεὶς CYV 12 μέλαινα Y : μέλενα XSCV 12 πεισθῆναι V : πισθῆναι XSY πισθεῖναι C 12 οὐ πεποίηκεν XSV : οὐκ ἐποίησεν CY 13 κτανθήτω : ἐκτανθήτω V 14 ἵνα CYV : ἣν XS 14 post ὁρῶσα verbum αὕτη hab. CY 14 νέα XCYV : νεᾶνις S 14 πεισθῇ CV : πισθῇ X πισθῆναι S πισθείη Y 14 post φόβῳ verbum πολλῷ hab. S 14 συσχεθεῖσα V : συσχεθήσα XCY συσχηθήσα S 15 λαβόντες XS : λαβῶτες CY λαβόμενοι V 15 διάκονον nos : διάκονα XSC διάκοναν YV

τυπτομένη δὲ ἡ μακαρία, οὐδαμοῦ φωνὴν ἀνέπεμπεν. ἡ οὖν νεᾶνις, βλέπουσα τὴν ὑπομονὴν τῆς πρεσβυτέρας, ἔχαιρεν καὶ ἠγαλλιᾶτο τῷ πνεύματι. δείραντες οὖν τὴν μακαρίαν εἰς πλήρεις, ἐκέλευσαν αὐτὴν κεφαλικῇ τιμωρίᾳ ἀναλωθῆναι. οἱ δὲ ἐπάραντες ἀπεκεφάλισαν αὐτὴν ἔν τινι σπηλαίῳ. λαβόντες δὲ τὴν νέαν κατέκλεισαν ἐν οἰκίσκῳ, καὶ ἐξεγερθέντες ἀπὸ τοῦ σεκρέτου, ἀπῆλθον πρὸς τοὺς μιαροὺς αὐτῶν θεούς, οὐχὶ οὓς ἠδάφισεν ὁ μακάριος Παγκράτιος, ἀλλ' οὓς ἐσέβοντο οἱ μιαροὶ Μοντανοί, ἐπειδή, κἂν συνέπεσον ὑπὸ τοῦ μακαρίου Παγκρατίου τῇ χάριτι Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν, ἐπικαλούμενοι ὑπ' αὐτῶν, ὑπήκουον ἐν τῷ δοκεῖν. προσκυνήσαντες δὲ ἐξῆλθον, καὶ ἀπελθόντες εἰς τὸ μιαρὸν πραιτώριον Ἐλίδου, ἐκάθισαν ἐσθίειν, μὴ μνησκόμενοι τῆς τοῦ θεοῦ δικαιοκρισίας τῆς εἰς αὐτοὺς μελλούσης γίνεσθαι· ἐτυφλώθησαν γὰρ τὰ ὦτα τῶν καρδιῶν αὐτῶν, καὶ ἐξενέγκαντες μιαρὰς βίβλους, ἀνεγίνωσκον. ὁ οὖν μακάριος, συναθροίσας πιστοὺς Χριστιανοὺς καὶ πάσας τὰς διακόνους, ἃς ἦν

XS (11 *πραιτώριον* - 12 *δικαιοκρισίας* mutil.) CYVO

1 *τυπτομένη* (*-ωμένη* Y) *ἡ μακαρία* XCYV : *τυπτωμένης τῆς μακαρίας* S 1 *φωνὴν* XCYV : *φωνὴ ἐξ αὐτῆς* S 1 *ἀνέπεμπεν* CYV : *ἀπέπεμπεν* X *ἀνεπέμπετο* S 1 *νεᾶνις* : *νέα ἵστατο* V 2 *βλέπουσα* XV : *κάτω* (*κάτο* C) *ἀποβλέπουσα* SCY 2 post *πρεσβυτέρας* verbum *ἔχουσα* hab. S 2 post *ἔχαιρεν* verbum *δὲ* hab. V 2 *ἠγαλλιᾶτο* nos : *ἠγγαλιάτω* XSCYV 3 *πλήρεις* XY : *πλήρις* S *πλήρης* CV 3 *αὐτὴν* om. XSCY 4 *ἀναλωθῆναι* XCYV : *ἀποτμηθῆναι* S 4 *ἐπάραντες* CYV : *ὑπάραντες* XS 4 post *ἐπάραντες* verba *τὴν μακαρίαν Σωσάνναν* hab. CY, fort. recte 4 *ἀπεκεφάλησαν* : *-ισαν* V 5 post *σπηλαίῳ* verba *μηνὶ Ἰουνίῳ ε'* hab. CY, fort. recte (5 Iun. Usp) 5 *κατέκλεισαν* SV : *κατέκλησαν* XC *κατέκλυσαν* Y 6 - 7 *μιαροὺς αὐτῶν θεούς* : *ἱερεῖς αὐτῶν θεοὺς* S 7 *ἠδάφησεν* X : *ἐδάφησεν* S *ἠδάφησεν* CY *ἐδάφισεν* V 7 *μακάριος* XCYV : *ἅγιος* S 8 *συνέπεσον* XSCY : *-αν* V 8 *ὑπὸ* XSCY : *ἐπὶ* V 8 *μακαρίου* XCYV : *ἁγίου* S 9 *Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν* : *τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ* S 10 *αὐτῶν* : *αὐτοῦ* Y 10 *ὑπήκουον* (corr. *-ων*) Y : *ὑπήκοον* XSV *ὑπήκουων* C 10 *δὲ* om. X 11 *μιαρὸν* om. S 11 *πραιτώριον* : *συνέδριον* X, corr. *πραιτώριον* X^2 11 *ἐκάθισαν* XV : *ἐκάθησεν* CY 12 *μνησκόμενοι* CYV : *μιμνησκόμενοι* X 13 *μελλούσης* : *μελούσης* V 13 *γίνεσθαι* XCYV : *γενέσθαι* S 13 *γὰρ* XCYV : *οὖν* S 14 post *μακάριος* verbum *Παγκράτιος* hab. CYV

χειροτονήσας, ἀπελθὼν καὶ ποιήσας τὴν πρέπουσαν κηδείαν, συνελάβετο τὸ τίμιον λείψανον τῆς μακαρίας. ἀναστάσα δὲ ἡ ἁγιωτάτη Παυλίνα, περιεπτύξατο τὸ λείψανον αὐτῆς δοξάζουσα τὸν θεὸν τὸν ἐνισχύσαντα αὐτὴν διὰ τὸ ὄνομα τοῦ ὄντος Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ τὴν κάραν ἀποτμηθῆναι. οὐ μόνον δὲ αὕτη τὸν θεὸν ἐδόξασεν, ἀλλὰ καὶ πάντες οἱ ἐν τῇ κηδείᾳ αὐτῆς Χριστιανοί, λέγοντες, "πῶς γυναικεῖα φύσις καὶ ἀσθενὴς εἵλατο ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ ἀποθανεῖν;" ἐκήδευσαν δὲ τὴν μακαρίαν εἰς τόπον ἐπιλεγόμενον Βαράγδου Τεῖχος, καὶ πολλοὺς κατεχομένους σωματικοῖς πόνοις ἐθεράπευσεν. ἀναστάντες οὖν οἱ μιαροὶ ἐκ τῆς τῶν ἐδεσμάτων γαστριμαργίας, ὥρμησαν ἐπὶ τὸν οἰκίσκον. ἡ δὲ μακαρία ἦν προσευχομένη, ἵνα καταξιωθῇ καὶ αὕτη διὰ μαρτυρίου παρελθεῖν καὶ συγκαταριθμηθῇ τῇ μακαρίᾳ διακόνῳ. ἀνοίξαντες δὲ καὶ ἐξενέγκαντες αὐτὴν ἔστησαν ἐνώπιον τῆς μιαρᾶς αὐτῶν κουστωδίας, καὶ ἤρξατο ὁ Ἔλιδος ἀπατηλοῖς λόγοις κολακεύειν αὐτὴν ὅτι,

XS (6 *πάντες* - 7 *γυναικεῖα* mutil.) CYVO

2 *συνελάβετο* XSCY : *συνέλαβεν* V 2 *τίμιον* om. V 2 *τῆς μακαρίας* XCYV : *αὐτῆς* S 2 post *μακαρίας* verbum *Σουσάννης* hab. CY, fort. recte 2 *ἁγιωτάτη* XSV : *μακαρία* CY 3 *Παυλίνα* XCYV : *Παυλίνη* S 3 *αὐτῆς* XCYV : *τῆς μακαρίας* S 4 *ὄντος* XCV : *ὄντως* SY 5 *ἀποτμηθῆναι* CY : *ἀποτμηθείσα* X *ἀποτμηθήσα* S *ἀποτμηθεῖσας* V 5 *οὐ* : *οὐδὲ* S 6 *ἐδόξασε* XSC : *ἐδόξαζεν* YV 7 *γυναικεῖα* YV : *γυναικία* XC *γυναίκα* X 7 *εἵλατο* XSCY : *ἧλατο* V 7 *τοῦ* (2) om. X 8 - 9 *εἰς τόπον ἐπιλεγόμενον* XSCY : *ἐν τόπῳ ἐπιλεγομένῳ* V 9 *Βαράγδου Τεῖχος*] *Варагдова стѣна* Usp 9 *τεῖχος* : *τείχους* V 9 *κατεχομένους* XSYV : *κατερχομένους* C, fort. recte 10 *πόνοις* XCYV : *πάθεσιν* S 11 *ὥρμησαν* CV : *ὅρμησαν* XS *ὅρμισαν* Y 11 post *μακαρία* verbum *παρθένος* hab. V 12 *καταξιωθῇ* XS : *ἀξιωθῇ* CY *καταξιωθῆναι* V 12 *αὕτη* : *αὐτὴν* V 12 *μαρτυρίου* XSCY : *μαρτυρίας* V 12 *παρελθεῖν* XCY *παρελθήν* S *προσελθεῖν* V, fort. recte 13 *συγκαταριθμηθῇ* nos : *συνκαταριθμηθῇ* XC *συγκαταριθμηθεῖ* Y *συνκαταριθμηθῆναι* V 14 *αὐτῶν* SCYV : *αὐτοῦ* X 15 *ὁ* om. S 15 post *ὅτι* verbum *φησίν* hab. V

"τρυφερὰ καὶ καλὴ εἶ, ὡς καὶ δηλοῖ ὁ χαρακτήρ σου εὐγενῆ σε εἶναι. πείσθητι οὖν καὶ θῦσον τῷ μεγάλῳ θεῷ Σκαμάνδρῳ καὶ συνάφθητί μοι, ἵνα πολλῆς ζωῆς καὶ τερπνῆς ἀξιωθῇς. εἰ δὲ μὴ πεισθῇς μοι, τῇ ψήφῳ τῆς ἀδελφῆς σου ὑπαχθήσῃ." ἡ δὲ μακαρία παρθένος ἔφη, "ἄκουσον, Ἔλιδε μιαρώτατε καὶ ἀπατεών, στόμα ἄχρηστον καὶ πλήρης ἀνομίας μετὰ πάσης τῆς πονηρᾶς σου κουστωδίας, ἐγὼ τῷ θεῷ τῷ κηρυχθέντι ὑπὸ τοῦ ἁγίου Παγκρατίου, Ἰησοῦ Χριστῷ τῷ υἱῷ τοῦ θεοῦ τῷ ἐν πατρὶ καὶ ἁγίῳ πνεύματι δοξολογουμένῳ, αὐτῷ θύω, αὐτῷ λατρεύω, αὐτῷ ἐνυμφευσάμην, αὐτῷ καὶ τὴν ἐμὴν ψυχὴν πεπίστευκα καὶ πιστεύω, καὶ οὔτε Σκαμάνδρῳ θύω, οὔτε ἑτέρῳ θεῷ, οὔτε πάλιν πείσει με ἡ σὴ πικρὰ καὶ ἄνομος γνώμη συναφθῆναί σοι." ἀκούσας δὲ ὁ δεινότατος ταῦτα ὑπὸ τῆς μακαρίας παρθένου, ταραχθεὶς λέγει αὐτῇ, "μὰ τὸν μέγαν θεόν, ὅνπερ καὶ πόθῳ πολλῷ ἀνιδρυσάμην καὶ πολλὴν τιμὴν παρέχω, Σκάμανδρον τὸν ἀήττητον, ἐὰν μὴ πεισθεῖσα ὑπακούσης μου, πληγαῖς ἀφορήτοις σε καταναλώσω, ἵνα καὶ σὺ τῇ

XSCYVO

1 τρυφερὰ XSCV : τρυφερὰν Y 1 εἶ V : ἦ XSCY 1 εὐγενῆ CY : εὐγενήν XV εὐγενάν S 2 πείσθητι CYV : πίσθητι XS 3 ἀξιωθῇς emendavi : ἀξιωθήσῃ XV ἀξιωθήσει SCY 3 πεισθῇς μοι CV : πισθή μοι S πισθείς μοι Y πισθῆσομαι X 4 ὑπαχθήσῃ X : ὑπαχθήσει SCY ὑπαχθής V 5 ἄχρηστον V : ἄχριστον XSCY 6 πλήρης XV : πλήρις C πλήρεις Y πάσης S 6 τῆς πονηρᾶς σου κουστωδίας : τῆς κουστωδίας σου τῆς πονηράς V 6 πονηρᾶς : πονηρίας C 6 κουστωδίας : δίας Y 7 Ἰησοῦ Χριστῷ τῷ υἱῷ : Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ S 11 πείσει με V : πίση μαι X πίσει μαι S πείση με CY 11 γνώμη : γνώμης V 11 συναφθῆναί XCY : συναφθείναι S συναφνῆναι V 12 post δεινότατος verbum Ἔλιδος hab. V 13 - 14 ὅνπερ - παρέχω om. CY 13 ὅνπερ V : ὅπερ XS 13 ἀνιδρυσάμην X : ἀνηδρυσάμην SV 13 πολλὴν post τιμὴν tr. V 13 πολλὴν : πολλῷ S 14 παρέχω : ἀνέχω S 14 Σκάμανδρον τὸν ἀήττητον : Σκαμάνδρῳ τῷ ἀηττήτῳ X 14 πεισθεῖσα V : πισθήσα X πισθείσα S πεισθήσα CY 15 καταναλώσω SCV : -όσω XY 15 σὺ : σοὶ C 15 τῇ om. SV

κεφαλικῇ τιμωρίᾳ ἐπελθοῦσα ἀφανὴς γενήσῃ, καὶ οὐ μὴ φείσομαι τῆς νεότητος καὶ τοῦ κάλλους σου." ἡ δὲ μακαρία παρθένος ἀναζωπυρηθεῖσα τῇ πανοπλίᾳ τοῦ ἁγίου πνεύματος, ἀναβλέψασα εἰς τὸν οὐρανὸν εἶπεν, "καὶ δύνασαι σύ, Ἔλιδε, λαμπρῦναι ἢ σκοτίσαι, ἄνθρωπος κατεφθαρμένος τὸν νοῦν, ὅλος γῆ καὶ σποδὸς ὑπάρχων; εἰ καὶ τὸ σαρκίον μου τοῦτο τοῖς αἰκισμοῖς κατασχίσῃς, δέδειγμαι ὑπὸ τοῦ κυρίου μου Ἰησοῦ Χριστοῦ, 'μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι· φοβεῖσθε δὲ μᾶλλον τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι εἰς τὴν Γέενναν τοῦ πυρός,' καὶ τούτῳ τῷ θεῷ μου καὶ κυρίῳ Ἰησοῦ Χριστῷ τῷ δημιουργῷ τῶν ἁπάντων προσκυνῶ καὶ αὐτῷ μόνῳ λατρεύω." ἡ οὖν μιαρὰ καὶ παγκάκιστος τάξις τῶν Ἰουδαίων καὶ Μοντανῶν, οἱ πονηροὶ καὶ ἀθεότατοι πρὸς Ἔλιδον ἔφησαν, "κύριε πολιτάρχα, ἀπὸ τοῦ νῦν τοῖς λεγομένοις ὑπὸ σοῦ οὐ μὴ πεισθῇ αὕτη, ἐπεὶ βλέπομεν αὐτὴν πλέον θρασυνομένην. ἀπαλλαγήτω αὕτη μὴ πειθομένη τοῖς λόγοις σου,

XSCYVO

7 - 10 Mt. 10:28

1 γενήσῃ XCY : γένη σοι S γένησαι V 1 μὴ om. X 1 post μὴ verbum σου hab. Y 1 φείσομαι XCY : φήσομαι S φησώμαι V 2 καὶ τοῦ κάλλους om. CY 3 ἀναζωπυρηθεῖσα nos : -ιθήσα XSCY -ιθεῖσα V 3 ἁγίου XSCY : παναγίου V 4 καὶ δύνασαι V : ἐνδυναμοῦμαι XSCY 4 - 5 σύ - καὶ om. XSCY 6 κατασχίσῃς nos : κατασχίσεις V 10 - 11 καὶ τούτῳ τῷ θεῷ μου καὶ κυρίῳ Ἰησοῦ Χριστῷ τῷ δημιουργῷ τῶν ἁπάντων V : καὶ τῷ κυρίῳ τῶν ἁπάντων Ἰησοῦ Χριστῷ XSCY 12 τάξις XSV : συναγωγῆ CY 12 - 13 οἱ πονηροὶ καὶ ἀθεότατοι XSCY : τῶν πονηρῶν καὶ ἀθεοτάτων V, fort. recte 13 κύριε om. XSCY 14 οὐ om. S 14 - 15 οὐ μὴ πεισθῇ αὕτη - σου om. V 14 πεισθῇ nos : πισθῆ XSY πεισθεῖ, corr. -θῆ C 14 βλέπομεν XCY : -ωμεν S 15 πλέον XCY : πλείων S 15 ἀπαλλαγήτω XSC : -ήτο Y 15 πειθομένη SCY : πιθομένη X

καὶ βλέπωμεν ἀντ' αὐτῆς ἑτέραν νεάνιδα τρυφερὰν καὶ καλήν, ἀξίαν τῆς πολιταρχίας σου." ὁ δὲ παράνομος Ἔλιδος εἶπεν, "μὰ τὸν μέγαν θεὸν Σκάμανδρον, καλῶς λελαλήκατε, φιλοπολῖται καὶ ἄξιοι τῶν πολιτικῶν συνάξεων:" αὐτίκα οὖν δεδωκὼς ὁ μιαρὸς ψῆφον τοῖς ὑπηρέταις ἔφη, "ἐπάρατε τὴν νέαν ταύτην ἐκ μέσου ἡμῶν, καὶ ἀπενέγκαντες ἐν τόπῳ κρυπτῷ, ἐκδύσαντες δείρατε πολλαῖς πληγαῖς, καὶ μετὰ ταῦτα ἄραντες εἰς τὸν τόπον, ὅπου ἡ ἀδελφὴ αὐτῆς ἀπεκαρατομήθη, καρατομηθήτω καὶ αὕτη ἡ μέλαινα, καὶ ἀπαλλαγήτω ἡμῖν αὕτη, καὶ ἡμεῖς ἀπαλλαγῶμεν τοῦ ὁρᾶν αὐτήν." πάραυτα οὖν οἱ ὑπηρέται τὸ κελευσθὲν αὐτοῖς ὑπὸ Ἐλίδου πεποίηκαν, καὶ ἄραντες ἔδειραν καὶ ἐν τῷ λεχθέντι τόπῳ ἀπεκεφάλισαν, δοξάζουσαν πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα. συνελθόντες οὖν οἱ Χριστιανοὶ ἔλαβον καὶ αὐτῆς τὸ λείψανον ἅμα τῷ μακαρίῳ καὶ τῶν διακόνων σὺν τῇ μεγάλῃ Παυλίνῃ, ἅπασαν πρέπουσαν ἀκολουθίαν Χριστιανῶν πεποιηκότες. ὁ δὲ κύριος Ἰησοῦς Χριστὸς ὁ δοξάζων τοὺς

XS (1 *νεάνιδα* - 2 *σου*, 11 *καὶ ἄραντες* - 12 *πατέρα* mutil.) CYVO

1 *βλέπωμεν* S *βλέπομεν* XCV *ἐβλέπομεν* Y 2 *Ἔλιδος εἶπεν* om. XSV 3 *θεὸν* om. V 3 *φιλοπολῖται* XSV : *φίλοι πόλιται* CY 4 *οὖν* V : *γοῦν* XSCY 4 *δεδωκὼς* CY : *δεδοκὼς* XS *δέδωκεν* V 5 *ἔφη* CY : *φήσας* XSV 5 *ταύτην* om. XY 5 *ἡμῶν* : *ὑμῶν* V 6 post *πληγαῖς* verba *ἐπιθέντες ἐπ' αὐτῇ* hab. S 7 *τὸν* om. CY 8 *ἀπεκαρατομήθη* XV : *ἀπεκαρατομίθη* S *ἐκαρατομήθη* CY, fort. recte 8 *καρατομηθήτω* nos : *-ιθήτω* XS *-ηθήτο* CY *-ηθεῖτο* V 8 *μέλαινα* XY : *μέλενα* SC *μέλεα* V 8 post *μέλαινα* verbum *νεᾶνις* hab. V 9 *ἀπαλλαγήτω* SC : *-ήτο* X *-είτω* Y *-εῖτο* V 11 *λεχθέντι* : *λέχθεν* Y 11 *ἀπεκεφάλισαν* nos : *-ησαν* XCY *-ισεν* V 11 post *ἀπεκεφάλισαν* verba *αὐτὴν μηνὶ Ἰουνίῳ ς* hab. CY, fort. recte (6 Iun. Usp) 13 *ἔλαβον* SCYV : *συνέλαβον* X 13 *αὐτῆς* XSCY : *ταύτης* V 13 ante *λείψανον* verbum *τίμιον* hab. V 14 post *μεγάλῃ* verba *καὶ ἁγιωτάτῃ* hab. V 14 *Παυλίνῃ* : *Παυλήνῃ* S

δοξάζοντας αὐτόν, πολλὰς νόσους ἐθεράπευσεν διὰ τῶν σορῶν τῶν ἁγίων παρθένων. ὁ οὖν μακάριος κηρύξας ἐκέλευσεν συνελθεῖν ἅπαντας τοὺς Χριστιανοὺς εἰς τὸ εὐκτήριον τοῦ ἐπιτελέσαι πάνδημον ἑορτήν. συνῆλθον οὖν ἅπαντες, καὶ ποιήσας ὁ μακάριος τὴν θείαν λειτουργίαν, μετέδωκεν ἅπασι τῶν ἀχράντων μυστηρίων. τότε ἐγένετο γνωστὸν τοῖς πᾶσι, τί πεποίηκεν Ἤλιδος εἰς τὰς ἁγίας παρθένους, ἐπεὶ ὁ πλεῖον λαὸς οὐκ ἐγίνωσκεν τὸ πρᾶγμα, ὃ ἦν ποιήσας Ἤλιδος μετὰ τῶν μιαρῶν Ἰουδαίων καὶ ἀθεοτάτων Μοντανῶν. εἶπον οὖν πρὸς τὸν μακάριον οἱ πιστοί, "ἀπέλθωμεν, κατακαύσωμεν τὰς οἰκίας αὐτῶν καὶ τὰς τρωγλοδίας αὐτῶν καὶ τὰ περιαύλια τῶν μιαρῶν θεῶν αὐτῶν." ὁ δὲ μακάριος πρὸς αὐτούς, "οὐχί, τέκνα μου, οὐχί. αὗται μὲν καλῶς προείλαντο θανεῖν ὑπὲρ Χριστοῦ, ἡμεῖς δὲ οἱ Χριστὸν ἐνδυσάμενοι, τὴν σάρκα αὐτοῦ μεταλαμβάνοντες καὶ τοῦ ζωοποιοῦ αὐτοῦ ποτηρίου πίνοντες, τιμήσωμεν τὰς παρθένους τὰς ἀποτμηθείσας τὰς κεφαλὰς διὰ τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ, καὶ

XSCYVO

2 post μακάριος verbum *Παγκράτιος* hab. CYV 3 τοῦ SCYV : πρὸς τὸ X 4 post ποιήσας verbum εὐχήν hab. CY 4 post μακάριος verba ὑπὲρ τοῦ λαοῦ hab. CY 4 - 5 τὴν θείαν λειτουργίαν om. CY 7 ἐπεὶ XSCY : ἐπειδὴ V 7 ἐγίνωσκεν YV : ἐγίνωσκον XSC 7 πρᾶγμα XSCY : δρᾶμα V 7 ποιήσας post Ἤλιδος tr. S 8 ante Ἤλιδος verbum ὁ hab. Y 8 ante ἀθεοτάτων verbum τῶν hab. V 8 εἶπον XCV : εἶπων SY 9 ἀπέλθωμεν SYV : -ομεν XC 9 post ἀπέλθωμεν verbum καὶ hab. V 9 κατακαύσωμεν YV : -σομεν XSC 10 καὶ τὰς τρωγλοδίας - θεῶν αὐτῶν om. XS 10 καὶ τὰ περιαύλια - αὐτῶν om. V 10 τρωγλοδίας CY : τρωγλοδησίας V, fort. recte 11 τέκνα : τέκνον Y 11 μου om. YV 12 post μὲν verbum οὖν hab. CY 12 προείλαντο : προΐλαντο V 12 οἱ om. S 12 post Χριστὸν verbum Ἰησοῦν hab. CYV 13 ante τὴν verbum καὶ hab. V 13 αὐτοῦ om. S 15 ἀποτμηθείσας XV : -θήσας SCY 15 τὸ ὄνομα τὸ ἅγιον XS : τὸ ἅγιον ὄνομα CYV

καταισχυνάσας τοῦ ἐχθροῦ τὴν κακότεχνον γνώμην· κακὸν γάρ, τέκνα μου, ἀντὶ κακοῦ μὴ ἀποδιδόναι μεμαθήκαμεν. οἰκοδομήσωμεν δὲ εὐκτήριον τῶν ἁγίων παρθένων καὶ καλλινίκων μαρτύρων." ἐνέγκας οὖν ὁ μακάριος, διεχάραξε τὸν τόπον, καὶ λαβόμενοι οἱ πιστοὶ ἀνοικοδόμησαν τὴν ἐκκλησίαν, καὶ ἐνθρονιάσας αὐτὴν ἀπετέλεσε τὴν θείαν λειτουργίαν ἐπ' αὐτῇ. προσέταξεν δὲ ὁ μακαριος ἁπάσας τὰς διακόνους ἐν αὐτῷ τῷ οἴκῳ διακεῖσθαι, ὡς μέχρι σήμερον παρηκολούθησεν. ἐγένετο δὲ μετὰ ταῦτα καὶ ἐποίησαν οἱ μιαροὶ Ἰουδαῖοι καὶ Μοντανοὶ συστροφὴν κατὰ τοῦ μακαρίου, ἵνα παραλάβωσιν αὐτόν. ὁ δὲ μακάριος ἀκούσας ταῦτα ἤνεγκεν ἄνδρας εὐλαβεῖς τοὺς καὶ παραμείναντας αὐτῷ, ὅτε ἡ ἐξέτασις τῶν παρθένων ἐγένετο, οἷς καὶ ἦν εἰπών, μὴ ἀπελθεῖν ἐν τῷ σεκρέτῳ, καὶ ἔβαλεν τὰς καθέδρας αὐτῶν, ὡς πιστῶν ὄντων, ἐν τοῖς δεξιοῖς μέρεσιν. ἦν δὲ καὶ ὁ τοῦ μακαρίου θρόνος ἐν τῷ πυλῶνι. ὡς οὖν ἐκάθισαν, ἦλθον καὶ αἱ δύο κουστωδίαι τῶν μιαρῶν καὶ ἀναισθήτων, καὶ λέγει ὁ μακάριος πρὸς

XS (14 *πυλῶνι* - 15 *ἀναισθήτων* mutil.) CYVO

1 - 2 Rom. 12:17, 1 Th. 5:15, etc.

1 *κακότεχνον γνώμην* : *κακοτεχνίαν* V 2 *ἀποδιδόναι* SCY : *-ώναι* XV 3 post *εὐκτήριον* verba *εἰς τὰς σόρους* hab. V, fort. recte 4 *τὸν* om. CY 5 *ἀπετέλεσεν* XSYV : *ἀπετέλεσαν* C 6 *αὐτῇ* : *αὐτῷ* S 7 *διακεῖσθαι* om. V 7 *ὡς μέχρι σήμερον* S : *ὡς μέχρι νῦν σήμερον* XCY *ὡς καὶ μέχρι τῶν νῦν ἡμερῶν* V, fort. recte 10 *παραλάβωσιν* CYV : *παραβάλωσιν* XS, fort.recte 10 *ἤνεγκεν* SV : *ἔνεγκεν* XC *ἐνέγκας* Y 11 *εὐλαβεῖς* : *εὐβλαβεῖς* S 12 *ἐγένετο* XSV : *ἐγίνετο* CY 12 *ἦν εἰπὼν* SCYV : *εἶπον* X 12 *ἔβαλεν* V : *ἔβαλον* XS *ἔλαβον* CY 13 *αὐτῶν* XSCV : *αὐτὸν* Y 13 *ὡς πιστῶν ὄντων* V : *οἱ πιστοὶ* XSCY 14 *ἐκάθισαν* XSV : *ἐκάθησαν* CY

τοὺς πιστούς, "βλέπετε τοὺς μιαροὺς καὶ φονεῖς Ἰουδαίους. ὑπερήραν εἰς κακίαν τοὺς Μοντανούς·" οὔπω γὰρ ἦν ὁ μακάριος συνάρας λόγον μετ' αὐτῶν, εἰ μὴ μόνον ὅτι οἱ θεοὶ αὐτῶν ἀκούσαντες τῆς φωνῆς αὐτοῦ, ἦσαν καταπεσόντες. ἑτέρους δὲ θεοὺς ἦσαν τεκτονήσαντες, οὓς καὶ ἐπικαλεσάμενοι, ἦλθον πλήρεις ἀνομίας καί δόλου οἱ ἀθεότατοι καὶ πάσης ἀκαθαρσίας ἐργάται. καθίσαντες οὖν, εἶπον τοῖς πιστοῖς ἀναιδεῖ προσώπῳ, "ὦ ἄνθρωποι, τί τὴν θρησκείαν ἡμῶν ἐάσαντες καὶ τὰ πατρικὰ ἔθη, πλάνῳ καὶ μάγῳ προσεκολλήθητε, ταῖς γοητείαις αὐτοῦ μάτην πλανούμενοι;" ὁ οὖν μακάριος ἐσιώπα καὶ φησὶν οἱ πιστοί, "ὑμεῖς πλανᾶσθε, οἱ τοῖς κωφοῖς καὶ ἀλάλοις εἰδώλοις θύοντες τοὺς υἱοὺς ὑμῶν καὶ τὰς θυγατέρας, καὶ τοῖς ξοάνοις προσκυνοῦντες, ἐπεὶ ἡμεῖς οὐ πλανώμεθα· τὴν γὰρ ἀληθινὴν ὁδὸν εὕραμεν καὶ τὴν σωτηρίαν ἡμῶν ἔχομεν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν ἀληθινὸν θεὸν ἐν πατρὶ καὶ ἁγίῳ πνεύματι. ἀμετάθετοι οὖν ἐσμὲν ἡμεῖς τῆς εἰς αὐτὸν ἀγάπης. ἦμεν δὲ καὶ ἡμεῖς τῆς αὐτῆς ὑμῶν πράξεως, ἀλλ' ἀκούσαντες

XS (8 γοητείαις - 9 πλανούμενοι mutil.) CYVO

1 ante ὑπερήραν verbum καὶ hab. Y 2 λόγον XSV : λόγους CY 4 ἦσαν$_{\wedge}^{(1)}$: εἶσαν S 4 καταπέσοντες XSV : -ώτες CY 6 καθίσαντες XV : καθήσαντες SCY 6 εἶπον : εἶπων S 6 ἀναιδεῖ nos : ἀναιδῆ CY ἀνεδῆ X ἀνεδεῖ SV 7 ἡμῶν V : ὑμῶν XSCY, fort. recte 8 μάγῳ XSCY : κακῷ V 8 προσεκολλήθητε XY : -ήθειτε S -ίθητε C -ισθε V 9 πλανούμενοι nos : πλανόμενοι XSCYV 9 post μακάριος verba ὁ οὖν Παγκράτιος hab. CY 10 εἰδώλοις om. XSV, fort. recte 11 post θυγατέρας verbum ὑμῶν hab. S 12 πλανώμεθα V : -όμεθα XSCY 12 εὕραμεν XCYV : ηὕραμεν S 13 ἔχομεν X : ἔχωμεν SYV ἔχωμεν, corr. -ομεν C 13 ἡμῶν Ἰησοῦν Χριστὸν om. Y 14 οὖν om. S 14 post ἐσμὲν verbum ἀεὶ hab. V 14 ἡμεῖς ante ἐσμὲν tr. S 14 εἰς αὐτὸν XS : εἰς αὐτῶν C εἰς αὐτοὺς Y αὐτοῦ V 15 post ἡμεῖς verbum τότε hab. V 15 αὐτῆς ὑμῶν CYV : αὐτῶν XS

τὸν λόγον τοῦ θεοῦ ὑπὸ τοῦ ἁγίου τούτου κηρυσσόμενον, καταλιπόντες τοὺς μιαροὺς θεούς, προσεφύγομεν ὑπὸ τὴν σκέπην τῶν πτερύγων αὐτοῦ." ὁ οὖν μακάριος λέγει τοῖς μιαροῖς, "ἤλθετε πάντως καὶ ὑμεῖς, φυγόντες τὴν πλάνην τῶν μιαρῶν καὶ ἀναισθήτων θεῶν, προσφυγόντες τῷ δεσπότῃ Χριστῷ, ἀλλ' ἐκπειράζετε ἡμᾶς, ἵνα τὴν ἀλήθειαν ὑμῖν εἴπωμεν, καὶ τὸν σωτήριον λόγον ἀκούσαντες παρ' ἡμῶν, προσέλθετε τῇ ἀμωμήτῳ πίστει." οἱ οὖν μιαροί, ὡς ἐξ ἑνὸς στόματος εἶπον, "ἡμεῖς τοῖς λόγοις τούτοις τοῖς ἀπατηλοῖς οὐ πειθόμεθα, οὐδε τὰ πατροπαράδοτα ἡμῶν ἔθη ἐγκαταλείπομεν, εἰ καὶ πάντας τῇ γοητείᾳ σου τῷ Χριστῷ προσήνεγκας Ἑλλήνων τοὺς παῖδας· ἀλλ' Ἰουδαίων διασπορὰ καὶ Μοντανῶν ἔθνος οὐ μὴ πιστεύσει τοῖς λόγοις σου." ὁ δὲ μακάριος πρὸς αὐτούς, "ἀκούσατε, ἄνδρες, ἐμοὶ τὸ λέγειν πρὸς ὑμᾶς τὴν ἀλήθειαν οὐκ ὀκνηρόν, ὑμῖν δὲ τὴν ἀσφάλειαν. παρακαλῶ οὖν ὑμᾶς φυγεῖν ἐκ τῆς τῶν εἰδώλων πλάνης καὶ γνῶναι τὸν ἴδιον δημιουργόν. ὑμεῖς δὲ μᾶλλον οἱ ἐξ οἴκου Ἰσραήλ, οἳ καὶ ἐκλελεγμένοι ἔθνος ἅγιον

XSCYVO

1 *κηρυσσόμενον* XSV : *κηρυττόμενον* CY 1 *καταλιπόντες* V : *καταλειπόντες* XSCY, fort. recte 2 *προσεφύγομεν* XS : *-ωμεν* CY *-αμεν* V 3 post *μακάριος* verbum *Παγκράτιος* hab. CY 3 *μιαροῖς* XSCY : *μιαρωτάτοις* V 3 *ἤλθετε* XCY : *-ατε* SV 3 *πάντως* : *πάντος* Y 4 *φυγόντες* CYV : *φυγότες* X *φυγώντες* S 4 *προσφυγόντες* CY : *-φυγότες* X *-φυγώτες* S *-φυγεῖν* V 5 *Χριστῷ* : *θεῷ* S 5 *ὑμῖν* : *ὑμῶν* S 6 *εἴπωμεν* V : *-ομεν* XSCY 6 *προσέλθετε* XY : *-ατε* S *-ητε* CV, fort. recte 7 *ἀμωμήτῳ* S : *ἀμωμήτῃ* XCYV 7 *ὡς* bis hab. C 7 *εἶπον* CY : *εἶπαν* V, om. XS 8 *πειθόμεθα* XSCV : *πιθόμεθα* Y 8 *οὐδὲ* XSCY : *οὔτε* V 9 *ἐγκαταλείπομεν* SCY : *-λίπομεν* X *-λιμπάνομεν* V 9 *εἰ* XSV : *ἢ* CY 9 post *πάντας* verba *τοὺς ἐν* hab. S 9 *τῇ γοητείᾳ* : *τῆς γοητείας* Y 10 *προσήνεγκας* XS : *-ενέγκεις* CY *-ένεγκας* V 10 *ἀλλ'* om. XSCY 11 *Μοντανῶν ἔθνος* : *Μοντανὸν ἔθος* S 11 *πιστεύσει* SCY : *πιστεύσῃ* XV, fort. recte 12 post *μακάριος* verbum *Παγκράτιος* hab. CY 12 *ἄνδρες* : *τέκνα* V 12 *τὸ* XSV : *μὲν τὸ λεγόμενον καὶ* CY 13 *τὴν ἀλήθειαν* om. CY 15 *μᾶλλον* SCYV : *πάλιν* X 15 *οἳ* om. S 15 *ἐκλελεγμένοι* : *-μένος* V 15 *ἅγιον* om. XCYV

καὶ λαὸς θεοῦ καὶ παῖς κληθεὶς Ἰακώβ, ὃν ἐν σημείοις καὶ τέρασιν ἐξήγαγεν, καὶ τὰ ἄλλα ἐάσομεν τὰ ἐν τοῖς παλαιοῖς πρὸς ὑμᾶς ἐγγεγραμμένα· οὐκ ἀγνοεῖτε γὰρ αὐτά, ἃ καὶ γινώσκοντες καὶ ἀναγινώσκοντες. τὸν θεὸν τὸν γεννήσαντα ὑμᾶς ἐγκατελείπατε καὶ ἐπελάθεσθε θεοῦ τοῦ τρέφοντος ὑμᾶς καὶ ἐμίγητε ἐν τοῖς ἔθνεσι καὶ ἐμάθετε τὰ ἔργα αὐτῶν καὶ ἐγκαταλειπόντες τὸν θεόν, τοῖς ἀνδράσι τούτοις προσεκολλήθητε." οἱ οὖν μιαροὶ καὶ ἀκάθαρτοί φησιν ὅτι, "τὸν νόμον ἡμῶν τούτοις ἀναγγέλλομεν, ἐπεὶ χωρὶς νόμου εἰσίν, καὶ διὰ τοῦτο πλησιάζομεν αὐτοῖς." ὁ οὖν μακάριος πρὸς αὐτούς, "εἰ τὸν νόμον ὑμῶν ἀναγινώσκοντες ἐπεγινώσκετε, οὐκ ἂν μετὰ τῶν Μοντανῶν προσβολὰς ματαίων πραγμάτων ἐποιεῖσθε, καὶ θυσίας τοῖς εἰδώλοις προσεφέρετε, οὐ μὴν ἀλλὰ καὶ πρὸς φόνους κοινωνοὶ ἐγένεσθε. ὅμως οὖν αὗται αἱ παρθένοι αἱ ἅγιαι καὶ ἄμωμοι διὰ Χριστὸν κατηξιώθησαν τὰς κεφαλὰς ἀποτμηθῆναι. ὑμῶν δὲ εἰς αἰῶνας αἰώνων στηλιτευθήσεται ἡ ἀχάριστος γνώμη." οἱ οὖν ἅπαντες ὡς ἐξ ἑνὸς

XS (8 εἰσίν - 10 ἐπεγινώσκετε mutil.) CYVO

1 κληθεὶς SYV : κλιθῆς X κλιθεὶς C 1 ὃν XSCY : ὃ καὶ V 2 τὰ ἄλλα : τ' ἄλλα S 2 ἐάσομεν X : ἐάσαμεν S ἐάσωμεν, corr. ἐάσομεν C -ωμεν YV 2 παλαιοῖς XCYV : γραφοῖς S 2 πρὸς ὑμᾶς om. S 3 ἀγνοεῖτε XV : ἀγνοεῖται S ἀγνωῆτε CY 3 - 4 καὶ ἀναγινώσκοντες om. SY 4 τὸν (2) om. XSCY 4 ἐγκατελείπατε V : ἐγκαταλείπατε, corr. ἐγκατε- X ἐγκατελήπατε, corr. -λείπατε C ἐγκατελίπατε S 5 ἐμίγητε CV : ἐμίγηται X ἐμήγειτε S ἐμίγετε Y 8 ἡμῶν SCYV : ὑμῶν X 8 ἀναγγέλλομεν SCYV : -ωμεν X 8 καὶ om. V 9 πλησιάζομεν X : προσπλησιάζομεν CYV 9 post μακάριος verbum Παγκράτιος hab. C 10 ἀναγινώσκοντες ἐπεγινώσκετε : ἀναγινώσκετε Y 11 προσβολὰς : προσβουλὰς C 11 - 12 καὶ (✗) - ἐγένεσθε om. CY 11 τοῖς εἰδώλοις V : τῶν εἰδώλων X τῶν εἰδόλων S 12 ἐγένεσθε nos : ἐγένεσθαι X ἐγίνεσθαι S γίνεσθαι V 13 αἱ (2) : καὶ V 14 αἰῶνας αἰώνων CYV : αἰῶνα αἰῶνος XS 15 στηλιτευθήσεται SCYV : στηλιτεύεται X

στόματος εἶπον, "εἰ δύο ἀπεκτείναμεν νέας, ὡς λέγεις, παρθένους, ἐὰν οὐ παύσῃ τὰ πατρῷα ἡμῶν ἔθη καταλύων καὶ τοὺς θεοὺς ἡμῶν ταῖς μαγείαις σου ἐκφοβῶν, καί σου καὶ πολλῶν ἐν τῇ πόλει ταύτῃ οὕτως χρησόμεθα. τίς γὰρ εἶ σύ ἢ Βονιφάτιος; ἐν τῇ πόλει ταύτῃ ἡμεῖς ἡγεμόνα ἄλλον οὐκ ἔχομεν, εἰ μὴ Ἔλιδον πολιτάρχην τὸν υἱὸν Αὐριλιανοῦ." ὁ οὖν μακάριος σὺν πάντων τῶν πιστῶν ἔφη, "ἡμεῖς Χριστὸν Ἰησοῦν ἔχομεν βασιλέα ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς, καὶ μετ' αὐτοῦ τοὺς ἁγίους ἀποστόλους, καὶ εἰς ἄρχοντα τῆς πόλεως τὸν ἡγεμόνα Βονιφάτιον. τοὺς δὲ τούτους μὴ πειθομένους σέβειν καὶ προσκυνεῖν τὸν μὲν Χριστὸν Ἰησοῦν θεὸν ἀληθινὸν ἐκ θεοῦ ἀληθινοῦ καὶ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου, τοὺς δὲ ἁγίους ἀποστόλους ὡς μαθητὰς αὐτοῦ, τὸν δὲ Βονιφάτιον τῆς ἡγεμονίας τελειότητα, ἡμεῖς οἱ πιστοὶ συλλαβόμενοι αὐτούς, εἰς φρουρὰν κατακλείσωμεν ἕως οὗ ἐλθεῖν Βονιφάτιον τὸν ἡγεμόνα καὶ τούτους κατακρίνας κεφαλικῇ τιμωρίᾳ προσαπαλλάξῃ." ἀκούσαντες δὲ οἱ

XS (4 πόλει - ἡμεῖς mutil.) CYVO

1 εἶπον XCY : εἶπων S εἶπαν V 1 εἰ Y : ἢ XSCV 1 ἀπεκτείναμεν V : ἀπεκτήναμεν S ἀπεκτέγκαμεν X ἀπεκτάνκαμεν CY ἀπεκτήναμεν S ἀπεκτείναμεν V 1 νέας post λέγεις tr. CY 2 παύσῃ XCYV : παύσει S 2 πατρῷα V : πάτρια XSCY, fort. recte 2 ἔθη om. CY 2 καταλύων XSCY : καταλύειν V 2 τοὺς θεοὺς XSCY : τοῖς θεοῖς V 3 μαγείαις V : μαγίαις XSY μαγικαῖς C 3 σου (1) om. X 3 σου (2) CYV : σὺ XS 3 καὶ (2) om. XY 4 εἶ : ἐν V 5 ἄλλον XCV (post ἔχομεν tr. C) : ἄλλων S, om. Y 4 - 5 πολιτάρχην τὸν υἱὸν Αὐριλιανοῦ emendavi : τοποκτίστην τὸν υἱὸν Ἀβριλιανοῦ (Ἀβρηλιανοῦ X) XSCY τοποκτίστου υἱὸν ὑπάρχοντα V 6 post μακάριος verbum Παγκράτιος hab. C 6 πάντων om. V 7 Χριστὸν post Ἰησοῦν tr. V 7 ἔχομεν XV : ἔχωμεν SCY (post βασιλέα tr. CY) 7 post ἔχομεν verba μάλλον εἰ μὴ Ἔλιδον τοποκτίστην τὸν υἱὸν Ἀβριλιανοῦ. ὁ οὖν μακάριος Παγκράτιος σὺν πάντων τῶν πιστῶν ἔφη. ἡμεῖς Χριστὸν Ἰησοῦν hab. Y 7 οὐρανοῖς XSCY : οὐρανῷ V 7 - 8 μετ' αὐτοῦ XSCY : μετὰ ταῦτα V 8 post ἁγίους verbum σου hab. Y 8 τῆς πόλεως : τῶν πόλεων CY 9 τοὺς XSCY : τοῖς V 9 τούτους nos : τούτοις XSCYV 9 μὴ πειθομένους σέβειν καὶ om. CY 9 πειθομένους nos : πειθομένοις XV πηθομένοις S 10 μὲν XSCY : μονογενὴ V 10 Χριστὸν post Ἰησοῦν tr. V 12 ὡς om. XSCY, fort. recte 12-13 τῆς V : εἰς XCY ἧς S 13 συλλαβόμενοι V : συμβαλλόμενοι X συνβαλλόμενοι S συλλάβομεν CY 13 post φρουρὰν verbum καὶ hab. CY 14 κατακλείσωμεν XYV : κατακλήσωμεν S κατακλύσομεν C 14 ante ἕως verbum ὑμᾶς hab. XSCY 14 οὗ XSCY : τοῦ V 15 προσαπαλλάξῃ XC : προσαπαλλάξει SY προσαπαλάξει V

μιαροὶ ἐξανέστησαν, καὶ πολὺς τρόμος ἐπελάβετο αὐτούς. οἱ οὖν ὀρθόδοξοί φησιν πρὸς αὐτοὺς ὅτι, "πρὸς ἑσπέραν ἐστίν. †εἰ μὴ ἂν πληρωτέον παρ' ἡμῶν ἐγένετο†." ἀπῆλθον οὖν ἀκούσαντες ὑπὸ τῶν ἀνδρῶν καὶ τοῦ μακαρίου τοὺς λόγους τούτους, καὶ λαβόμενοι κατῆλθον διὰ τοῦ Φιλικοῦ Τόπου εἰς τὰς σκάφεις αὐτῶν, ἐμβληθέντες ἅπασαν τὴν περιουσίαν αὐτῶν σὺν γυναικῶν καὶ τέκνων καὶ παιδίσκων, βουλόμενοι διαπλεῦσαι εἰς Συρακούσαν. ἀκούσας δὲ ὁ μακάριος ὅτι οὕτως πεποιήκασι, διαπέμπεται αὐτοῖς Ξάνθιππον τόν ποτε φιλόσοφον καὶ χαρτοφύλακα, νῦν δὲ Ἐπαφρόδιτον διάκονον Χριστοῦ, καὶ φησίν, "ἄπελθε, τέκνον, καὶ εἶπε αὐτοῖς, 'τί βεβούλευται ἡ ὑμετέρα κακία ποιῆσαι; ποῦ θέλετε ἀπελθεῖν; οὐκ εἰμὶ ὀργίλος. οὐ φυλάσσω κακίαν. ἔλθετε, καὶ ὑπακούσαντες τοῖς καλῶς λεγομένοις, κακὸν οὐκ ἕξετε.'" ἀπελθὼν οὖν ὁ Ἐπαφρόδιτος ἐλάλησεν αὐτοῖς, καὶ οὐκ ἠνέσχοντο ἀκοῦσαι αὐτοῦ. ἐκπέμψας δὲ ὁ μακάριος ἐκ τρίτου, οὐδεὶς ὑπακοὴν πεποίηκεν. εἷς δέ τις ἐπακταῖος Μοντανὸς τῶν

XSCYVO

2 φησιν om. XSCY 2 αὐτούς ⸗ : αὐτοῖς S 2 εἰ μὴ CV : ἒἰ μὶ Y ἐπεὶ XS 3 πληρωτέον XV : πλειοτέρων S πληρωταίον C πληρωτέων Y 3 ἡμῶν : ἡμῖν V 3 ἀπῆλθον nos : ἀπήλθασιν XCY : ἀπήλθων S ἀπήλθαν V 4 post μακαρίου verbum Παγκρατίου hab. V 5 κατῆλθον XCYV : ἀπήλθων S 5 Φιλικοῦ : Φιληκοῦ X 5 σκάφεις XSV : σκάφης CY 5 αὐτῶν om. Y 5 ἐμβληθέντες : ἐκβληθέντες S 6 ἅπασαν XSV : σύνπασι C σύμπασι Y 6 τὴν περιουσίαν XS : τῇ περιουσίᾳ CY περιουσίαν V 6 - 7 γυναικῶν καὶ τέκνων καὶ παιδίσκων XCY : γυναίξι καὶ τέκνοις S γυναίξι καὶ παίδων καὶ τέκνοις καὶ παιδίσκων V 7 διαπλεῦσαι XSV : ἀποπλεῦσαι CY 7 εἰς Συρακούσαν XSCY : ἐν Συρακούσῃ V 8 post μακάριος verbum Παγκράτιος hab. CY 8 διαπέμπεται XCYV : πέμπει S 9 ποτε om. S 9 Ἐπαφρόδιτον : Ἐπαφρῶδιτον S 9 post Ἐπαφρόδιτον verbum καὶ hab. Y 9 διάκονον V : διάκονα XCY 9 - 10 διάκονον Χριστοῦ: φιλόσοφον τοῦ Χριστοῦ S 10 καὶ (ι) om. V 11 κακία ποιῆσαι V : ποιῆσαι κακίαν X ποιῆσαι κακία S κακία CY 13 κακὸν V : κακῶς XSCY 13 ἕξετε SCYV : ἕξεται X 13 ἀπελθὼν XSCV : ἀνελθὼν Y 13 Ἐπαφρόδιτος XV : Ἐπαφρώδιτος S Ἐπαφρόδητος CY 14 ἠνέσχοντο : ἠνέσχον τοῦ S 14 δὲ XSCY : οὖν V 15 ἐπακταῖος XC : ἐπακτέος YV ἐπακταίως S

δοκιμοτάτων, πάνυ ἐπαοιδός, ὃς καὶ ἐπιδεδωκὼς Ἐλίδῳ τὸ βιβλίον, ὃ πρὸ ὀλίγου μνημονευθείς, αὐτὸς μόνος ἦλθεν μετὰ Ἐπαφροδίτου, ὃς καὶ διηγησάμενος ἡμῖν τὰ κρυπτὰ τῶν μιαρῶν μετὰ τὸ πιστεῦσαι αὐτὸν τῷ Χριστῷ. οἱ οὖν πονηροὶ οὗτοι καὶ ἄθεοι εἰδωλολάτραι, οἱ μὴ ἀκούσαντες τῷ κηρύγματι Παγκρατίου, ἐξῆλθον αἴσιον πλοῦν ἐσχηκότες. ὁ δὲ μακάριος Παγκράτιος κατελθὼν διὰ τοῦ μολικοῦ χάσματος εἰς τὸν τοῦ τείχους περίπατον, ἀνελθὼν ἐν τῷ βουνῷ, ηὔξατο οὕτως, "κύριε ὁ θεός μου Ἰησοῦ Χριστέ, ἀληθινὲ θεέ, εἰ εὐάρεστόν σοί ἐστιν, ἐγερθήτω λαῖλαψ ἀνέμου καὶ καταποντισάτω τοὺς μιαρούς, ὡς κατεποντίσθησαν οἱ Αἰγύπτιοι ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ," καὶ εὐθέως σὺν τῷ λόγῳ αὐτοῦ ἠγέρθη λαῖλαψ ἀνέμου καὶ κατεποντίσθησαν ἐν τῷ ὕδατι τῆς θαλάσσης καὶ οὐχ ὑπελείφθη ἐξ αὐτῶν ἄνθρωπος. ἰδὼν δὲ ὁ Ἔλιδος, κατεχόμενος τῷ σκληρῷ πνεύματι εἶπεν, "ὄντως ὁ μάγος οὗτος ὁ τοὺς σοφοὺς ἄνδρας καταποντίσας τῇ μαγείᾳ αὐτοῦ, δύναται καὶ τὸ ὕδωρ τῆς θαλάσσης ἀνενέγκας καταποντίσαι πᾶσαν τὴν πόλιν,

, 13 Ἔλιδος — ὄντως

XS (3 μετὰ - εἰδωλολάτραι mutil.) CYVO

1 ὃς (ι) nos : ὃ XSCY 1 τὸ βιβλίον CV : τὸ βιβλίω, corr. τῶ βιβλίον X τῶ βιβλίον SY 2 ὀλίγου : ὀλίγον S 4 αὐτὸν : αὐτῶν Y 5 τῷ : τὸ Y 5 κηρύγματι XSV : προστάγματι CY 5 Παγκρατίου : Παγκρατίῳ S 7 χάσματος : χάσματον Y 7 τείχους XSV : τείχου CY 7 ηὔξατο XCYV : προσηύξατο S 8 οὕτως SCV : οὗτος X οὗτος, corr. -ως Y 8 κύριε : κύριος S 8 εἰ XSV : ἡ CY 8 εὐάρεστόν XSV : ἄρεστόν CY 9 ἐστιν XSYV : ἔστω C 9 ἐγερθήτω : ἐγερθήτο V 9 καταποντισάτω XSC : -ησάτο Y -ισάτο V 11 ἠγέρθη : ἐγέρθη C 12 ὑπελείφθη] gonese Usp 12 ἰδὼν V : εἰδῶς XC ἰδὸς SY 13 ante Ἔλιδος verbum δόλιος hab. X 13 ὄντως : ὄντος C 14 οὗτος : οὕτως S 14 μαγείᾳ : μαγικῇ S 14 post αὐτοῦ verbum τέχνη hab. S 14 ante δύναται verbum οὐ hab. X, fort. recte 14 δύναται CV : δύνωται X δύνατε SY 15 ἀπενέγκας XSV : ἐνέγκας CY 15 καταποντίσαι XCYV : καταποντίσει S

ὅπως ἡ τῶν Ταυρομενιτῶν πόλις στερηθῇ τῶν πατρῴων ἐθῶν," καὶ οὐδὲν ἕτερον εἶπεν διὰ τοὺς παρόντας, ἵνα μὴ κακῶς ἀπολεῖται. ὁ οὖν μακάριος πρὸς Ἔλιδον ἀποστέλλει τινα τῶν πιστῶν λέγων, "ἀπελθὼν εἶπε τῷ Ἐλίδῳ, 'τί θρηνεῖς τὴν πόλιν, ἣν ὁ κύριος ἐπισκέψατο καὶ ἡ χάρις αὐτοῦ ἐπεσκίασεν; εἰ θέλεις, καὶ σὲ ἐπισκέψεται, τῆς σκληράς σου γνώμης ἀλλασσομένης.'" ὁ οὖν Ἔλιδος οὐδὲ κἂν ἠνέσχετο ἀκοῦσαι τοῦ ἀπελθόντος εἰπεῖν αὐτῷ. ὁ δὲ μακάριος οὐκέτι τοῦ λοιποῦ προσεποιήσατο εἰπεῖν αὐτῷ τι, εἰς δὲ τὰ ὦτα τοῦ πιστοῦ λαοῦ, γνοὺς τῷ πνεύματι, ἔφη ὅτιπερ, "τεκνία μου ἐν κυρίῳ, καὶ ὁ ἡμέτερος ἡγεμὼν μετὰ τοῦ λαοῦ αὐτοῦ, ὅλων ἐν ῥώσει ὄντων καὶ ἐπινίκια φερόντων παμπληθῆ, ἐντὸς ἡμερῶν δύο καὶ τὰ ἐνταῦθα καταλαμβάνουσιν. ἀπέλθετε οὖν, εἴπατε τῷ Ἐλίδῳ, ἵνα τὰ τῆς πόλεως ἐπίσημα εὐτρεπίσῃ." πληρωθέντων οὖν τῶν δύο ἡμερῶν, ὄντων πάντων εἰς τὸ εὐκτήριον, ἀνέφαναν καὶ τὰ σκάφη. ὡς δὲ ἑώρακεν ἡ πόλις, κατῆλθον ἐν τῇ παραλίᾳ Φάλκονος. κατῆλθεν δὲ καὶ ὁ μακάριος

XS (~~13 Ἔλιδος - ὄντως mutil.~~) CYVO

1 πόλις om. CY 1 στερηθῇ XV : στεριθῇ SC στεριθήτω Y 2 οὐδὲν post ἕτερον tr. XSCY 3 post μακάριος verbum *Παγκράτιος* hab. CY 3 τινα XSCY : τινας V 3 ἀπελθὼν XSCY : ἀπελθόντες V 4 εἶπέ XSCY : εἴπατε V 4 θρηνεῖς XYV : θρινῇ S θρινεῖς, corr. θρηνεῖς C 5 εἰ : ἡ Y 5 θέλεις SCYV : θέλης X, fort. recte 5 ἐπισκέψατο CYV : ἐπεσκέψατο XS 6 ἀλλασσομένης XS : ἀλλασομένης V ἀπαλλασσομένης CY 6 οὖν XSCY : δὲ V 7 ante εἰπεῖν verbum ταῦτα hab. V 7 ὁ δὲ μακάριος - αὐτῷ om. Y 7 post μακάριος verbum *Παγκράτιος* hab. V 8 προσεποιήσατο SV : -σατω XC 9 ἔφη XYV : ἔφει, corr. ἔφη C εἶπε S 9 ὅτιπερ XCYV : ὅτι S 9 τεκνία XSCY : τέκνα V 10 αὐτοῦ X : ἡμῶν SCYV 10 - 11 καὶ ἐπινίκια φερόντων om. CY 11 ἐντὸς XSV : ἐντῶς CY 12 ἀπέλθετε XCY : ἀπέλθατε S ἀπελθόντες V 12 τῷ om. V 13 εὐτρεπίσῃ V : εὐτρεπήσει XSCY 13 τῶν om. XCYV 15 παραλίᾳ XSV : πόλει CY 15 καὶ om. XC 15 post μακάριος verbum *Παγκράτιος* hab. CY

διακατέχων τὸ σκεῦος τῆς εὐωδίας ἐν τῇ χειρί. ἤρξαντο οὖν ἐπᾴδειν φωνὰς ἐπαίνων, καὶ ἐξήλθομεν ἐγὼ καὶ ὁ ἡγεμών, καὶ πεσόντες εἰς τοὺς πόδας αὐτοῦ, περιεπτυξάμεθα αὐτόν, καὶ ἀναστάντες εὐχαρίστήσαμεν τῷ θεῷ τῷ διασώσαντι ἡμᾶς καὶ ἀξιώσαντι τὴν ὑμετέραν ἁγιωσύνην προσκυνῆσαι. ὁ οὖν Ἔλιδος καὶ αὐτὸς ἦλθεν καὶ προσεκύνησεν τῷ ἡγεμόνι. ἐκέλευσεν δὲ ὁ ἡγεμών, καὶ ἐπεδόθη σιτάρχησις τῷ λαῷ προβάτων καὶ βοῶν καὶ τράγων καὶ ὑῶν πλήθη πολλὰ καὶ οἶνον καὶ ψωμὸν πολλοστόν· ἦν γὰρ ἡ αἰχμαλωσία παμπληθὴς καὶ ἅρματα πάμπολλα, ἀσπίδες καὶ δόρατα καὶ ζῶναι σὺν περικεφαλαιῶν. πλησίον δὲ τοῦ ἱππικοῦ ἦν ἡ ἀπόθεσις τῶν τῆς αἰχμαλωσίας ἁρμάτων· οἱ γὰρ ἐγχθόνιοι ἄνδρες ἕκαστος τὴν ἰδίαν πανοπλίαν ἐβάσταζεν. καὶ τί ὑμῖν λέγειν τὰ μικρά; ἐπανέλθωμεν ἐν τοῖς ἔμπροσθεν. λαβὼν οὖν ὁ λαὸς τὴν σιτάρχησιν, ἀπῆλθον ἐν τοῖς ὕδασι τοῦ πεδίου ἐπαναπαύσασθαι. ἐπέβημεν δὲ καὶ ἡμεῖς ταῖς ἡμιόνοις καὶ ἀνήλθομεν ἐν τῇ πόλει καὶ εἰσήλθομεν εἰς τὸ εὐκτήριον. ὁ

XS (13 ἔμπροσθεν - 14 ὕδασι mutil.) CYVO

1 διακατέχων XCYV : κατέχων S 2 ἐξήλθομεν XY : -ωμεν SC -αμεν V 2 post ἐγὼ verbum τε hab. V 2 post ἡγεμών verbum *Βονιφάτιος* hab. V 2 εἰς : ὑπὸ Y 3 αὐτόν V : αὐτούς XSCY 4 εὐχαρίστήσαμεν XSCY : ηὐ- V 5 ante προσκυνῆσαι verba ἐν ῥώσει hab. V 5 καὶ (1) om. S 5 καὶ (2) om. S 6 δὲ XSCY : οὖν V 7 καὶ (2) om. CY

7 - 8 ὑῶν πλήθη πολλὰ καὶ οἶνον V : οἴνων (οἶνον X) πλήθη (πλήθει S) XSCY 8 ψωμὸν πολλοστὸν V : ψόμων πολλοστῶν XSCY 9 πάμπολλα : πολλὰ S 11 ἐγχθόνιοι nos : ἔγχθονες X ἔχθονες S αἴχθονες C αἴχθοναις Y ἔκθονες V 12 ὑμῖν CY : ἡμῖν XSV 12 ἐπανέλθωμεν SY : -ομεν XCV 13 σιτάρχησιν V : σιταρχίαν XSCY 13 ante σιτάρχησιν verba πανοπλίαν ἅμα καὶ hab. CY 13 ἀπῆλθον : ἀπῆλθασιν Y 14 ἐπέβημεν XV : ἀπέβημεν S ἀνέβημέν CY 15 post ἡμιόνοις verbum ἡμῶν hab. S 15 ἀνήλθομεν XC : -ωμεν SY -αμεν V 15 εἰσήλθομεν C (ἠσ-, corr. εἰσ-) Y : -αμεν XV -ωμεν S

δὲ Βονιφάτιος φησὶν πρὸς τὸν μακάριον, "πάτερ, πῶς διαπρέπει ὁ νέος ἡμῶν πολιτάρχης;" ὁ δὲ σύνδακρυς γενόμενος, περιλαβὼν τὸν Βονιφάτιον καὶ ἀπασάμενος, ἤρξατο λέγειν αὐτῷ περὶ τῶν μακαρίων παρθένων, καὶ πῶς ἐπέδραμεν ἡ συναγωγὴ τῶν μιαρῶν Ἰουδαίων καὶ τῶν πονηροτάτων Μοντανῶν, καὶ πῶς ἐν τῇ θαλάσσῃ ἐβυθίσθησαν, καὶ ὅτι, "ὁ Σατανᾶς πεπλήρωκε τὴν καρδίαν Ἐλίδου, καὶ πολλάκις, τέκνον, παρῄνεσα αὐτῷ ἀποστῆναι ἐκ τῆς διαβολικῆς μανίας καὶ προσελθεῖν τῇ ἀμωμήτῳ πίστει, καὶ οὐκ ἐπείσθη ὑπακοῦσαι τοῖς καλῶς λεγομένοις." ὁ οὖν Βονιφάτιος πρὸς τὸν μακάριον, "ἡ εὐχή σου, πάτερ, τὰ πάντα ἡμῖν ἐβράβευσε, καὶ τὰ νῦν βραβεύσει, καὶ οὐ μὴ σκολιὸν παρ' ἡμῶν ἐνώπιόν σου γένηται· ἡμεῖς γὰρ πάντες οἱ πεπιστευκότες Ἰησοῦ Χριστῷ τῷ κηρυχθέντι ὑπό σου, εἰλικρινεῖ καρδίᾳ καὶ ἀδιστάκτῳ νοΐ τὰς ἡμετέρας ψυχὰς πεπιστεύκαμεν καὶ πιστεύομεν καὶ θαρροῦμεν ἐπιπλεῖον τὰς ψυχὰς ἡμῶν φωτισθῆναι διὰ τῆς ἀκλινοῦς σου πίστεως καὶ ἱκεσίας τῆς πρὸς τὸν κύριον ἡμῶν

XS (7 *παρῄνεσα* - 8 *προσελθεῖν* mutil.) CYVO

5 *τῶν πονηροτάτων* om. SCY 6 post *καὶ* (2) verbum *φησὶν* hab. V, fort. recte 7 *αὐτῷ* CYV : *αὐτὸν* X 7 *ἐκ* om. V 8 *οὐκ* : *οὔκετι* S 8 *ἐπείσθη* V : *ἐπίσθη* XSCY 8 *ὑπακοῦσαι* om. V 9 post *οὖν* verbum *καλῶς* hab. V 9 post *μακάριον* verbum *Παγκράτιον* (*Πραγκράτιον* Y) *εἶπεν* hab. CY 10 *τὰ* (1) SY : *τὸ* XCV 10 *ἐβράβευσεν* C : *βραβεύσει* XYV *βραβεύση* S *ἐβράβευσεν* C 11 *σκολιὸν* : *σκολιῶν* S 11 *γὰρ* om. XSCY 12 *Ἰησοῦ Χριστῷ* XCV : *Ἰησοῦ τῷ Χριστῷ* Y *Ἰησοῦ Χριστοῦ* S 13 *νοΐ* CV : *νωΐ* X *λογισμῷ* S *γνώμῃ* Y 14 *πιστεύομεν* XCV : *-ωμεν* SY 14 *καὶ* om. S 14 *ἐπιπλεῖον* XSV : *ἔτι πλεῖον* CY 14 *ψυχὰς ἡμῶν* XSCV : *ἡμετέρας ψυχὰς* Y 15 *σου* om. CY

Ἰησοῦν Χριστόν. περὶ δὲ τῶν πραχθέντων ὑπὸ Ἐλίδου, ὧνπερ ἤκουσα πραγμάτων, τὰς χρείας ποιησώμεθα τοῦ λαοῦ καὶ οὕτως ποιούμεθα καὶ τὴν ἐξέτασιν πάντων, ὧν ἠκούσαμεν, καὶ παρακαλῶ σε, πάτερ, κατελθεῖν καὶ τὰς εὐλογίας σου τὰς πνευματικὰς παρασχεῖν τῇ ποίμνῃ τοῦ Χριστοῦ καὶ ὑμῶν· ποιμένα γάρ σε λέγω, ὅτι περιεποιήσω τῷ Χριστῷ λαὸν περιούσιον κατασκευασμένον." ὁ δὲ μακάριος πρὸς Βονιφάτιον, "ἐγώ, τέκνον ἐν Χριστῷ Ἰησοῦ, μεθ' ὑμῶν εἰμί." τῇ οὖν ἐπαύριον ἦλθεν ὁ Βονιφάτιος καὶ πάντες οἱ τριβοῦνοι καὶ οἱ λοιποὶ χιλίαρχοι καὶ ἑκατόνταρχοι καὶ πεντηκόνταρχοι, οἱ ἐν τῷ λαῷ δυνάσται, καὶ λέγουσι τῷ μακαρίῳ, "ἅγιε Παγκράτιε, δὸς ἡμῖν τὰς εὐλογίας σου, ὅτι ἐκ τοῦ πολέμου ἤκαμεν." ὅτε γὰρ κατῆλθεν ὁ μακάριος εἰς ἀπάντησιν τοῦ λαοῦ, οὐκ ἦν εὐλογήσας αὐτούς, ἐπειδὴ οὐ παρῆσαν ἅπαντες, καὶ ἐπευξάμενος τοῖς ἀνδράσιν, ἐκαθέσθησαν πλησίον τοῦ μακαρίου, ὡσεὶ πεντήκοντα ἄνδρες δυνάσται. οἱ δὲ λοιποὶ εἱστήκεσαν ὡς νέοι καὶ πολεμισταί. ὁ οὖν Βονιφάτιος πρὸς τὸν

XSCYVO

1 ὧνπερ XSY : ὅνπερ C περὶ ὧν V 2 ποιησώμεθα XYV : ποιησόμεθα C ποιήσωμεν S 2 post λαοῦ verbum πάτερ hab. V 2 ποιούμεθα XCYV : ποιῶμεν S 3 καὶ (2) om. S 5 ὑμῶν V : ἡμῶν XSCY 5 - 6 τῷ Χριστῷ λαὸν XCY : τῷ Χριστῷ νεὸν λαὸν V τῷ λαῷ πιστεύειν τῳ Χριστῷ S 6 post μακάριος verbum Παγκράτιος hab. V 6 πρὸς XSV : προσφωνήσας CY 7 post Βονιφάτιον verbum λέγει hab. CY 7 Ἰησοῦ : τῷ θεῷ S 7 ὑμῶν SCYV : ἡμῶν X, corr. ὑμῶν X¹ 8 πάντες S : ἅπαντες XCYV 8 οἱ (2) CV : καὶ (sic) Y, om. X 9 καὶ πεντηκόνταρχοι om. CYV 10 δυνάσται XSCY : δυνατοὶ V 11 ἤκαμεν SV : ἤλθαμεν XCY, fort. recte 11 κατῆλθεν XCYV : ἦλθεν S 12 ante οὐκ verbum καὶ hab. S 12 ἐπειδὴ : ὅτι S 13 ante ἀνδράσιν verbum παροῦσιν hab. S 14 πλησίον V : ἅπαντες πλησίον CY τοῖς ποσὶ XS 14 - ~~15~~ ὡσεὶ - 15 πολεμισταί om. CY 15 εἱστήκεσαν nos : ἱστήκησαν X εἱστήκησαν S ἑστήκησαν V

μακάριον, "κέλευσον, πάτερ, κατέλθωμεν." ἐξαναστὰς οὖν ὁ μακάριος, λέγει Ξανθίππῳ, "ἔπαρον, τέκνον, τὴν ἱεράν μου στολὴν καὶ κατέλθωμεν· ὁ γὰρ κύριος Εὐάγριος ἔχει τὰ σκεύη τῆς λειτουργίας." κατήλθομεν οὖν καὶ ἀπελθόντες ἐν τῷ συνήθει τόπῳ, λέγει πρός με, "τέκνον, σὺ λάβε τὰ σκεύη καὶ περιποίησαι." ἐγγίσας οὖν ὁ μακάριος καὶ λαβών με μετὰ τὸ καταστῆσαι τὴν συνήθη ἀκολουθίαν, καταφιλῶν ἐν δάκρυσιν ἔλεγεν, "ὦ τέκνον Εὔαγριε, ποίας θλίψεις ἐποίησέν μοι ὁ μιαρὸς Ἕλιδος, οἵας οὐδὲ ὅταν ἦν ἅπαν τὸ πλῆθος Ἕλληνες." ἐγὼ δὲ πεσὼν εἰς τοὺς πόδας αὐτοῦ εἶπον, "πάτερ, εἰ ὑπακούσῃ τοῖς καλῶς λεγομένοις, σωθήσεται, εἰ δὲ μή, συναπολεῖται τῇ ἀδικίᾳ αὐτοῦ καὶ παρὰ θεῷ καὶ παρὰ ἀνθρώποις." λέγω οὖν ἐγὼ τῷ ἀδελφῷ Ἐπαφροδίτῳ, "λάβε τὸ στιχάριόν σου καὶ τὸ ὀράριον, καὶ ἀπελθὼν αἴτησαι εἰρήνην." ἐποίησεν δὲ εἰρήνην, καὶ ἀπελθὼν ἔστη ἔμπροσθεν τοῦ μακαρίου. ἀναστὰς οὖν, εἶπεν πρὸς ἡμᾶς τὸν συνήθη αὐτοῦ λόγον, "τεκνία μου, καιρὸς τοῦ ποιῆσαι τῷ κυρίῳ." καὶ πάραυτα ἤρξατο τοῦ

XS (9 καλῶς - 10 ἀδικίᾳ mutil.) CYVO

1 κατέλθωμεν S : -ομεν XCYV 1 ἐξαναστὰς XCYV : ἀναστὰς S 2 ἔπαρον V : ἔπαρε XSCY 2 μου XSV : σου CY 3 κατέλθωμεν S : -ομεν XCYV 3 κύριος SY : κύρις XCV 4 κατήλθομεν CY : -ελθωμεν X -ήλθωμεν S -ηλθαμεν V 5 σὺ λάβε XCYV : σύλλαβε Sδ 6 τὴν συνήθη : τῇ συνήθει S 8 οἵας om. V 8 ἅπαν om. S 9 εἶπον : εἶπων S 9 πάτερ om. CY 9 ὑπακούσῃ XCY : ὑπακούσει SV 13 αἴτησαι - εἰρήνην (2) om. V 13 ἀπελθὼν ἔστη XSV : ἀπῆλθεν CY 15 τεκνία μου om. Y 15 καιρὸς : καλῶς S 15 ἤρξατο : ἤρξαντο Y

θείου ὕμνου. μετὰ οὖν τὸ πληρῶσαι αὐτόν, ἦλθεν ἐν τῇ ὑψώσει τοῦ ἄρτου, καὶ κατῆλθεν νεφέλη καὶ ἐκύκλωσεν αὐτόν, καὶ ὅτε ὑψώθη ὁ ἄρτος διὰ τῶν χειρῶν τοῦ μακαρίου, ἤρθη καὶ ἡ νεφέλη. προσήλθομεν δὲ μελίσαι τὸν θεῖον καὶ ἄχραντον ἄρτον, τὸ σῶμα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἦν ἰδεῖν τὸν μακάριον πλήρης χάριτος θείου πνεύματος ἐμπεπλησμένον, ὡς μὴ δύνασθαι ἡμᾶς ἀτενίζειν εἰς τὸ πρόσωπον αὐτοῦ. ὅτε δὲ ἤρξατο τοῦ μέλους τὸ πανίερον αὐτοῦ στόμα, ἴδομεν γλῶσσαν πύρινην ἐν τῷ στόματι αὐτοῦ φθεγγομένην. πᾶσα δὲ ἡ αἰχμαλωσία ἐθαύμασεν καὶ ἐξέστη, ὡς ἤκουσαν τῆς ἡδυτάτης φωνῆς, καὶ εἶπον πρὸς ἀλλήλους, "ποία τάξις θέλει εἶναι ταύτῃ, καὶ ἐν τοῖς πολέμοις τοιαῦτα, καὶ ἐν τῇ γῇ αὐτῶν οὕτως; ποίῳ θεῷ δουλεύουσιν οὗτοι;" οὐδεὶς δὲ τετόλμηκεν τὴν τάξιν εἰπεῖν αὐτοῖς, ὡς τοῦ ἡγεμόνος εἰπόντος, "μὴ χωρὶς τοῦ μακαρίου αὐτοὶ τὴν δόξαν ἡμῶν τὴν ἐν Χριστῷ καταμάθωσιν, ἀλλ' αὐτὸς ἅπαντας κατηχήσας βαπτίσει." πληρωθέντος οὖν τοῦ μελισμοῦ τοῦ ἁγίου καὶ ἀχράντου σώματος τοῦ

XS (4 *ἡμῶν* - 5 *χάριτος* mutil.) CYVO

1 *τὸ* : *τοῦ* S 2 *κατῆλθεν νεφέλη καὶ ἐκύκλωσεν αὐτόν*] *сниде wблакъ и wкружи ихъ* Usp 2 *ἐκύκλωσεν* XS : *περιεκύκλωσεν* CV *περιεκύκλοσεν* Y 3 post *μακαρίου* verbum *Παγκρατίου* hab. V 3 *προσήλθομεν* X : *-ωμεν* SC *-ομεν*, corr. *-ωμεν* Y *-αμεν* V 4 *μελίσαι* XV : *μελήσαι* SCY 4 *ἄρτον* XSV : *ἀμνὸν καὶ* CY 5 - 6 *θείου πνεύματος* : *καὶ δυνάμεως καὶ πνεύματος θείου* S 7 - 8 *ὅτε δὲ - φθεγγομένην*] *нача пѣти, видѣхомъ языкъ его wгнѣнь въ устѣхъ его глоущь* Usp 7 *τὸ πανίερον αὐτοῦ στόμα* : *τὸ σωτήριον ἐκ τοῦ στόματος αὐτοῦ* S 8 *ἴδομεν* YV : *-μεν* XSC 8-10 *πᾶσα δὲ ἡ αἰχμαλωσία - ἀλλήλους*] *Вси же плѣнници чудишесе и ужасошесе и рекоше другъ къ дроугоу* Usp 9 *ἤκουσαν* XSCV : *ἤκουσεν* Y 10 *εἶπον* XCY : *εἶπων* S *εἶπαν* V 10 *θέλει* XSYV : *θέλη* C 11 *ποίῳ θεῷ* CYV : *ποῖον θεὸν* X *ποίων θεῶν* S, fort. recte 11 $\bar{\text{ι}}^{12}$ *ποίῳ θεῷ δουλεύουσιν οὗτοι*] *коемоу Богоу работаютъ сіи* Usp 12 *δὲ* om. S 13 *εἰπόντος* om. XSCY 13 *τὴν* (2) om. XS 13 - 14 *ἐν Χριστῷ* post *καταμάθωσιν* tr. S 14 *ἀλλ'* : *ἀλλὰ* X 14 *κατηχήσας* XSY : *κατιχήσας* C *κατηχήσει καὶ* V 15 *πληρωθέντος* CYV : *-θέντως* XS

κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μετέλαβεν ὁ μακάριος φόβῳ πολλῷ καὶ μετέδωκεν κἀμοὶ καὶ Ἐπαφροδίτῳ τῷ διακόνῳ. ἔλαβεν δὲ καὶ τὸν κρατῆρα, καὶ μετέλαβεν καὶ τοῦ ποτηρίου. ἦν δὲ ἰδεῖν, ἀδελφοί, οὕτως διακατεχόμενον τὸν μυστικὸν ἄνθρακα ἐν τῇ χειρὶ τοῦ μακαρίου, ὡς τὸ ἓν τῶν Σεραφὶμ τὸ διακατέχον ἐν τῇ λαβίδι ἐκ τοῦ θυσιαστηρίου τὸν ἄνθρακα καὶ ἁψάμενον τοῦ στόματος τοῦ προφήτου. προσῆλθον οὖν καὶ ὁ λαὸς κατὰ τὰ τάγματα αὐτῶν, καὶ μετέλαβον ἅπαντες τῶν ζωοποιῶν μυστηρίων, καὶ εἰρηνεύσας ἅπαντας ἀπέλυσεν ἐπευξάμενος. ἐγένετο δὲ χαρὰ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐπὶ τῶν λογικῶν προβάτων τοῦ Χριστοῦ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς. ἀπῆλθον οὖν οἱ λαοὶ ἅπαντες εἰς τὰς δέρρεις αὐτῶν καὶ ἡμεῖς σὺν τῷ μακαρίῳ εἰς τὴν σκηνὴν Βονιφατίου, ἐγκαταλείψαντες εἰς τὰ ἱερὰ σκεύη Λυκαονίδην συλλαβέσθαι αὐτά. κελεύσας οὖν τῷ μακαρίῳ Ἐπαφροδίτῳ εἰρήνην δεηθῆναι τῷ θεῷ, ἐποίησεν αὐτὸς τὴν συνήθη εὐχήν, καὶ ἐκαθίσαμεν, ἐγώ τε ἐν τοῖς δεξιοῖς καὶ ὁ μακάριος Ἐπαφρόδιτος ἐν τοῖς εὐωνύμοις. λέγω δὲ αὐτὸν

XSCYVO

4 - 6 Is. 6:6

1 μετέλαβεν XSCY : μετελάβομεν V 1 ὁ μακάριος om. CY 4 ἄνθρακα XSV : ἄρτον CY 4 τοῦ μακαρίου XSV : αὐτοῦ CY 5 τῶν : τῷ V 5 διακατέχον V : διακατέχων XSCY 6 ἁψάμενον : ἁψάμενος S 6 - 7 τοῦ προφήτου - τάγματα om. S 6 - 8 προσῆλθον - μυστηρίων] *Придоше оубо людіе по чинамъ своимъ и комькаще животворныихъ Таинъ* Usp 7 ὁ λαὸς XSCY : οἱ λαοὶ V 7 ἅπαντες XC : πάντες SYV 9 - 10 ἐγένετο - γῆς] *Бысть же радость въ той день на небеси и на земли* Usp 10 ἀπῆλθον : ἀπήλθων S 10 - 11 ἀπῆλθον - αὐτῶν] *Идоше оубо людие въ колимогы своѥ* Usp 10 εἰς om. XSCY, fort. recte 12 Λυκαονίδην V : τῳ Λυκαονίδῃ XSCY, fort. recte 12 ante συλλαβέσθαι verbum τοῦ hab. S 13 τῷ μακαρίῳ XSCY : ὁ μακάριος V 13 θεῷ XSCY : Χριστῷ V 14 ἐκαθίσαμεν XV : ἐκαθήσαμεν S ἐκαθέσθησαν C ἐκάθησαν Y 15 αὐτὸν τὸν V : τὸν XS αὐτὸν CY - 269. 1

'τὸν μακάριον', ἐπειδὴ πολλάκις δι' αὐτοῦ ἡ χάρις τεθαυματούργειται τοῦ ἁγίου πνεύματος, ἐπεὶ ἐὰν καθ' ἕν καὶ τούτου τὰ θαύματα ἐρευνήσαντες ἀναγραψώμεθα, ἑτέραν βίβλον συστησόμεθα. ὀλίγον οὖν ἐνδιατρίψωμεν τούτοις, καὶ οὕτως ἀρχώμεθα λέγειν τὰς τοῦ ἀνδρὸς θεαρέστους προκοπὰς τὰς ἐκ τῆς ἄνωθεν χάριτος καταμηνυθείσας· πλεῖστα γὰρ κύριος Ἰησοῦς Χριστὸς ὁ θεὸς ἡμῶν θαύματα πεποίηκεν δι' αὐτοῦ. εἶτα καθίσαντος καὶ Βονιφατίου καὶ ἁπλῶς πάντων, κλάσας ὁ μακάριος ἄρτον κατὰ τὸν εἰθισμένον ἡμῖν κανόνα, ἐλάβομεν ἐκ τῆς χειρὸς αὐτοῦ, καὶ ἁπάσης χρείας ἐπιτελεσθείσης, ὁ μακάριος πρὸς Βονιφάτιον εἶπεν, "τέκνον, σπεῦσον τῶν ἀρίστων τὰ συμπόσια· ἔχομεν γάρ τι διαπράξασθαι." ἐκέλευσεν οὖν ὁ Βονιφάτιος τοῖς ὑπηρέταις ταχύναι, καὶ ταχύναντες ἐξανέστημεν καὶ ἡμεῖς ἐκ τῆς τραπέζης. ἀπῆλθον οὖν οἱ ἄρχοντες εἰς τὰς δέρρεις αὐτῶν, καὶ ἡμεῖς ἦμεν ὑπὸ τὴν σκηνὴν Βονιφατίου. ἤρξατο οὖν ὁ μακάριος περὶ τῆς αἰχμαλωσίας ἐρωτᾶν αὐτόν, ποίου γένους ἐστιν καὶ ποῖα γλῶσσα ἐν αὐτοῖς, καὶ

XSCYVO

1 - 2 *ἐπειδὴ - πνεύματος* om. XSCY, propter homoeoarchon 2 ante *καὶ* verba *εἰς μέσον* hab. S 3 *ἀναγραψώμεθα* SYV : *-ώμεθα*, corr. *-όμεθα* C *-όμεθα* X 3 *συστησόμεθα* XCYV : *-σώμεθα* S 3 *ὀλίγον* : *ὀλίγων* V 3 *οὖν* XSC : *δὲ* V, om. Y 4 *ἐνδιατρίψωμεν* SC : *ἐνδιατρίψομεν* XV *διατρίψωμεν* Y 4 *ἀρχώμεθα* S : *-όμεθα* XCYV 5 *καταμηνυθείσας* : *μηνυθείσας* V 7 *καθίσαντος* XSV : *καθήσαντος* C *καθήσαντες* Y 7 *καὶ* (1) om. V 8 *εἰθισμένον* nos : *ἠθισμένον* XSCYV 8 *ἡμῖν* om. CY 9 post *μακάριος* verbum *Παγκράτιος* hab. CY 10 *τέκνον* om. Y 10 *ἔχομεν* XSCV : *-ωμεν* Y 11 *γὰρ* XS : *δὲ* CY, om. V 11 *διαπράξασθαι* V : *διαπράττεσθαι* XSCY, fort. recte 13 *ἀπῆλθον* XCY : *-ων* S *-αν* V 13 *οὖν* om. X 14 ante *Βονιφατίου* verbum *τοῦ* hab. S 14 post *μακάριος* verbum *Παγκράτιος* hab. CY

φησίν, "τέκνον, ἔχεις Ἕλληνας τῆς σοφίας πρᾶξιν εἰληφότας;" ὁ οὖν Βονιφάτιος πρὸς τὸν μακάριον, "οὐχί, πάτερ, ἀλλὰ πάντες Ἄβαροι εἰσίν, ἔθνος πάνυ μιαρόν, μὴ δ' ὅλως τῆς πατρικῆς γλώσσης προσεγγίζοντα. παρακεῖται δὲ ταῖς τοῦ Δοραχίου καὶ Ἀθηνῶν ἐπαρχίαις." ταῦτα εἰπὼν ὁ Βονιφάτιος, καὶ τοῦ μακαρίου ἔτι μὴ ἀνακρίναντος, σεσιωπήκασιν. πληρωθείσης δὲ τῆς ἡμέρας, ἐποίησαν οἱ πολιτάρχαι τὰς ἀσφαλείας. τῇ δὲ ἑωθεν συνῆλθον ἅπαντες οἱ ἄρχοντες ἐνώπιον Βονιφατίου καὶ φησὶν πρὸς αὐτόν, "αἰτούμεθα τὴν σὴν ἀξίαν, λαμπρὲ ὕπατε καὶ τοποκτίστα, καὶ τὸν ἅγιον Παγκράτιον δυσωποῦμεν, ἀπολυθῆναι τὸν λαὸν εἰς τοὺς ἰδίους τόπους." ὁ οὖν Βονιφάτιος, "ὑγιαίνοντες, τοῦτο πληροῦται ὑμῖν." πάραυτα οὖν σημάνασα ἡ σάλπιγξ, διῆλθεν ὁ λαὸς τὸ ἀδνοῦμιν, καὶ διεμέρισεν αὐτοῖς τὰ σκῦλα, χρυσίον τε καὶ ἀργύριον καὶ τὴν αἰχμαλωσίαν ἅπασαν, εἰρηκὼς αὐτοῖς διατηρεῖν ἕκαστον, ὅσας ψυχὰς διαλαμβάνεται, ἵνα λάβωσιν τὸ ἅγιον βάπτισμα. ἐνέγκας δὲ καὶ

XS (3 *εἰσὶν - γλώσσης* mutil.) CYVO

1 *τέκνον* post *ἔχεις* tr. CY 1 *πρᾶξιν* V : *κράζειν* XSCY 1 *εἰληφότας* XV : *εἰληφώτας* CY *ἠλειφότως* S 2 post *μακάριον* verbum *Παγκράτιον* hab. CY 2 - 3 *οὐχί, πάτερ, ἀλλὰ πάντες Ἄβαροι εἰσίν*] *ни, Отче, но вси - Аварескь ꙗзыкь зѣло скверенъ* Usp 2 post *πάτερ* verbum *οὐχί* hab. CY 2 *Ἄβαροι εἰσίν* V : *Ἀβαρικὸν* XSCY, fort. recte (cf. infr. 27.15) 3 *ἔθνος* SCYV : *γένος* X, corr. *ἔθνος* X^2 3 post *πατρικῆς* verbum *Ἑλληνίδος* hab. XCY 4 - 5 *παρακεῖται δὲ - ἐπαρχίαις*] *прилежетъ же Драчевьскыихъ Аѳинѣйскыихъ областии* Usp 4 *Δοραχίου* YV : *Δοροχίου* XC *Δωρακίου* S 5 *ἐπαρχίαις* CYV : *ἐπαρχίας* XS 5 *εἰπὼν* XSYV : *εἰπὸν* C 5 *καὶ* om. S 6 *ἀνακρίναντος* XSV : *διακρίναντος* CY 7 *συνῆλθον* XCY : *-ων* S *-αν* V 7 - 8 *οἱ ἄρχοντες* om. XSCY 10 *δυσωποῦμεν* om. S 10 ante *ἀπολυθῆναι* verbum *τοῦ* hab. S 11 *ὑμῖν* SC : *ἡμῖν* XYV, fort. recte 12 *διῆλθεν* XSCV : *ἦλθεν* Y 12 *τὸ* : *τοῦ* S 12 *ἀδνοῦμιν* V : *ἀδνούμην* XSCY 14 *ἅπασαν* XCY : *ἅπαντα* S *πᾶσαν* V 14 *διατηρεῖν* XCYV : *διατηρῶν* S 14 *ἕκαστον* V : *ἕκαστος* XSCY

ἑρμηνέα, εἶπεν αὐτοῖς ὅτι, "ἡμεῖς Χριστιανοὶ ἐσμὲν καὶ Χριστὸν ὁμολογοῦμεν, καὶ ἐὰν μάθετε καὶ ὑμεῖς τὸ Ἑλληνιστὶ καὶ Ῥωμαϊστί, ποιοῦμεν ὑμᾶς Χριστιανούς," ἐπεὶ τῶν δύο γλωσσῶν ἡ λέξις ἦν τῇ τῶν Ταυρομενιτῶν πόλει. πολλοὺς μὲν ἐν πολέμοις ἦσαν κατασχόντες ἐκ πολλῶν καὶ διαφόρων ἐθνῶν, ἀλλὰ καταχρηστικῶς τῶν δύο γλωσσῶν ἡ λέξις ἦν αὐτοῖς, ἐπεὶ καὶ Περσῶν τοὺς πολεμιστὰς ἐξέστησαν καὶ Μακεδόνας τοὺς ὀξεῖς οἱ περὶ Ταῦρον, καὶ πάντα τὰ ἔθνη καὶ βασίλεια, οἷα δήποτε τὴν ἡγεμονίαν τῆς Ταυρομενιτῶν πόλεως, ὡς πέφανται, σκυλῆσαι οὐκ ἴσχυσεν, ἀλλὰ πάντες παρετηροῦντο αὐτούς, μάλιστα ὅτε ὁ γενναῖος ἐν ἀνδρείᾳ Ταῦρος ἦν. οἱ οὖν περὶ τὴν αἰχμαλωσίαν διὰ τῶν ἑρμηνέων εἶπον, "οὐδέποτε, κύριοι ἄνδρες, ἑωράκαμεν τοιαῦτα, οἷα ἴδομεν καὶ ἐν τῷ πολέμῳ, καὶ νῦν βλέπομεν." ὁ δὲ μακάριος διὰ τοῦ ἑρμηνέως εἶπεν πρὸς αὐτούς, "ἄνδρες, εἴπατε ἡμῖν τὰ μεγάλα, ἃ ἑωράκατε, καὶ ἡμεῖς λέγωμεν ὑμῖν τοῦ θεοῦ τοῦ ἰσχυροῦ τὸν λόγον." οἱ δὲ ἄνδρες πρὸς τὸν μακάριον διὰ τοῦ ἑρμηνέως, "ἡμεῖς Ἀβαρικὸν ἔθνος

XSCYVO

1 - 2 καὶ Χριστὸν ὁμολογοῦμεν om. Y 2 μάθετε XCYV : μάθεται S, fort. μάθητε emendandum 2 τὸ om. XSCY 2 Ἑλληνιστὶ nos : Ἑλληνιστὴ XSCYV 2 Ῥωμαϊστὶ nos : Ῥωμαϊστὴ XSCYV 3 - 4 ἦν τῇ τῶν Ταυρομενιτῶν (Ταυρωμενητῶν S) πόλει XS ἦν Ταυρομενητῶν πόλει C τῶν Ταυρομενητῶν πόλιν Y ἦν τῆς Ταυρομενίας ἡ πόλις V 4 ἦσαν : εἶσαν S 4 ἐκ : εἰς S 6 καὶ (1) : κατὰ S 6 πολεμιστὰς XSV : πολεμοῦντας C πολεμοῦντας ἡμᾶς V 7 ὀξεῖς : ὠξύς S 7 Ταῦρον XCYV : Ταύρου S 8 ὡς CYV : ὠ X ὁ S 8 πέφανται nos : ἐπέφανται XS ἐπέφαντε CY πεφάνταται V 9 σκυλῆσαι οὐκ ἴσχυσεν nos : σκύλασαι οὐκ ἴσχυσεν V σκύλασα XCY σκίλασα S 10 ὅτε ὁ γενναῖος ἐν ἀνδρείᾳ Ταῦρος ἦν : ὁ γεννεότατος Ταῦρος ἦν ὅτε ἐν ἀνδρείᾳ ἦν Y 10 γενναῖος XV : γεννέως S γεννεότατος CY 10 Ταῦρος ante ἐν ἀνδρείᾳ tr. C 10 ante περὶ verbum οἱ hab. S 11 εἶπον : εἶπων S 12 ἴδομεν : -ωμεν S 12 βλέπομεν X : -ωμεν SCYV 12 post μακάριος verbum Παγκράτιος hab. CYV 13 πρὸς αὐτούς V : πρὸς τοὺς ἄνδρας XS αὐτοῖς CY 13 ἄνδρες om. XSCY 14 λέγωμεν SCYV : -ομεν X 15 Ἀβαρικὸν : Ἀβαρικώς S 15 ἔθνος XSV : γένος CY

ἐσμέν, καὶ σεβόμεθα θεοὺς ὁμοιώματα παντοίων τετραπόδων, πῦρ καὶ ὕδωρ καὶ τὰς μαχαίρας ἡμῶν. ἴδομεν δὲ ἐν ὑμῖν ἅπαντα ἐν τῷ πολέμῳ ὡς φῶς ἀστράπτοντα καὶ ἐξέστημεν, καὶ πέμψαντες εἰς τοὺς ναοὺς τῶν θεῶν ἡμῶν, συνελαβόμεθα, οὕσπερ εἴχομεν δοκιμωτάτους, φησίν, τοῦ συμμαχῆσαι ἡμῖν, καὶ προστήσαντες αὐτούς, ἑωρακότες καὶ αὐτοὶ τὴν τάξιν τοῦ πολέμου καὶ τοὺς φωστήρας τοὺς φαιδροὺς τοὺς προβαίνοντας καὶ διαλάμποντας ἔμπροσθεν τοῦ πολέμου, εὐθέως διελύθησαν καὶ ἐγένοντο ὡσεὶ κηρὸς ὀσφρανθεὶς πυρὸς καὶ ὡς πηλὸς ἐν ὕδατι." ταῦτα εἶπον οἱ ἄνδρες τῆς αἰχμαλωσίας. ὁ δὲ μακάριος πρὸς αὐτοὺς διὰ τοῦ ἑρμηνέως, "ἔχει τὸ ὀπτικὸν τῆς διανοίας ὑμῶν πρόθεσιν τοῦ βαπτισθῆναι καὶ γενέσθαι Χριστιανούς;" οἱ δὲ ἄνδρες ὡς ἐξ ἑνὸς στόματος εἶπον, "κέλευσον ποιῆσαι ἡμᾶς Χριστιανούς." ὁ οὖν μακάριος πρὸς Βονιφάτιον, "τέκνον, βαπτίσωμεν αὐτούς, μήπως κατὰ συμφορὰν θάνατος ἁρπάσῃ ψυχὰς αὐτῶν καὶ πρόθεσιν αὐτῶν ἐνδειξαμένων, ἐν ἡμέρᾳ ὅτε ὁ κύριος ἑκάστου τῶν ποιμένων τὸ

XS (9 εἶπον - 10 ὀπτικὸν mutil.) CYVO

1 σεβόμεθα CY : σέβομεν XSV 2 ἴδομεν XV : -ωμεν SCY 2 ὑμῖν : ὑμῶν Y 3 πέμψαντες : πέμψαντας S 4 εἴχομεν XCV : ἤχωμεν S εἴχωμεν Y 4 post εἴχομεν verbum θεοὺς hab. CYV, fort. recte 5 ἡμῖν : ὑμῖν S 5 προστήσαντες XSV : προσθήσαντες CY 6 - 7 καὶ τοὺς φωστήρας - πολέμου om. V, propter homoeoteleuton 6 καὶ om. CY 8 ὀσφρανθεὶς C : ὀσφρανθῆς X ὠσφρανθεὶς SY ὀσθρανθεὶς V 9 post μακάριος verbum Παγκράτιος hab. CY 9 - 10 πρὸς αὐτοὺς om. CY 10 post ἑρμηνέως verbum ἔφη hab. V 10 πρόθεσιν om. V 11 γενέσθαι XSCV : -έσθε Y 11 Χριστιανούς XSCV : Χριστιανοὶ Y 11 ἄνδρες ὡς ἐξ ἑνὸς στόματος XSCY : ἀποκριθέντες V 12 εἶπον : εἶπων S 12 κέλευσον ποιῆσαι ἡμᾶς Χριστιανούς : ναί, ἅγιε τοῦ θεοῦ V 12 ποιῆσαι CY : ποίησον X γενέσθαι S 13 post μακάριος verbum Παγκράτιος hab. CY 13 βαπτίσωμεν SYV : -ωμεν, corr. -ομεν C -ομεν X 14 ἁρπάσῃ XCYV : ἁρπάσει S 14 ψυχὰς Y : ψυχὴν XSCV 14 καὶ πρόθεσιν αὐτῶν om. V 15 ὁ om. Y

ἔγγραφον ἀπαιτήσει, τὸ ⸗ἀντῖ σύγγραφον τοῦ χάρτου ἡμῶν ἐξενέγκας, καταδικάσει ἡμᾶς." ὁ δὲ Βονιφάτιος, ὡς ἤκουσεν ταῦτα ὑπὸ τοῦ μακαρίου, κλαίων εἶπεν, "δέομαί σου, ἅγιε Παγκράτιε, οὐκ ὀνειδίζων δὲ τὴν σὴν ἁγιωσύνην λέγω, καὶ πῶς κἀμοὶ οὐ δίδεις τὴν δι' ὕδατος καὶ πνεύματος ἀναγέννησιν; εἰ ἐμοὶ συμβῆ τὸ ἀνθρώπινον ἢ ἐν πολέμῳ ἢ ἐν τῇ πόλει, πῶς ἀπολογησόμεθα τῷ δικαίῳ κριτῇ;" ὁ δὲ μακάριος πρὸς αὐτόν, "τέκνον, οὔπω καιρὸς τοῦ σοῦ βαπτισμοῦ. δύναται κύριος ἐν τοῖς ἔτεσι τῶν ἀνθρώπων καὶ ὑφεῖλαι καὶ προσθῆσαι. ἐν δὲ τοῖς σοῖς ἔτεσι διὰ τὸ εὐπροαίρετόν σου προσθήσει. μόνον μὴ ὑψωθῇ ἡ καρδία σου εἰς ἐπάρσεως πάθος ποτέ· ὁ γὰρ κύριος Ἰησοῦς Χριστὸς ὁ θεὸς ἡμῶν ἐν τοῖς εὐαγγελίοις εἶπεν, 'πᾶς ὁ ὑψῶν ἑαυτόν, ταπεινωθήσεται, καὶ ὁ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται.' τὸ ἔθνος, τέκνον, βαπτίσωμεν, καὶ περὶ τοῦ σοῦ βαπτισμοῦ μὴ πολυπραγμονήσῃς." ὁ δὲ μεγαλόψυχος Βονιφάτιος πρὸς τὸν μακάριον, "μὴ λογίσῃ, ὅτι τὴν σὴν ἁγιωσύνην κατὰ πικρίαν ψυχῆς μου ὠνείδισα, μὴ γένοιτο, δοῦλε Χριστοῦ. ὡς δὲ

XS (5 πολέμῳ - 6 κρίτῃ mutil.) CYVO

11 - 12 Mt. 23:12, Luc. 14:11, 18:14

1 ἀπαιτήσει V : ἀπετήσει XS ἀπετήση CY 1 χάρτου CY : χαρτῴου X, fort. recte χαρτόου SV 2 ὡς om. Y 2 ὑπὸ XSCV : παρὰ Y 5 εἰ : ἢ X 5 ἐμοὶ V : ἐμὴ XSCY 5 - 6 ἢ ἐν πόλει om. V 6 post πόλει verbum μου hab. CY 6 ἀπολογησόμεθα CYV : ἀπολογισόμεθα XS 6 post μακάριος verbum Παγκράτιος hab. CY 7 ante τέκνον verba σὺ γνώμην hab. CY 7 post τέκνον verba σὺ γνώμη τέκνον hab. V 7 βαπτισμοῦ XCY : βαπτίσματος S βαθμοῦ V 9 ὑψωθῇ V : ὑψωθήτω XSCY 10 - 11 ὁ θεὸς ἡμῶν om. S 11 πᾶς om. XSCY 12 βαπτίσωμεν SYV : -σομεν XC 13 πολυπραγμονήσῃς CYV : -μονήσεις X - μόνη S, fort. recte (-μόνει) 14 post μακάριον verbum Παγκράτιον hab. V 14 λογίσῃ XV : λογήσεις S λογήσει CY 15 ὠνείδισα nos : ὀνείδησα XCY ὀνείδεισα S ὀνειδίσα V

κελεύεις ἐν παντὶ πράγματι, <ποίει> · οὐδὲ γὰρ τοῦτο ἀποκρύβω τὴν σὴν ἁγιωσύνην, κεκληκὼς πάντας τοὺς περὶ ἐμέ, παρήγγειλα αὐτοῖς μὴ εἰπεῖν τοῖς ἔθνεσι ποίας θρησκείας ἐσμέν, ἵνα ὅλως ἡ σὴ ἁγιωσύνη πρώτη μάθῃ τὴν ἀλήθειαν. ὡς δὲ κελεύεις, ποίει." ἐνέγκας οὖν ὁ μακάριος ἅπαντα τὸν λαὸν τῆς αἰχμαλωσίας, κατηχήσας ἐβάπτισεν ἅπαντας ἐν ὕδατί τινι κρυώδει εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, καὶ ἦν ἰδεῖν φοβερὸν θέαμα ἐπὶ τῷ ἀλάλῳ ἔθνει, ὅτι, ὡς ἐκυβίστουν ἑαυτοὺς εἰς τὸ ὕδωρ καὶ ἀνήρχοντο πεφωτισμένοι, διανοίγεσθαι τὰς γλῶσσας αὐτῶν καὶ λέγειν, "δόξα σοι, Χριστὲ ὁ θεὸς τὸ ἀληθινὸν καὶ δεδοξασμένον φῶς." ἐβάπτισεν δὲ ἅπαν τὸ πλῆθος καὶ ἦν ἕτερον σημεῖον ἰδεῖν, ἀδελφοί, φρικτὸν καὶ Ἰορδανικόν· ὡς πῦρ γὰρ ἐφάνη ἐν τῷ ὕδατι καὶ περιήστραψεν τοὺς πεφωτισμένους, τὸ δὲ πνεῦμα ἐν εἴδει περιστερᾶς ἐφάνη ἀφικνούμενον εἰς τὸν οὐρανόν, καὶ τότε ἐνέγκας τοὺς τῶν ἐπαρχιῶν ἄνδρας, διεμέρισεν αὐτοὺς ἑκάστῳ, οὓς δὲ ἐν τῇ πόλει <...>, ἑτέρους δὲ κατέσχον ἀμελεστέρους εἰς

XSCYVO

1 κελεύεις XSYV : κελεύης C 1 <ποίει> supplevi 1 - 2 τὴν σὴν ἁγιωσύνην : τῇ σῇ ἁγιωσύνῃ S 2 κεκληκὼς YV : καὶ κεκληκὼς S καὶ κληκῶς X κεκλικώς C 3 ὅλως XSYV : ὅλος C 5 ἅπαντα τὸν λαὸν XSCV : ἅπαντα τοὺς Y 5 κατηχήσας post ἐβάπτισεν tr. V 6 ἅπαντας ante ἐβάπτισεν tr. S, om. V 6 τὸ om. XCYV 6 τοῦ (1,2) om. XCYV 7 τοῦ om. XCYV 7 ἦν ἰδεῖν : ἰδὴν Y 7 θέαμα XV : θαύμα S, om. CY 7 ἀλάλῳ : ἄλλῳ V 7 ἔθνει nos : ἔθνη XSCYV 8 ἐκυβίστουν XCYV : βαλὼν S 8 ἑαυτοὺς XCY : αὐτοὺς S ἑαυτοῦ V 9 post θεὸς verbum ἡμῶν CY 10 δεδοξασμένον XCV : δεδοξαμένον Y δεδοξασμένος S 10 φῶς post ἀληθινὸν tr. S 11 ἦν ἕτερον σημεῖον ἰδεῖν, ἀδελφοί, φρικτὸν καὶ Ἰορδανικόν V : ἦν ἕτερον ἰδεῖν, ἀδελφοί, φρικτὸν καὶ Ἰορδανικόν X ἦν ἰδεῖν ἕτερον, ἀδελφοί, Ἰορδανικόν S ἦν ἰδεῖν ἕτερον, ἀδελφοί, φρικτὸν καὶ Ἰορδανικόν CY 13 post ἐφάνη verbum ἐν τῷ ὕδατι hab. X 14 ἐνέγκας om. V 14 ante τῶν verbum ἐκ hab. CY 14 αὐτοὺς XCYV : αὐτοῖς S 14 ἑκάστῳ V : ἕκαστον XSCY 15 post πόλει lacunam statui

ὑπηρεσιῶν χρείας. λαβόμενος δὲ ὁ μακάριος καὶ ἐπιλεξάμενος ἄνδρας εὐλαβεῖς καὶ πλήρεις σοφίας, ἐχειροτόνησεν ἐφ' ἑκάστῃ ἐπαρχίᾳ πρεσβυτέρους σὺν διακόνοις, καὶ ἐνέγκας ἅπαντας τοὺς πρεσβυτέρους εἶπεν, "ἰδού, τέκνα μου, ὁ θεὸς ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα, ἐπεσκέψατο τὸ ἴδιον πλάσμα, τὴν ἡμῶν σάρκα φορέσας, διὰ τῆς ἀναγεννήσεως ταύτης τὸν ῥύπον τῶν ἁμαρτιῶν ἡμῶν ἀποπλύνας. λαβόντες οὖν καὶ ὑμεῖς ἁπάσης ἐκκλησιαστικῆς καταστάσεως τὴν ἐκπλήρωσιν, ἀπέλθετε μετ' αὐτῶν ὑπομιμνήσκειν αὐτοὺς τὸν λόγον τοῦ θεοῦ καὶ βαπτίζειν, ποιήσαντες εὐκτήρια ἕκαστος ἐν τῇ ἰδίᾳ ἐπαρχίᾳ, ἵνα ὅταν ἔλθω πρὸς ὑμᾶς, εὕρω τοὺς καρποὺς τῶν χειρῶν ὑμῶν· κἀγὼ γάρ, τῆς οἰκοδομῆς πληρουμένης, ἐλθὼν ἀφιερώσω τοὺς οἴκους, καὶ τὰ ὑπερόρια τῶν ἐκκλησιῶν ὑμῶν διαχαράξω." ὁ δὲ μακάριος πρός με, "λάβε, τέκνον, σὺν Ξανθίππῳ, μᾶλλον δὲ Ἐπαφροδίτῳ, καὶ γράψατε αὐτοῖς τῶν μυστηρίων τοὺς τόμους καὶ τὰς διαφόρους τῶν ἐπισήμων ἑορτῶν ἀναγνώσεις καὶ τοῦ

XS (7 λαβόντες - 8 τὴν mutil.) CYVO

1 ὑπηρεσιῶν XSCV : ὑπηρετῶν Y 2 πλήρεις nos : πλείρης X πλήρις S πλήρης CYV 3 πρεσβυτέρους XSCY πρεσβυτέρον V, fort. recte (cf. infr. l.10) 3 διακόνοις XSCY : διακόνῳ V, fort. recte 4 post εἶπεν verbum αὐτοῖς hab. V 4 ὄντος X : ὄντος, corr. -ως Y ὄντως SCV 5 post ἐπεσκέψατο verbum καὶ hab. V 6 τὸν ῥύπον : τῶν ῥύπων S 7 ὑμεῖς SCYV : ἡμεῖς X, corr. ὑμεῖς X¹ 8 post ἐκπλήρωσιν verbum καὶ hab. S 8 ἀπέλθετε CY : -ατε XSV 8 μετ' αὐτῶν XSCY : μετὰ τῶν ἀνδρῶν V 11 γὰρ om. S 12 ἀφιερώσω XV : ἀφεραιῶσαι S ἀφερεῶσω C ἀφιρεῶσω Y 14 γράψατε XCY : -αται S -ετε V 14 αὐτοῖς : ἑαυτοῖς Y 15 - 276.1 τοῦ ἀποστόλου XSCV : τῶν ἀποστόλων Y

ἀποστόλου καὶ τῶν προφητῶν, ἅπερ ἀναγινώσκομεν τὰς ἑορτὰς τὰς μεγάλας." τάχιστα οὖν λαβόντες ἕκαστος τὸν ἴδιον τόμον καὶ τοὺς ἰδίους χάρτας, ἐκαθέσθημεν καὶ ἐγράψαμεν· ἐμπειρότατοι γὰρ ἦσαν ἅπαντες ἁπάσης σοφίας διὰ τῆς ἐπισκιάσεως τῆς χάριτος τοῦ ἁγίου πνεύματος καὶ τῆς ἐπιθέσεως τῶν χειρῶν τοῦ μακαρίου Παγκρατίου. πληρωθέντων δὲ ἁπάντων λέγει πρός με, "τέκνον, λάβε τὴν διακονίαν σου καὶ ἄπελθε, ἐπιστῆσον αὐτοῖς πᾶσαν ἀκολουθίαν, ποιήσας αὐτοῖς τραπέζας λειτουργικάς, καὶ πέμψας μοι αὐτὰς ἀφιερώσω, καὶ πάλιν ἀποστελῶ πληρῶν τὸν ἁγιασμὸν αὐτῶν." λέγει οὖν ὁ μακάριος πρὸς Βονιφάτιον, "τέκνον, εἰ κελεύεις, ἀπόλυσον τὸν λαὸν εἰς τὰς ἐπαρχίας αὐτῶν," καὶ πληρωθέντων τῶν ἡμερῶν τῆς ἀποθέσεως τῶν ἀμφίων, ἦλθον πάντες οἱ ἐν τῇ πρώτῃ ἐπαρχίᾳ καὶ παρέλαβον τὸν ἴδιον ἱερέα ὁμοίως καὶ οἱ ἕτεροι πάντες. ὁ οὖν Βονιφάτιος κελεύσας, ἐσάλπισεν ἡ σάλπιγξ, καὶ ἀναστὰς ὁ λαός, ἦλθεν ἐνώπιον τοῦ Βονιφατίου καὶ τοῦ μακαρίου, καὶ ὁ μακάριος ἐποίησεν εὐχὴν ὑπὲρ αὐτῶν, καὶ εἰρηνεύσας

XS (1 ἀποστόλου - ἑορτὰς mutil.) CYVO

2 ἕκαστος om. Y 2 - 3 τοὺς ἰδίους CYV : τὰς ἰδίας XS 3 ἦσαν XSV : εἶσαν CY 4 post ἐπισκιάσεως verbum καὶ hab. V 5 μακαρίου XSCY : ἁγίου V 7 πᾶσαν XSCY : ἅπασαν V 7 αὐτοῖς (2) SCYV : αὐτοὺς X 8 ἀφιερώσω X : ἀφιεραιώσω S ἀφερεῶσω CY ἀφιερῶσαι V 9 ἀποστελῶ V : ἀποστέλλω XSCY 9 ἁγιασμὸν XSV : ἀφερέασμόν C ἀφερεασμῶν Y 9 αὐτῶν : αὐτὸν S 9 post μακάριος verbum Παγκράτιος hab. CY 12 πρώτῃ ἐπαρχίᾳ : ἐπαρχίᾳ πρώτοι Y 13 κελεύσας XCYV : ἐκέλευσε καὶ S 13 ἐσάλπισεν XCYV : ἐσάλπιξεν S 13 - 14 ἡ σάλπιγξ om. CY 15 post μακαρίου verbum Παγκρατίου hab. CY 15 καὶ (1) om. S 15 ὁ μακάριος post εὐχὴν tr. S 15 post ἐποίησεν verbum δὲ hab. S

ἀπέλυσεν ἅπαντας. ἐξῆλθεν δὲ ὁ λαὸς εἷς ἕκαστος ἐν τοῖς ἰδίοις τόποις, καὶ παραλαβὼν κἀγὼ τοὺς πρεσβυτέρους, ἀπῆλθον εἰς μίαν τῶν ἐπαρχιῶν. μεμαθηκότων οὖν καὶ τῶν πρεσβυτέρων ἁπάσης ἐκκλησιαστικῆς καταστάσεως τὴν ἀκολουθίαν, ἐποίησα καὶ τὰς τραπέζας καὶ ἐπιβιβάσας αὐτὰς εἰς ἡμιόνους, ἀπέλυσα πρὸς τὸν μακάριον Παγκράτιον, ὅστις ἁγιάσας αὐτὰς ἀντέπεμψεν ἡμῖν, κἀγὼ διασπείρας τοὺς πρεσβυτέρους εἰς τὰς ἐπαρχίας αὐτῶν, ἦλθον καὶ εὗρον τὸν μακάριον εἰς τὸ εὐκτήριον, καὶ ἀσπασάμενός με, κἀγὼ τοὺς τιμίους αὐτοῦ πόδας, ἠρώτησέν με, "πῶς, τέκνον, οἱ ἱερεῖς καὶ ὁ λαός;" κἀγὼ φημί, "καλῶς, πάτερ, διὰ τῶν ἁγίων εὐχῶν σου," καὶ οὕτως λοιπὸν ὁ καλὸς καὶ πιστὸς καὶ φρόνιμος οἰκονόμος τὸν λαὸν τοῦ θεοῦ ἐκ τῆς τῶν εἰδώλων πλάνης καὶ τῆς διαβολικῆς θρησκείας ἀφήρπασεν καὶ τῷ σωτῆρι Χριστῷ προσήνεγκεν. ὁ οὖν Βονιφάτιος, ὡς ἤκουσεν ὅτι ἦλθον, κατῆλθεν πρὸς ἡμᾶς καὶ αὐτὸς φησὶν πρός με, "πῶς οἱ ἱερεῖς καὶ ὁ λαός, ὅτιπερ καὶ ἐτάχυνας πρὸς ἡμᾶς;" ἐγὼ δὲ εἶπον,

XSCYVO

276.15

1 post ἀπέλυσεν verbum αὐτούς hab. S 1 ἅπαντας post εἰρηνεύσας tr. S 1 εἷς om. V 1 ἐν τοῖς ἰδίοις τόποις XSCV : εἰς τοὺς ἰδίους τόπους Y 2 κἀγὼ XSCV : ἐγὼ Y 2 ἀπῆλθον XSCY : ἀνῆλθον V 3 τῶν πρεσβυτέρων : τοὺς πρεσβυτέρους S 3 ἁπάσης : πάσης S 4 καταστάσεως τὴν ἀκολουθίαν V : ἀκολουθίας τὴν (τὴν om. CY) κατάστασιν XSCY 4 ἐποίησα V : ἐποίησαν XSCY 4 καὶ om. CY 4 τὰς om. V 5 ἐπιβιβάσας XSV : ἐπιβηβάσας CY 5 αὐτὰς nos : αὐτοὺς V, om. XSCY 6 αὐτὰς CYV : αὐτοὺς XS 8 εὗρον XCYV : ηὗρον S 8 με om. XS 9 post τέκνον verbum μου hab. Y 10 καλῶς : καλὸς C 10 διὰ τῶν XCYV : δι' S 10 ἁγίων om. V 11 οὕτως SCYV : οὗτος X 12 θρησκείας XV : θρισκίας S ἐνεργείας CY 13 ὡς om. Y 14 ἦλθον : ἤλθων S 14 - 15 καὶ αὐτὸς - πρὸς ἡμᾶς om. S, propter homoeoteleuton 15 εἶπον : εἶπων S

"πράσσουσιν τὰ Χριστιανικὰ πειθαρχήματα διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ διὰ τῶν πρεσβειῶν τοῦ μακαρίου Παγκρατίου." ὁ οὖν Βονιφάτιος, "ἀμήν, ἀμήν," καὶ λέγει πρὸς τὸν μακάριον, "ποιήσω, πάτερ, σέκρετον συγκλητικὸν εἰς τὸν φόρον Ταύρου, καὶ ἐξενεχθήτω ὁ Ταύρου θρόνος, καὶ ἴδωμεν τὰ πραχθέντα ὑπὸ Ἐλίδου." ὁ δὲ μακάριος πρὸς αὐτόν, "ὅπερ θέλεις, τέκνον πιστότατον, κἀγὼ θέλω." καὶ ἀνῆλθεν ἐν τῷ πραιτωρίῳ καὶ ἐξέπεμψεν κήρυκας ἐν τῇ πόλει λέγων οὕτως, "ἅπαντες οἱ τῆς συγκλήτου ἐλθέτωσαν ἐν τῷ φόρῳ Ταύρου, ἐκέλευσεν ὁ ἡγεμών." τότε, ἁπάντων συναχθέντων, ἐξῆλθεν καὶ ὁ θρόνος Ταύρου, ἐκ χρυσίου καθαροῦ καὶ λίθων πολυτελῶν. ἦλθεν δὲ καὶ ὁ τοῦ μακαρίου, καὶ ἐστάθησαν ἀμφότεροι ὁμοίως καὶ ἑτέραι καθέδραι, καὶ φορέσας ὁ Βονιφάτιος τὸ ἱμάτιον τὸ ὑπατικὸν καὶ τὴν χλαμύδα τῆς ἡγεμονίας, λοιπὸν δὲ καὶ τὴν βακτηρίαν τῆς τοποκτισίας, ὁμοίως καὶ ὁ μακάριος τὸ ὡράριον καὶ τὴν ἱερὰν διπλοΐδα, καὶ λαβόμενος τὸν Ἐπαφρόδιτον τῆς χειρὸς, ἤλθομεν ἐν τῷ τόπῳ, καὶ

XSCYVO

1 *πράσσουσιν* V : *πράττουσιν* S *πράσσωσιν* XC *πράσσοσι* Y 1 *τὰ* om. Y 2 *τῶν* om. CYV 2 *μακαρίου* XSCY : *ἁγίου* V 3 ante *ἀμήν* (1) verbum *τὸ* hab. S 3 *ἀμήν* bis hab. SCYV, ter hab. X 3 post *μακάριον* verbum *Παγκράτιον* hab. CY 3 *ποίησω* CYV : *ποίησον* XS 4 *ἐξενεχθήτω* XCY : *-θέτω* S *-θήτο* V 5 *ἴδωμεν* S : *-ομεν* XCYV 7 *ἀνῆλθεν* V : *ἀπῆλθεν* XSCY, fort. recte

7 *ἐξέπεμψεν* XSCY : *ἔπεμψεν* V 9 *ἁπάντων* XSCY : *πάντων* V 9 *συναχθέντων* XCYV : *ἐλθόντων* S 12 *τὸ ὑπατικὸν* V : *τοὺ ὑπατικοῦ* XSCY 13 *χλαμύδα* S : *χλανίδα* XV *χλαμίδα* C *χλανύδα* Y 13 *τοποκτισίας* V : *τοποκτησίας* XSCY 14 *ὁμοίως* XYV : *ὁμοίος* C, om. S 14 post *μακάριος* verbum *Παγκράτιος* hab. CY 14 *ὡράριον* : *οὐράριον* Y 15 ante *τῆς* verbum *ἐκ* hab. V 15 *ἤλθομεν* XY : *-ωμεν* SC *-αμεν* V

ἐπευξάμενος τῆς ἡγεμονίας ἐκαθέσθημεν. καθεσθέντων οὖν ἡμῶν, εἰστήκησαν καὶ τὰ ἄρματα Βονιφατίου ὄπισθεν καὶ φησὶν πρὸς τὴν σύγκλητον, "οἴδατε, πάντες οἱ ἐν τῇ πόλει ταύτῃ, ὅτι ἀφ' οὗ ἦρξα ὑμῖν, οὐκ ἐπλεονέκτησά τινα ὑμῶν, ἀλλὰ καὶ ἀνεξικακίᾳ πρὸς ὑμᾶς ἐχρησάμην, καὶ οὔτε μικρὸν οὔτε μέγα πρᾶγμα ἐν τῇ πόλει χωρὶς ὑμῶν πέπραχα, καὶ νῦν αὐτὰ βουλεύομαι πράσσειν ἐν τῇ πόλει ταύτῃ." οἱ οὖν ἄνδρες πρὸς Βονιφάτιον, "ἄκουσον, κύριε ἡγεμών, ἡμεῖς καὶ τὴν ἀνεξικακίαν σου εὐχαριστοῦμεν, ἣν ἡμῖν πάντοτε παρέσχου, καὶ οὐδ' ἕνα ἡμῶν ἐπλεονέκτησας, εἰ μὴ εἴτιδ' ἂν ἡ σύγκλητος ἀπεφήνατο κατά τινος ἐπαδικήσαντος τὸν πλησίον." ὁ δὲ Βονιφάτιος, "ὅτε ἐν τοῖς εἰδώλοις τοῖς ἀκαθάρτοις καὶ ἀναισθήτοις ἠλπίζαμεν, τοὺς νέους ἡμῶν αὐτοῖς σφάζοντες, πληρεῖς ἀκαταστασίας δικαίως ἐμπεπλήσμεθα. νῦν οὖν Χριστὸν ἐνδυσάμενοι καὶ αὐτὸν θεὸν ἀληθινὸν ἐπιστάμενοι καὶ θαύματα ἰδόντες καὶ πιστεύσαντες αὐτῷ καὶ βλέποντες τὰ ἐπιτελούμενα ἐν ἡμῖν, πῶς ἔτι φόνων καὶ διαβολικῆς ἐργασίας

XSCYVO

1 ἐκαθέσθημεν : ἐκαθέστημεν Y 2 εἰστήκησαν nos : ἱστήκησαν XCV ἱστήκισαν S ἑστίκησαν Y 3 ante πάντες verbum ἀδελφοὶ hab. V 3 πάντες XSV : ἅπαντες CY 3 οὗ V : ἧς XS εἷς CY 4 τινα ὑμῶν XCYV (ante οὐκ tr. V) : ὑμῖν S 4 ἀνεξικακίᾳ : ἀνεξικακίας Y 4 post ἀνεξικακίᾳ verbum πόλλῃ hab. V 5 χώρις om. XSCY 5 ὑμῶν SCV : ἡμῶν XY 6 καὶ νῦν - ταύτῃ om. CY 6 βουλεύομαι : -ωμαι S 7 κύριε : κύρι C 7 - 8 τὴν ἀνεξικακίαν SV : τῇ ἀνεξικακίᾳ XCY 8 πάντοτε om. S 8 παρέσχου XV : παράσχει S ἐχαρίσω CY 9 εἰ μὴ εἴτιδ' ἄν nos : ἢ μὴ ἤτιδ' ἄν X εἰ μὴ ἤτιδ' ἄν S εἰμητιδ' ἄν CV εἰμιτιδ' ἄν Y 9 ante ἡ verbum καὶ hab. S 11 καὶ ἀναισθήτοις nos : καὶ ἀνεσθήτοις V, om. XSCY 11 ἡμῶν : ὑμῶν, corr. ἡμῶν C 13 - 14 καὶ αὐτὸν - ἰδόντες om. S 13 καὶ αὐτὸν V : τὸν X καὶ τὸν CY 13 - 14 καὶ θαύματα ἰδόντες om. XSCY 14 τὰ om. XSV 15 ἐν om. V 15 διαβολικῆς CYV : διαβολικᾶς XS

μετέχομεν, ἀπελθόντος μου, κατὰ τὰ εἰθισμένα ἡμῖν πάτρια ἔθη; τί εἰσιν αἱ ἀκαταστασίαι, ἃς πεποιήκατε; πῶς καὶ ποίῳ τρόπῳ καὶ διὰ τί ἀπεκτάνθησαν αἱ παρθένοι, ἃς ὁ πατὴρ ἡμῶν ἦν χωρήσας ἐκ τῶν τοῦ κόσμου πραγμάτων; εἰς τί ὑμεῖς Μοντανῶν καὶ Ἰουδαίων σέκρετον ἐν τῇ πόλει προσδέχεσθε; πότε ἡ πατρῷα †Ἑλληνίδα τούτους ἐπεσπάσατο; οὐχὶ Ταῦρος καὶ Μενία τὴν ἄνω πρόνοιαν ἐνέφερον; διὰ τί μὴ συνήλθετε καὶ ἁρπάσαντες κατεκρημνίσατε αὐτούς, καὶ σπασάμενοι τὰς μαχαίρας ὑμῶν ἀνείλατε αὐτούς; διὰ τί καὶ μετὰ τὸ βάπτισμα μέσον τῆς πόλεως φόνοι ἀπετελέσθησαν ἀθῴων παρθένων, λέγοντος Ἐλίδου τοῦ ἡγεμόνος, ‘πείσθητί μοι, ὦ παρθένε. εἰ δὲ μή, θανάτῳ τελευτᾷς’; ὦ μιαρὲ ὀλέτα, τῆς διαβολικῆς ἐμπεπλησμένε κακίας δι’ ἡδονὴν ἀσελγείας, τί ἀπέκτονας τὰς παρθένους; οὐ μή σου φείσομαι, μὰ τὸν υἱὸν τοῦ θεοῦ, ἐὰν μὴ κἂν ἀπὸ τοῦ νῦν διορθώσῃ καὶ πιστεύσῃς αὐτῷ.” ὁ οὖν Ἔλιδος οὐ παρῆν μετὰ τῶν συγκλητικῶν. καλέσας δὲ ὁ Βονιφάτιος ἕνα τῶν παίδων λέγει, “ἄπελθε, νεανία, καὶ

XSCYVO

3 ἦν om. XS 3 χωρήσας XSCY : χωρίσας V 5 προσδέχεσθε YV : -εσθαι XS προσδέχεσθαι, corr. -εσθε C 6 ἐνέφερον : ἐνέφεραν V 7 συνήλθετε CY : -εται X -ατε SV 7 κατεκρημνίσατε nos : κατεκρεμνήσατε XSCYV 8 ἀνείλατε : ἀνέγκατε S 8 καὶ om. XCY 9 ἀθῴων παρθένων om. S 10 πείσθητί CYV : πίσθητί XS 11 τελευτᾷς : τελευτάτε S 11 ὀλέτα nos : ὠλέτα C καὶ ὠλέτα XSY καὶ ὅλε πονηρέ V 11 ἐμπεπλησμένε C : ἐμπελησμέναι Y ἐμπεπλησμένης V ἐκπεπλησμέναι XS, fort. recte (-μένε) 12 ἡδονὴν XCYV : ἡδονῆς S 13 μὰ : τὰ C 13 ante θεοὺ verbum μεγάλου hab. S 13 διορθώσῃ V : -σει XSCY 14 πιστεύσῃς XCYV : -σεις S 15 δὲ XV : οὖν SCY

κρατήσας τῆς κόμης τὸν μιαρὸν Ἔλιδον, ἔνεγκε αὐτόν·" ἦν γὰρ ὁ Βονιφάτιος διὰ τὸ μὴ ἀποδρᾶσαι αὐτὸν ἐν τῇ φρουρᾷ αὐτὸν κατακλείσας. τάχιστα οὖν ὁ παῖς ἐνέγκας τὸν ἄθλιον παρέστησεν ἐν τῷ σεκρέτῳ, καὶ φησὶν Βονιφάτιος πρὸς αὐτόν, "σύ, κακῆς ῥίζης βλαστέ, σὺ δεινοτάτη καὶ πικρὰ καὶ ὀδυνηρὰ γνώμη, ἡμεῖς προετιμησάμεθά σε εἰς πολιτάρχην, καὶ διὰ τί πεποίηκας τὰς ἀταξίας ταύτας ἐν μέσῳ πόλεως Χριστιανῶν; πῶς τετόλμηκας Ἰουδαίων καὶ Μοντανῶν ἐν τῷ ἐμῷ σεκρέτῳ συναγωγὴν ἐνέγκαι; πῶς ἐτόλμησας τοιαύτην ἐξέτασιν ποιῆσαι γυναικῶν ἁγίων; πότε ἑώρακας ἐν τῇ συγκλήτῳ τῆς τῶν Ταυρομενιτῶν πόλεως Ἰουδαίων καὶ Μοντανῶν συνάγωγὴν διακρίνουσαν ἡμᾶς, ἢ ὅτε κατὰ ἄγνοιαν ἐν τῷ σκότει περιεπατοῦμεν; ἢ ὅτε τὸ φῶς ἡμῖν ἔλαμψεν ἐν Χριστῷ, ἢ ὅτε ἐν τοῖς Ἑλληνικοῖς ἔργοις περιεπατοῦμεν, πότε ᾐτησάμεθα Ἰουδαίων ἢ Μοντανῶν παιδείαν ἢ μαντείας ἢ ὀνειράτων λύσεις ἢ κληδόνων ἐπίδοσιν;" καὶ ὁ Ἔλιδος, "ἰδὼν ἐγώ, ὦ ἡγεμών, τοὺς θεοὺς ἡμῶν ὀλωλότας, καὶ μὴ εὑρηκότων

XS (2 ἀποδρᾶσαι - 3 ἐνέγκας, 11 τῷ σκότει - 12 ἔλαμψεν mutil.) CYVO

1 τὸν μιαρὸν : τῶν μιαρῶν S 1 ἔνεγκε CYV : ἔνεγκαι XS 2 τὸ om. S 2 ἀποδρᾶσαι XSCV : ἀποδράσε Y, fort. ἀποδρᾶναι emendandum 2 - 3 ἐν φρουρᾷ αὐτὸν κατακλείσας om. V 4 αὐτὸν om. Y 5 προετιμησάμεθά XSCV : -σαμέν Y 7 ante ἐν verbum καὶ hab. S 8 τοιαύτην om. S 9 τῶν om. CV 11 ἢ ὅτε - περιεπατοῦμεν om. V, propter homoeoteleuton 11 ἢ(1) om. CY 13 παιδείαν X παιδείας SC, fort. recte παιδίας Y παίδας V 13 ἢ (2) om. V 14 ὀνειράτων : ὀνείρατα Y 14 κληδόνων SV : κλιδόνων XCY 15 ἰδὼν S : εἴδων XC εἶδον Y ἴδον V 15 εὑρηκότων XS : εὑρισκόντων CYV

ἡμῶν ἀλήθειαν, μαντείαν εὑρεῖν τούτου χάριν ᾐτησάμην αὐτούς. περὶ δὲ τῶν παρθένων, ἀληθῶς ὅτι εὗρον αὐτὰς πλεῖον ὅλων βλασφημούσας εἰς τὰς καθαρὰς προνοίας τῶν μεγάλων θεῶν, καὶ διὰ τοῦτο ἀπέκτεινα αὐτάς· ἐγὼ γὰρ ποτὲ τῶν πατρικῶν μου ἐθῶν οὐ μὴ παρέλθω ὅρον." ὁ δὲ Βονιφάτιος, "ἄκουσον, Ἔλιδε, μὴ νομίσῃς ὅτι, δι' ὃν ἤκουσταί μοι τὴν ἡγεμονίαν αἰτήσασθαί σε, χάριν τούτου πεποίηκα τὴν ἐξέτασιν, ὥστε καὶ κατὰ τὰ πατρῷα ἔθη τὸν μέγαν θρόνον Ταύρου ἐξενέγκαι με, ἀλλὰ διὰ τὴν ἄνομον ἔννοιαν τὴν ἐν σοὶ ἐγκεκολλημένην καὶ τὴν ματαίαν ἐπιβουλήν, ἣν τετόλμηκας δράσαι κατὰ τῶν Χριστιανῶν, ἐπεὶ εἰ ἦς ἄξιος, ἀρεστόν μοι ἦν τὴν ἡγεμονίαν περιθέσθαί σοι πρὸς τὸ ἐκπορεύεσθαί σε μετὰ τοῦ λαοῦ· ἐμοὶ γὰρ ἐράσμιον ἦν μετὰ τοῦ πατρός σου ἐν τῇ πόλει καθεσθῆναι καὶ ἐν αἵμασιν ἀνθρώπων τὰς χείρας μου μὴ μολύνειν ἐν τοῖς πολέμοις. τί οὖν λέγεις; ὑποκλίνῃ καὶ λαμβάνεις τὴν Χριστιανικωτάτην πίστιν, ἀφιστάμενος τῆς περιεχούσης σε μανίας, ἢ οὐ;" ὁ δὲ μακάριος Παγκράτιος ἀρξάμενος εἶπεν πρὸς

XSCYVO

1 ἀλήθειαν XSCY : ἀλήθειας V 1 μαντείαν om. XSCY 1 εὑρεῖν om. S 2 ἀληθῶς XSCY : ἀληθὲς V 2 εὗρον CYV : εὕρων XS 2 πλεῖον SCYV : πλείων X 2 ὅλων XSYV : ὅλον C 2 βλασφημοῦσας : βλασφημούντας Y 3 ἀπέκτεινα V : ἀπέκταγκα XS, fort. recte ἀπέκτανκα CY 4 αὐτάς : αὐτούς S 4 ποτὲ om. SCY 4 ὅρον : ὅρων S 5 νομίσῃς V : νομήσης CY νομήσεις XS 5 ὅτι om. CYV 5 δι' ὃν SCYV : δι' ὧν X 6 post τούτου verbum ταύτην hab. CYV 7 ἐξενέγκαι XSCY : ἐξενεγκεῖν V 8 - 9 τὴν ἐν σοὶ - ἐπιβουλὴν om. S 8 τὴν (2) V : τῶν XCY, fort. recte 8 ἐγκεκολλημένην nos : ἐνκεκολιμένην V ἐγκεκολλιμένων X ἐνκεκολλημένων CY, fort. recte (ἐγ-) 10 εἰ XSV : ἡ CY 10 σοι XCY : σε SV 11 ἐκπορεύεσθαί XCV : ἐκπορεύεσθέ, corr. -έσθαί Y ἐμπορεύεσθαί S 11 ἦν XSCY : ἐστὶν V 12 σου emendavi : μου XSV, om. CY 12 καθεσθῆναι XSCY : καθέζεσθαι V 12 τὰς om. XCYV 13 ὑποκλίνῃ CV : ὑποκλίνει XY : ὑποκλήνει S 13 λαμβάνεις XSCY : -ῃς V

Ἕλιδον, "ἄκουσον, ἄνθρωπε, αὗται μὲν αἱ παρθένοι διὰ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸ αἷμα αὐτῶν ἐξέχεαν, σὺ δὲ ἡδονὴν σαρκὸς ὀρέξει ἀσελγείας ἐπεζήτησας καὶ διαβολικοῦ θυμοῦ πλησθεὶς τοῦτο πέπραχας. ὁ δὲ θεὸς ἡμῶν ἀνεξίκακός ἐστιν καὶ ἀγαθὸς ὑπάρχων προσδέχεταί σε καὶ δωρεῖταί σοι συγχώρησιν. βαπτίσθητι οὖν καὶ συγκαταριθμήθητι τῇ ποίμνῃ τοῦ Χριστοῦ." ὁ δὲ Ἕλιδος, "οὐκ ἐγεκαταλείψω ποτὲ τὰς πατρικάς μου διατάξεις· ἐμοὶ γὰρ τὸ ζῆν οἱ θεοὶ τοῦ πατρός μου καὶ τὸ ἀποθανεῖν ὑπὲρ αὐτῶν κέρδος ἡγοῦμαι, καὶ τοῖς ἀπατηλοῖς ὑμῶν λόγοις οὐ πεισθήσομαι, ἵνα γόνος Ἑλλήνων θωπείαις Χριστιανῶν χαυνωθῇ. σφάξατέ με οὖν ἐνώπιον τοῦ θεοῦ μου Σκαμάνδρου." ὁ δὲ ἅγιος Παγκράτιος πρὸς αὐτὸν εἶπεν, "ἡμεῖς ψυχὴν λογικήν, ἀλλ' οὐδὲ ἄλογον δίδομεν τῷ εἰδώλῳ, ἐπειδὴ Χριστιανοὶ ἐσμὲν ἅπαντες." ἤρξατο οὖν ὁ Ἕλιδος βλασφημεῖν, καὶ ἀκούσαντες ἐκέλευσαν ὅ τε Βονιφάτιος καὶ ὁ μακάριος καὶ πᾶσα ἡ σύγκλητος ὑπαναγνωσθῆναι τὸν τῆς πόλεως νόμον, οὗ ἀναγνωσθέντος,

XSCYVO

3 ἐπεζήτησας XC : ἐπιζητήσας S, fort. recte ἐπιζητείσας Y ἐπιθυμήσας V 3 διαβολικοῦ θυμοῦ X διαβολικὸν θυμὸν SCY διαβολικῷ θυμῷ V 4 ὑπάρχων XSV : ὑπάρχον C ὑπάρχει S 5 προσδέχεταί σε : προσδέχετέ (corr. -εταῖ) σαι C 5 δωρεῖταί X δωρήται SCYV 6 συγκαταριθμήθητι : συνκαταρίθμητι Y 6 ποίμνῃ : πίστει, corr. ποίμνῃ C 7 ἐγκαταλείψω V : ἐγκαταλείπω XSCY 7 τὸ : τοῦ S 8 κέρδος ἡγοῦμαι om. Y 9 ἀπατηλοῖς : ἀποστολοῖς S 9 ὑμῶν om. Y, post λόγοις tr. CV 9 πεισθήσομαι XV : πισθήσομαι SCY 9 Ἑλλήνων XY : Ἑλλίνων SC Ἑλληνωνῶν V 10 χαυνωθῇ X : χαυνοθεῖ S χαυνοθῶ C χαυνωθῶ YV, fort. recte 10 με post οὖν tr. XSCY 11 δὲ om. XCYV 11 πρὸς αὐτόν post εἶπεν tr. S 11 εἶπεν om. Y 12 ἄλογον XY : ἀλόγου SV ἀλόγων C 12 δίδομεν CY : δίδομαι, corr. δίδομεν X δίδωμεν SV 12 εἰδώλῳ : ἀλόγῳ S 14 ἐκέλευσαν om. XCY 14 ὁ om. CY 14 πᾶσα om. S 15 ἀναγνωσθέντος : -θέντως X

κατέκριναν αὐτόν, ὡς φονέα καὶ Ἕλληνα, μαχαίρᾳ ἀπολέσθαι. λαβὼν οὖν ὕδωρ ὁ Βονιφάτιος, καὶ ἀπονιψάμενος εἰς τὸ πρόσωπον αὐτοῦ ἅμα τῆς συγκλήτου εἶπεν, "ἀθῷοί ἐσμεν τὸ αἷμά σου ἐπὶ τὴν κεφαλήν σου· πολλὰ γὰρ παρ' ἡμῶν παρακληθεὶς οὐκ ἐπείσθης, ἀλλὰ παρήκουσας, καὶ μᾶλλον προετιμήσω τὸν θάνατον ὑπὲρ τὴν ἀληθινὴν ζωήν." ὁ οὖν Βονιφάτιος καλέσας ἕνα τῶν παιδαρίων λέγει, "ἄπελθε, νεανίσκε, καὶ λαβὼν μάχαιραν ἄνελε Ἕλιδον υἱὸν Αὐριλιανοῦ." λαβὼν δὲ αὐτὸν ὁ παῖς, ἦλθεν ἐν ἐπισήμῳ τόπῳ καὶ τοῦτον ἀνεῖλεν. ὡς δὲ ἀπῆλθεν ἡ ψυχὴ τοῦ ἀθλίου ἀπὸ τοῦ σώματος αὐτοῦ, ἐγένοντο ἅπαντα τὰ μέλη αὐτοῦ ὡσεὶ δράκοντος, μόνον χείρας καὶ πόδας αὐτοῦ φαίνεσθαι ἔχειν ἀνθρώπου. ἀνέστησαν δὲ πάραυτα ἀπὸ τοῦ σεκρέτου καὶ ἀπῆλθον δοξάζοντες τὸν θεὸν καὶ θαυμάζοντες τὸ φανὲν σημεῖον ἐπὶ τοῦ σώματος τοῦ ἀθλίου, καὶ ἀνήλθομεν εἰς τὸ πραιτώριον σὺν Βονιφατίῳ. οὕτως λοιπὸν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς περιεκύκλωσεν τὴν πόλιν Ταυρομενίας ἔλεος, εἰρήνην καὶ θυσίαν αἰνέσεως καὶ ἐξομολογήσεως

XS (11 *σεκρέτου* - 12 *θαυμάζοντες* mutil.) CYVO

2 *ὕδωρ* post *Βονιφάτιος* tr. V 2 post *καὶ* verbum *ὡς* hab. Y 3 *τῆς συγκλήτου* XSC : *τῆς συγκλήτῳ* Y *τῇ συγκλήτῳ* V, fort. recte 3 *εἶπεν* XSCY : *εἶπαν* V 4 *παρακληθεὶς* om. S 4 *ἐπείσθης* CYV : *ἐπίσθης* X *ἐπίσθεις* S 7 *Ἕλιδον* post *Αὐριλιανοῦ* tr. CY 7 *αὐτὸν* om. V 8 *ἦλθεν* XSCY : *ἀνελθὼν* V 8 *καὶ* om. V 8 - 11 *ὡς δὲ ἀπῆλθεν - ἀνθρώπου*] *Егда же отъиде душа его отъ окаяннаго тѣла его быше удове его вси, аки зміеве. точію руцѣ его и нозѣ видѣти имуща человѣчи* Usp 9 *ἅπαντα* XS : *πάντα* CYV 10 *αὐτοῦ*(2) post *χείρας* tr. S 13 *ἀνήλθομεν* X : *ἀνήλθωμεν* S *ἀνήλθαμεν* V *ἀνῆλθον* CY 14 *οὕτως* XSYV : *οὗτος* C 15 *Ταυρομενίας* V : *Ταυρομενείας* XSC *Ταυρομενίας*, corr. *-είας* Y

διὰ τῆς αὐτοῦ χάριτος καὶ ἀνεικάστου φιλανθρωπίας καὶ διὰ προσευχῆς Παγκρατίου· οἱ γὰρ λεγεῶνες τῶν δαιμόνων ὤλοντο, καὶ κατεφυτεύθη ὕμνος ἐν αὐτῇ ὡς ἐν Σιὼν καὶ εὐχὴ ὡς ἐν Ἰερουσαλήμ· ἅπαντες γὰρ οἱ τῆς λογικῆς ποίμνης λαοὶ οὐκ ἀφίσταντο τοῦ ποιμένος τῶν προαυλίων, ἀλλ' ἡμέραν καὶ νύκτα ἦσαν σὺν τῷ μακαρίῳ ᾄδοντες καὶ ψάλλοντες τῷ κυρίῳ. χρόνων δὲ δύο διελθόντων, ἦλθον καὶ οἱ πρεσβύτεροι, οὓς ἦν χειροτονήσας ἐν τῷ λαῷ, λέγοντες τῷ μακαρίῳ πεπληρωκέναι τὰς οἰκοδομὰς τῶν ἐκκλησιῶν τῶν ἐπαρχιῶν, καὶ ἐγονυπέτουν ἀπελθεῖν καὶ τὸν ἁγιασμὸν ἀποτελέσαι. ὁ δὲ μακάριος Παγκράτιος συνταξάμενος αὐτοῖς εἶρηκεν, "ἀπέλθετε, τέκνα μου, καὶ ἡμεῖς συλλαβόμενοι τὸν ἡγεμόνα καὶ τὴν σύγκλητον, φθάνομεν ὑμᾶς τριῶν ἡμερῶν διελθουσῶν. ἀνέλθετε δὲ καὶ εὐλογήσατε τὸν ἡγεμόνα." ἀνῆλθον οὖν οἱ ἱερεῖς, καὶ ἰδὼν αὐτοὺς ὁ Βονιφάτιος ἄφνω περιβεβλημένους τὰς διπλοΐδας αὐτῶν, ἐξέστη τῇ διανοίᾳ αὐτοῦ, ὡς ἔλεγεν, ἀγγελικὴν τάξιν ἑωρακέναι. ἐπευξάμενοι δὲ τῷ ἡγεμόνι καὶ

XSCYVO

1 ἀνεικάστου nos : ἀνικάστου XSCYV 2 ὤλοντο SV : ὤλοντω X ὅλοντο C ὅλωντο Y 2 - 3 καὶ κατεφυτεύθη - Ἰερουσαλήμ] *Во градѣ же насадися хвала, аки въ Сіонѣ, и молитва, яко въ Іерусалимѣ* Usp 3 ὡς (1) om. V 3 εὐχὴ XSV : οὐχὶ CY 5 ἡμέραν XSCY : ἡμέρα V 5 νύκτα CYV : νύκταν XS 6 διελθόντων XC : ἐλθόντων S διελθουσῶν YV 7 χειροτονήσας om. Y 7 post λαῷ verbum ἦλθον (ἤλθων S) tr. XSC 7/8 ἐν : ἐπὶ Y 9 ἀποτελέσαι SV : ἀποτελέσθαι XC ἐπιτελέσαι Y 10 ἀπέλθετε XC : -ατε SYV 11 ἡμεῖς XSYV : ὑμεῖς C 11 φθάνομεν CV : -ωμεν XSY 12 ἀνέλθετε nos : ἀνέλθατε V ἀπέλθετε XC, fort. recte ἀπέλθατε S 12 δὲ om. S 12 καὶ om. XSCY 13 ἀνῆλθον V : ἀπῆλθον XCY, fort. recte ἀπήλθων S 14 αὐτοῦ om. V

ποιήσαντες ἀγάπην καὶ ἀνακρίνας αὐτοὺς περὶ τῶν ἐκκλησιῶν καὶ τοῦ λαοῦ, ἐξῆλθον διηγησάμενοι ἅπαντα τῷ ἡγεμόνι. διελθουσῶν δὲ τῶν τριῶν ἡμερῶν, συμπαραλαβὼν ὁ μακάριος τὸν Βονιφάτιον καὶ τὴν σύγκλητον, ἐμέ τε καὶ τὸν διάκονον τοῦ Χριστοῦ Ἐπαφρόδιτον καὶ Λυκαονίδην τὸν σκευοφύλακα, ἀπήλθομεν εἰς τὰς ἐπαρχίας, καὶ ποιησάντος τοῦ μακαρίου ἅπασαν τὴν ταξιαρχίαν, ἐνεκαίνισεν τὰς ἁγίας ἐκκλησίας. πολλὰ οὖν σημεῖα πεποίηκεν ὁ κύριος ἐν τοῖς οἴκοις αὐτοῦ, ἅπερ εἰ καθ' ἕνα πειραθῶμεν ἀναγράψασθαι, πολλὴ συμβήσεται ἡμῖν ἡ διήγησις. ὅμως μερικῶς τὰ κατὰ δύναμιν παρενέγκωμεν· πόση γὰρ μεμβράνων ἡ πληθὺς χωρήσει τῶν θαυμάτων τὰ ἐπομβρίσματα; ὅμως δέ, ἀσθενεῖς καὶ ἀδύνατοι ὑπάρχοντες πρὸς διήγησιν τῶν πράξεών σου, ἅγιε Παγκράτιε, δυσωποῦμέν σε, ὡς ἔχοντα παρρησίαν πρὸς τὸν τῶν ὅλων δεσπότην Χριστὸν τὸν ἀληθινὸν θεὸν ἡμῶν, ἱκέτευε καταπεμφθῆναι ἡμῖν συγχώρησιν τῶν παρ' ἡμῶν πλημμεληθέντων, δι' ὃ καὶ ὡς ἀδύνατοι ἐάσαμεν τῶν θαυμάτων τὸ πλῆθος· τοῦτ' ἐστιν,

XS (14 καταπεμφθῆναι - πλημμεληθέντων mutil.) CYVO

2 ἐξῆλθον XY : ἐξῆλθαν V ἐξήλθων S ἐξῆλθων, corr. -ον C 2 τῶν om. Y 4 post σύγκλητον verbum ἅπασαν hab. S 4 διάκονον CYV : διάκονα XS 4 τοῦ om. XV 5 ante ἀπήλθομεν verbum καὶ hab. XCY 5 ἀπήλθομεν X : -αμεν SV -ωμεν CY 6 post μακαρίου verbum Παγκρατίου hab. CY 6 ἐνεκαίνισεν XCY : ἐνεκένησεν S ἐνεγκαίνισεν V 8 πειραθῶμεν XS : -όμεν V, om. CY 8 ἀναγράψασθαι XSYV : γράψασθαι C 8 - 9 πολλὴ συμβήσεται ἡμῖν ἡ διήγησις : πολὺς γενήσεται ὁ φόρτος τοῦ βιβλίου S 9 ὅμως XSCY : ὅθεν V 9 παρενέγκωμεν SCY : -ομεν XV 9 πόση XCV : πώση S πόσοι Y 10 ἡ om. SC 10 ἐπομβρίσματα XCY : ἐπομβρίματα S ἐπομβρήσματα V 11 δέ : γὰρ S 12 σε om. V 12 ἔχοντα Y : ἔχωντα C ἔχων XSV 13 τὸν (1) om. S 14 ἡμῖν (~~ν~~) nos : ἡμῶν V, om. XSCY 14 ἡμῶν XCY : ἡμῖν V 15 δι' ὃ XSCY : δι' ὧν V 15 ἀδύνατοι XSCV : ἀδύνατον Y 15 ἐάσαμεν XSCV : -σωμεν Y 15 τὸ πλῆθος XCYV : τὰ πλήθει S

τῶν δαιμονιόντων ὧνπερ λόγῳ ἰάσω, τῶν παραλύτων τὴν γόμφωσιν, τῶν τυφλῶν τὴν ἀνάβλεψιν, τῶν χωλῶν τὴν ἐπανόρθωσιν, τῶν τὰ ἀνίατα πάθη ἐχόντων τὴν θεραπείαν, δι' ὅ, μύστα τοῦ Χριστοῦ, καὶ τούτων ἡμῖν τὴν συγχώρησιν αἰτῆσαι, καὶ εἰς ἃ βουλόμεθα ἐπιχειρεῖν διηγεῖσθαι, ἐγκαίνισον καὶ ἡμῖν ἐκ τοῦ πνεύματος, οὗ παρέσχέν σοι κύριος Ἰησοῦς Χριστός, καὶ δὸς διὰ τῆς ἱκεσίας σου λόγον ἐν ἀνοίξει τοῦ στόματος ἡμῶν, καὶ παράσχου ἡμῖν διὰ τοῦ ἐνοικήσαντος ἐν σοὶ πνεύματος σταγόνα λόγου· θαρροῦντες γὰρ εἰς τὰς ἁγίας εὐχάς σου, λέγομεν ἅπερ ἡ δύναμις παρέχει. ὡς οὖν ἐνεκαίνισεν ὁ ἅγιος ἑκάστην ἐπαρχίαν, λέγει τῷ Βονιφατίῳ, "ἐάσωμεν τοὺς ἱερεῖς ποιῆσαι τὴν μυστικὴν καὶ ἀναίμακτον θυσίαν, καὶ ἀκούσωμεν πῶς τὰ ἐγχειρισθέντα αὐτοῖς μυστήρια ἐπιτελοῦσιν," ὅπερ καὶ ἐποιήσεν ἐφ' ἑκάστης ἐπαρχίας, ἐνορδινεύσας ἕκαστον εὐκτήριον ποιεῖν τὸν ἑσπερινὸν καὶ ἑωθινὸν ὕμνον, καὶ ἁπλῶς πάντα τὰ κατὰ τῆς ἐκκλησίας ἐνορδινεύσας, συμπαραλαβὼν τοὺς πρεσβυτέρους καὶ διακόνους,

XS (9 *λέγομεν* - 10 *ἐπαρχίαν* mutil.) CYVO

1 *δαιμονιόντων* XSV : *δαιμονιῶν* CY 4 *βουλόμεθα* XCYV : *-ώμεθα* S 5 *ἐγκαίνισον* CYV : *ἐκκαίνισον* X, corr. *ἐγ-* X¹ *ἐγκαίνησον* S 5 *καὶ* om. CY 8 *λόγου* SCYV : *λόγων*, corr. *-ου* X 8 ante *θαρροῦντες* verbum *καὶ* hab. S 8 *θαρροῦντες* : *-οῦντας* Y 8 *γὰρ* om. Y 8 *σου* post *ἁγίας* tr. CY 9 *ὡς* : *ὃς* C 10 *ἐάσωμεν* SCYV : *-σομεν* X 11 *ἀκούσωμεν* XSYV : *-σομεν* C 12 *ὅπερ* XSCY : *ὃ* V 13 *ἑκάστης ἐπαρχίας* V : *ἑκάστην ἐπαρχίαν* XCY *ἑκάστη ἐπαρχεία* S 13 *ἐνορδινεύσας* XSCV : *ὀρδινεύσας* Y 13 *ποιεῖν* V : *ποιῶν* XSCY 14 *καὶ ἑωθινὸν* om. CY 14 *τὰ* om. S 15 *ἐνορδινεύσας* XCYV : *ὀρδινεύσας* S 15 post *συμπαραλαβὼν* verbum *καὶ* hab. V 15 *πρεσβυτέρους* et *διακόνους* tr. XS

Βονιφάτιόν τε καὶ τὴν σύγκλητον, ἐξῆλθεν, καὶ ἐνώπιον πάντων ἔπηξεν τὰ ὁροθέσια τῶν ἐκκλησιῶν, λέγων ἅπασιν, "αὕτη ἐστιν, τέκνα μου, ἡ κληρονομία τοῦ θεοῦ, ἵνα οἱ τῷ θεῷ ἐντυγχάνοντες ὑπὲρ τῶν τοῦ λαοῦ πλημμελημάτων καὶ εὐχὰς τῷ κυρίῳ Ἰησοῦ Χριστῷ ἀναπέμποντες, ἐργαζόμενοι τὸν ἑαυτῶν ἄρτον περιποιοῦνται, καὶ πολὺς ὁ περὶ ταῦτα πρὸς ὑμᾶς γενήσεται μισθός, ἵνα γνωρίσωμεν τὰ τοῦ θεοῦ τοῖς πρεσβυτέροις καὶ διακόνοις καὶ ὑπηρέταις τῆς ἐκκλησίας." ὁ οὖν Βονιφάτιος πρὸς τὸν μακάριον ἔφη, "ἅγιε Παγκράτιε, εἰ τὰς λογικὰς ψυχὰς τῷ θεῷ προσήνεγκας, ἔτι περὶ ἀγρῶν καὶ ἀμπελώνων φροντίζεις." ὁμοίως δὲ καὶ πάντες οἱ τοπάρχαι τὸν αὐτὸν λόγον εἶπον. λαβόμενοι δὲ τῶν ἑαυτῶν οἴκων καὶ ἐξενέγκαντες τὰ ἑαυτῶν ὑπάρχοντα, ἐποίησαν τρεῖς μοίρας, χρυσίον καὶ ἀργύριον, καὶ σκεύη χαλκοῦ καὶ σιδήρου καὶ παντοίων στρομνῶν σὺν ἱματισμῷ, παῖδας καὶ παιδίσκας, ἀγροὺς καὶ ἀμπελῶνας, καὶ κινητὰ πάντα ὁρίσαντες, φησίν, "μίαν μοίραν τῷ θεῷ, ἑτέραν τῆς

XSCYVO

1 καὶ (2) ante ἔπηξεν tr. S 2 τέκνα XSCY : τεκνία V 4 εὐχὰς YV : εὐχὴν XSC 5 - 6 τὸν ἑαυτῶν ἄρτον περιποιοῦνται, καὶ πόλυς ὁ περὶ ταῦτα πρὸς ὑμᾶς γενήσεται μισθός nos : τὸν ἑαυτὸν περὶ ταῦτα πρὸς ἡμᾶς (corr. ὑμᾶς X^1) γενήσεται μισθός X τῶν ἑαυτῶν περιποιοῦντα καὶ πολὺς ὁ περὶ ταῦτα πρὸς ὑμᾶς γενήσεταί μισθός S τὸν ἑαυτῶν περιποιοῦνται (περιποιοῦντες Y) λόγον καὶ πόλλος ὁ πρὸς ὑμᾶς (ἡμᾶς Y) γενήσεται μισθός CY τὸν ἑαυτῶν ἄρτον περιποιοῦνται καὶ πολὺς ὁ μισθός V 6 γνωρίσωμεν XSV : γνωρίσωμεν, corr. -ομεν C γνωρήσωμεν Y 7 καὶ διακόνοις om. XS 7 ὑπηρέταις XSCY : ὑπουργοῖς V 8 post μακάριον verbum Παγκράτιον hab. CY 9 τῷ θεῷ post προσήνεγκας tr. CY 9 προσήνεγκας XSC : προσύνεγκας Y προσένεγκας V 11 εἶπον : εἶπων S 12 ἐξενέγκαντες τὰ ἑαυτῶν XSCY : ἐξενέγκας ἕκαστος τὰ ἑαυτοῦ V, fort. recte 12 μοίρας correxi : μύρας XSCYV 12 χρυσίον : χρυσίων Y 13 χαλκοῦ : χαλκὰ Y 14 ante παῖδας verbum καὶ hab. Y 15 κινητὰ XCY : κηνιτὰ S κτήνη V, fort. recte 15 πάντα XSCY : ἅπαντα V 15 μοίραν correxi : μύραν XSCYV 15 post ἑτέραν verbum δὲ hab. CY 15 τῆς om. Y

ἑαυτῶν ζωῆς, καὶ τρίτην τῶν ἑαυτῶν τέκνων," καὶ οὕτως λοιπὸν ἅπαντα ἐνέγκαντες εἰς τοὺς πόδας τοῦ μακαρίου, κατεκόσμησαν τὰς ἐκκλησίας σκευῶν χρυσέων καὶ ἀργυρέων καὶ ἱματισμοῦ. ὁ δὲ μακάριος Παγκράτιος ἐνέγκας χαρτίον ἀνεγράψατο ἅπαντα, καὶ παρέδωκεν τοῖς πρεσβυτέροις ἑκάστης ἐπαρχιας. ἔτι οὖν ἐπαρχιῶν οὐσῶν ἀνορδινεύτων, καὶ βουλομένου ἐξελθεῖν τοῦ μακαρίου, κἀκείνων τὴν ἀφιέρωσιν ποιῆσαι καὶ στῆσαι τὰ ὁροθέσια, ὥρα ἦν ὡσεὶ ἕκτη τῆς νυκτός, ἐν ᾗ ἐξανέστη τοῦ ἐξελθεῖν, καὶ εἷς ἐκ τῶν διακόνων, ὢν ἦν χειροτονήσας εἰς τὰς ἐπαρχίας, ἤρξατο στενάζειν ἐκ βάθους καρδίας αὐτοῦ καὶ φωνεῖν τὸν μακάριον οὕτως, "ὦ πάτερ, ἐλθέ, προσέγγισόν μοι." ὁ δὲ μακάριος, ἀκούσας τὴν φωνὴν τοῦ διακόνου ἐξῆλθεν, καὶ ἀπελθὼν ὅπου ἦν, ἐκαθέσθη, καὶ κρατήσας αὐτὸν τῆς δεξιᾶς χειρὸς ἠρώτησεν αὐτόν, "τί πάσχεις, τέκνον;" ὁ δέ, "τὴν κεφαλήν μου, πάτερ, καὶ ὅλον τὸ σῶμα μου τετάρακται ἐν ἐμοί, καί, ὡς οἶμαι, ἀποθνῄσκω· οὐκέτι γὰρ τῶν ἐν τῷ βίῳ τούτῳ τι ὁρῶ." ἀκούσαντες δὲ οἱ ἱερεῖς ὅτι ὁ

XSCYVO

1 καὶ (2) bis hab. C 2 ἅπαντα XSCV : πάντα Y 2 κατεκόσμησαν XYV : -ισαν SC

4 Παγκράτιος om. CY 6 post μακαρίου verbum Παγκρατίου hab. CY 6 - 7 κἀκείνων τὴν ἀφιέρωσιν - ὁροθέσια] *и освященіе тамъ сотворити и поставити предѣлы* Usp 7 ἀφιέρωσιν V : ἀφαιρέωσιν X ἀφερέωσιν SCY 8 ὢν om. S 10 φωνεῖν : φωνὴν S 10 τὸν μακάριον : τῶν μακαρίων Y 11 ante ἀκούσας verba ἐλθὼν καὶ hab. S 11 - 12 καὶ ἀπελθὼν om. S 12 ἐκαθέσθη ante ὅπου tr. S 12 ante τῆς verbum ἐκ hab. XS 12 δεξιᾶς om. CY 15 τούτῳ XYV : τοῦτο SC 15 τι om. V 15 ὁρῶ : ὡρῶ C

διάκων Νεόφυτος ἀποθνήσκει καὶ ὁ ἐπίσκοπος ἐγήγερται καὶ ἐνώπιον αὐτοῦ παρακάθηται, ἐξῆλθον ἅπαντες καὶ εἰσῆλθον ὅπου ἦν ὁ μακάριος. ἰδὼν δὲ αὐτοὺς ὁ διάκων, εἶπεν πρὸς αὐτούς, "ἰδού, πατέρες καὶ συλλειτουργοί, πορεύομαι πρὸς τὸν κύριον· ἀλλ' εὔξασθε ὑπὲρ ἐμοῦ σὺν τῷ πατρὶ ἡμῶν, ὅπως ἵλεός μοι γενήσεται Χριστὸς ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως." ἀκούσαντες δὲ τὸν λόγον τοῦτον, οἱ ἱερεῖς καὶ ὁ μακάριος ἤρξαντο θρηνεῖν ἅπαντες πένθος μέγα. ἀκούσας δὲ καὶ ὁ Βονιφάτιος, ἦλθεν, ὅντινα ἑωρακὼς ὁ διάκων, εἶπεν, "ὦ ἡγεμών, κύρι Βονιφάτιε, ὁ ἁμαρτωλὸς Νεόφυτος ὁ διάκων τὸν ἀνθρώπινον ὑπεξέρχεται βίον." ὁ δὲ Βονιφάτιος σύνδακρυς γενόμενος ἔφη πρὸς αὐτόν, "θάρσει, τέκνον, οὐ μή σοι γένηται τοῦτο ἀρτίως, οὐ δὲ μὴ θλῖψις γένηται τῷ φιλοστόργῳ πατρὶ ἡμῶν." ὁ δὲ μακάριος Παγκράτιος μετὰ δακρύων ἔλεγεν, "κύριος ἔδωκεν, κύριος ἀφείλατο. ὡς τῷ κυρίῳ ἔδοξεν, οὕτως καὶ ἐγένετο·" ἦν γάρ, ὡς ἐπ' ἀληθείας εἰπεῖν, ὁ μακάριος Νεόφυτος νέος μὲν τῇ ἡλικίᾳ, παλαιὸς δὲ τῷ

XS (1 ἐγήγερται - 3 μακάριος, 13 Παγκράτιος - 14 ἔδοξεν mutil.) CYVO

13 Job. 1:21

1 διάκων V : διάκον XSC διάκονον Y 1 - 2 καὶ ἐνώπιον αὐτοῦ παρακάθηται om. CY 2 παρακάθηται V : -εται XCY 2 ἐξῆλθον XCY : -αν V 2 εἰσῆλθον X : ἦλθον CY X ἦλθαν V 3 διάκων XSV : διάκον CY 4 τὸν om. V 4 εὔξασθε CYV : -ασθαι XS 4 ὑπὲρ : περὶ S 5 ἵλεός XCYV : ἵλεώς S 5 γενήσεται XSV : γένηται C, fort. recte γένοιται Y 6 τὸν λόγον τοῦτον XSCY : τῶν λόγων τούτων V 7 θρηνεῖν : θρηνὴν S 7 ἅπαντες (πάντες CY) post μέγα tr. XSCY 10 ὑπεξέρχεται S : ἐξέρχεται XCYV 10 γενόμενος XV : γενάμενος SCY 10 ἔφη XS : εἶπεν CYV 11 θάρσει τέκνον οὐ om. CY 11 θάρσει SV : θάρση X 11 σοι XCYV : σὺ S 11 γένηται XSYV : γένοιται C 11 τοῦτο ἀρτίως SV : τούτῳ ἀρτίως (ἀρτίος, corr. -ως Y) XCY (post γένηται tr. CY) 11 δὲ post μὴ tr. C 12 γένηται XCYV : γένειται S 13 ante κύριος (1) verbum ὁ hab. XS 13 ante κύριος (2) verbum ὁ hab. XS 14 ὡς τῷ κυρίῳ - ἐγένετο om. CY 15 - 291.3 νέος μὲν - διερμηνεύων] юнь врьстою, старь же смысломъ, бодрьливъ весь и цѣломудренъ, дѣломъ и словомъ утворенъ, зѣло книженъ, румскымь же и Еллиньскымь ѩзыкомъ книги вѣдый, и толкуе Usp 15 παλαιὸς : φαλαίως Y

φρονήματι, νηφαλέος ὅλως καὶ σώφρων, καὶ ἔργῳ καὶ λόγῳ κεκοσμημένος ἡδύτατος πάνυ, καὶ γραμματεὺς τῆς τε Ῥωμαϊκῆς καὶ Ἑλληνικῆς γλώσσης, τὴν γραφὴν ἐπιστάμενος καὶ διερμηνεύων. ὡς οὖν ἐκαθεζόμεθα πενθοῦντες, ἐφώνησεν ὁ ἀλέκτωρ, καὶ λέγει πρὸς τὸν μακάριον, "ἰδού, πάτερ, καὶ ὁ ἀλέκτωρ ἐφώνησεν." ὁ δὲ φιλόστοργος πατὴρ ἡμῶν, "ναί, τέκνον, καὶ ὁ καιρὸς τοῦ ἑωθινοῦ κανόνος φθάζει." ἔτι οὖν λελαληκότων αὐτῶν, συνῆλθεν ἡ ὥρα τοῦ κανόνος, καὶ ἀναστάντες συνελάβοντο τὴν κλίνην καὶ εἰσήνεγκαν εἰς τὴν ἐκκλησίαν. ἦν δὲ ἡ ἐπαρχία τοῦ Ἄγοντος τόπου. ἔστησαν οὖν καὶ ἐποίησαν τὸν κανόνα καὶ ὁ Νεόφυτος συνέψαλλεν αὐτοῖς ἀνελλείπτως ὡς ὑγιὴς ὅλος. ἦλθεν οὖν ὁ καιρὸς τῆς ἀναγνώσεως, καὶ ᾔτησεν ὁ Νεόφυτος τὸ βιβλίον Παύλου τοῦ ἀποστόλου, καὶ λαβὼν ἐνώπιον πάντων ἀνέγνω, ὡς λέγειν ἡμᾶς ὅτι, εἰ καὶ ἐν τῇ κλίνῃ ἐστίν, οὐ μὴ ἀποθάνῃ. ὡς δὲ πεπλήρωκεν τὴν ὁρισθεῖσαν ἀνάγνωσιν, ἐπληρώθη καὶ ὁ κανών, καὶ ἔφαυσεν ἡ ἡμέρα, καὶ λέγει ὁ Νεόφυτος τῷ μακαρίῳ, "πάτερ, ἤγγικεν ὁ καιρός

XSCYVO

1 ὅλως XS : ὅλος CYV 1 καὶ (2) om. YV 2 κεκοσμημένος S : καικοσμημένος Y κεκοσμένος X κοσμημένος C κατακεκοσμημένος V 2 ante πάνυ verbum δὲ hab. XSCY 4 πενθοῦντες XCYV : θρηνοῦντες S 4 ἐκαθεζόμεθα : -ώμεθα, corr. -όμεθα C 4 καὶ om. XSCY 8 συνελάβοντο XS : οὖν ἐλάβοντο, fort. recte οὖν ἐλάβοντω Y συνέλαβον V 10 ὅλος CYV : ὅλως XS 11 καὶ om. X 12 ἀνέγνω post λαβὼν tr. V 13 ἀποθάνῃ XSCV : -ει Y 13 πεπλήρωκεν XSCY : ἐπλήρωκεν V, fort. recte 14 ἀνάγνωσιν] *анагносанія* Usp 14 ἐπληρώθη XSCY : συνεπληρώθη V 14 post ἐπληρώθη verbum δὲ hab. CYV 15 καὶ om. XCYV 15 - 292.2 πάτερ - βλέπω] *Отче, приближисе годь мой. болѣзни бо тѣла моего отлиховаше мя. уже бо, отче, инь міръ вижду* Usp 15 ἤγγικεν (-ηκεν C) XCYV : ἤγγισεν S

μου· οἱ πόνοι γὰρ τοῦ σώματός μου ἐπεκύρησάν με. λοιπόν, πάτερ, καὶ ἕτερον κόσμον βλέπω καὶ ἄλλην τάξιν ὁρῶ, περισπούδαστον περὶ ἐμέ." γνοὺς δὲ ὁ μακάριος ὅτι ἐγγίζει τοῦ παραδοῦναι τὴν ψυχὴν τῷ κυρίῳ, προσεκαλέσατο τοὺς πρεσβυτέρους καὶ ἐκέλευσεν ἀλλάξαι ἅπαντας τὰς στολὰς αὐτῶν, οἵτινες ἐποίησαν οὕτως, καὶ εἰσῆλθον σὺν τῷ μακαρίῳ καὶ ἤρξαντο τοῦ θείου ὕμνου, καὶ τοῦτον ἐκπληρώσαντες, ποιήσας ὁ μακάριος τὴν ἐπιτέλεσιν τῆς λειτουργίας, καὶ μελίσας τὸν ἄρτον, ἔσπευδεν μεταδοῦναι τῷ μακαρίῳ Νεοφύτῳ, καὶ προσελθὼν διακατέχων τὸν μαργαρίτην τοῦ σώματος τοῦ κυρίου εἰς τὸ μεταδοῦναι αὐτῷ, ὁρᾷ, καὶ εἱστήκησαν ἄνδρες μεγαλιαῖοι καὶ φοβεροὶ περικυκλοῦντες τὴν κλίνην αὐτοῦ. ὡς δὲ μετέδωκεν αὐτῷ τοῦ σώματος, προσενέγκας καὶ τὸ ποτήριον καὶ ἐπιδόσας, οἱ ἄνδρες ἐκεῖνοι ἥπλωσαν τὰς χείρας αὐτῶν. οὐδεὶς δὲ τῶν παρεστότων ἑώρα αὐτούς, εἰ μὴ μόνον ὁ μακάριος. ἐλθόντων οὖν πάντων καὶ ἀσπασαμένων αὐτόν, ἐξῆλθεν ἡ καθαρὰ καὶ τιμία ψυχὴ αὐτοῦ ὡς εἶδος περιστερᾶς, καὶ

XSCYVO

μου om. V

1 ~~post σώματος verbum μου hab. XSCY~~ 1 ἐπεκύρησάν emendavi : ἐπεκύρωσάν XS ἐπεκήρωσαν C ἐπεκήροσάν Y ἐπεσχύρωσάν V 2 ὁρῶ : ὡρῶ C 4 προσεκαλέσατο XSC : προσεκαλεσάτω V προσκαλέσας Y 5 εἰσῆλθον V : εἰσελθὼν XS εἰσελθώντες C εἰσελθόντας Y 5 - 6 τῷ μακαρίῳ CY : τῶν μακαρίων XSV 6 post μακαρίῳ verba ἤλλαξεν δὲ καὶ ὁ Νεόφυτος καὶ hab. V 6 ἤρξαντο CY : ἤρξατο XSV 7 μελίσας : μελήσας S 8 ἔσπευδεν XS : ἔσπευσεν CYV 8 post ἔσπευδεν verbum τοῦ hab. Y 9 διακατέχων XCYV : κατέχων S 9 post σώματος verba καὶ αἵματος hab. S 10 ὁρᾷ : ὡρᾷ Y 10 εἱστήκησαν Y : ἱστήκησαν XSV : εἰστίκησαν C 10 μεγαλιαῖοι XSV : γαλιλέοι C γαλιλαίοι Y 10 φοβεροὶ : φοβερῷ S 11 αὐτῷ : αὐτοῦ S 12 post σώματος verba καὶ αἵματος hab. S 12 post προσενέγκας verbum αὐτῷ hab. V 12 καὶ (1) om. Y 12 ἐπιδόσας XS : -ώσας CYV 13 παρεστότων XSY : -ώτων CV 14 post μακάριος verbum *Παγκράτιος* hab. V 14 μόνον SCY : μόνος XV 14 αὐτόν : αὐτων, corr. -ὸν Y 15 ἐξῆλθεν - περιστερᾶς] *изыде чистая и честная душа ... аки видъ голубинь* Usp 15 καθαρὰ : μακαρία Y 15 τιμία XSCY : ἁγία V

ἐδέξαντο αὐτὴν οἱ ἄνδρες οἱ περικυκλοῦντες τὴν κλίνην, καὶ ἐγένετο ἄφνω διανοιχθῆναι τὴν στέγην τῆς ἐκκλησίας καὶ ἐξελθεῖν τοὺς ἄνδρας καὶ πάλιν ἀποκαταστῆσαι ὡς ἦν. ἔμεινεν δὲ τὸ τίμιον αὐτοῦ λείψανον ἐν τῇ κλίνῃ. ποιήσας οὖν ὁ μακάριος τὴν εὐχὴν τῆς ἀποθέσεως τῶν δώρων, καὶ ἀπολύσαντες, ἦλθον ἐπὶ τὴν κλίνην, καὶ περικυκλώσαντες τὸ τίμιον λείψανον, ἐθρήνουν καὶ περιεπτύσσοντο αὐτόν. ὁ δὲ μακάριος Παγκράτιος καὶ Βονιφάτιος καθεσθέντες ἐν ἑνὶ τόπῳ ἐθρήνουν, καὶ ἐγένετο πένθος μέγα ἐπὶ πάντας τοὺς ἱερεῖς καὶ συγκλητικούς. ἀναστὰς οὖν ὁ μακάριος καὶ ἐπιβαλὼν τὸ πρόσωπον αὐτοῦ ἐπὶ τὸ στῆθος Νεοφύτου, ἐθρήνει λέγων, "τέκνον μου Νεόφυτε, πῶς ἐχωρίσθης οὕτως τάχιον ἀπὸ τοῦ σοῦ πατρός; πῶς οὐκ ἀπήλαυσεν τῆς σῆς δουλείας ὁ σὸς πατήρ; οἴμμοι, τέκνον μου Νεόφυτε, ποῦ σε ὁράσομαι;" καὶ πάντες ἐθρήνουν οὕτως. ὁ δὲ μακάριος θέλων τὰς ψυχὰς τῶν ἱερέων καὶ τῆς συγκλήτου τοῦ πολλοῦ κλαυθμοῦ καταστεῖλαι· ὅσον γὰρ ἔβλεπον τὸν μακάριον κλαίοντα, τοσούτον καὶ

XS (2 τῆς ἐκκλησίας - 3 ἀποκαταστῆσαι mutil.) CYVO

2 ἄφνω] *напрасно* Usp 2 διανοιχθῆναι V : διανυχθῆναι X διανυγείναι S διανυγῆναι C διανοιγῆναι Y 2 στέγην : θύραν S 2 ἐξελθεῖν V : ἐξῆλθον XCY 2 τοὺς ἄνδρας V : οἱ ἄνδρες XCY 3 ἀποκαταστῆσαι XSV : καταστῆσαι CY 3 post δὲ verbum καὶ hab. XS 3 αὐτοῦ post λείψανον tr. CYV 4 οὖν om. S 4 τὴν om. S 4-5 τῆς ἀποθέσεως τῶν δώρων] *перенесенія Комьканнаго* Usp 5 δώρων CYV : δόρων S ἄρτων X, corr. δώρων X¹ 5 καὶ (1) om. S 5 ἦλθον : ἤλθων S 6 post τίμιον verbum αὐτοῦ hab. S 7 ante Βονιφάτιος verbum ὁ hab. V 7 καὶ (2) om. S 8 πάντας om. S 9 post μακάριος verbum Παγκράτιος hab. V 9 ἐπιβαλὼν CYV : ἐπιλαβὼν X ἐπιλαβόμενος S 10 ante Νεοφύτου verbum τοῦ hab. CYV 10 ἐθρήνει XV : ἐθρίνει S ἐθρήνη CY 10 τέκνον μου bis hab. V 10 - 12 πῶς - Νεόφυτε om. CY propter homoeoteleuton 11 ἐχωρίσθης : ἐχωρίσθεις S 11 οὕτως om. V 11 τάχιον XCY : τάχειον SV 11 ἀπὸ S : ἐκ XCYV 13 ὁράσομαι : ὡράσωμαι S 13 post μακάριος verbum φησίν hab. V 15 καταστεῖλαι C : καταστῆλαι XYV περιστεῖλαι S

αὐτοὶ ἐξήπτοντο τοῦ κλαυθμοῦ, λέγει, "τέκνον μου Νεόφυτε, κύριος ἔδωκέν σε, κύριος ἀφείλατό σε. ἔλθετε, τέκνα μου, τοῦ λοιποῦ παυσώμεθα τοῦ θρηνεῖν καὶ συγκομίσωμεν τὸ λείψανον αὐτοῦ." τότε ποιήσαντες τὴν πρέπουσαν ἀκολουθίαν, κατέθεντο τὸ ἅγιον αὐτοῦ σῶμα, ἄσιτοι διαμείναντες. πάραυτα οὖν ἐπιβάντες τοῖς ἵπποις καὶ ἡμιόνοις, ἅπαντες κατήλθομεν ἐν τῇ πόλει, οὕτως ἑάσας τὰ κατὰ τὰς ἐπαρχίας ἀνορδίνευτα καὶ ἀνενθρονιάστους τινας τῶν ἐκκλησιῶν διὰ τὴν πολλοστὴν θλῖψιν, ἣν ἔσχεν διὰ τὸν διάκονα, ἣν οὔπω κατέσχεν ἡ ἐκκλησία τῆς Ταυρομενιτῶν πόλεως. περιβλεψάμενος δὲ ὁ μακάριος εἰς τὴν σύγκλητον, ἄνδρα ἕτερον χειροτονήσας διάκονα, ἀπέστειλεν εἰς τὴν ἐπαρχίαν, καὶ τούτων τῶν θλίψεων οὕτως ἐπιτελεσθεισῶν, τριῶν ἡμερῶν διελθουσῶν, ὥρα ἦν ὡσεὶ ἑβδόμη τῆς ἡμέρας, καὶ ἐγένετο ἔκστασις ἐπὶ τὸν μακάριον, καὶ ἤκουσεν φωνὴν λέγουσαν πρὸς αὐτόν, "Παγκράτιε." ὁ δὲ φησίν, "ἰδοὺ ἐγώ." <...> "λαβὼν Ἐπαφρόδιτον τὸν διάκονα, χειροτονήσας πρεσβύτερον, ἀπόστειλον ἐν τοῖς μέρεσι

XSCYVO

1 ἐξήπτοντο XYV : ἐξίπτοντο S ἐξήπτον C 1 ante λέγει verbum καὶ hab. S 1 post λέγει verba ὁ ἅγιος hab. XS 2 ἀφείλατό S (cf. supr. 290.12) : προσελάβετο XV προσεκαλέσατό CY 2 μου om. V 2 τοῦ λοιποῦ : λοιπὸν S 3 παυσώμεθα V : -σόμεθα XSCY 3 συγκομίσωμεν XSY : συγκομήσομεν C ἐγκομιάσωμεν V 6 ἅπαντες post ἐπιβάντες tr. V 6 κατήλθομεν XCY : -ωμεν S -αμεν V 8 πολλοστὴν XCY : πολλὴν SV 8 ἣν nos : ἃς XSCYV 8 οὔπω nos : οὐκέτι XSCYV 11 post ἐπαρχίαν verba τῆς ἐκκλησίας hab. V 11 - 12 τριῶν ἡμερῶν διελθουσῶν om. V 12 διελθουσῶν om. S 12 καὶ om. V 13 ante ἔκστασις verbum ὡσεὶ hab. V 13 post μακάριον verbum Παγκράτιον hab. V 14 φησίν XSCY : εἶπεν V 14 ante λαβὼν lacunam statui 14 ante λαβὼν verba ἀναστὰς (ἀναστὰς in marg. hab. C) καὶ hab. CY 15 διάκονα : διάκονον V 15 - 295.1 ἐν τοῖς μέρεσι Τορακινέας] *въ страны Таракыньскые земли* Usp

Τορακινέας τῆς οὔσης σοι γῆς κατὰ μεσημβρίαν, δεδωκὼς αὐτῷ καὶ πάσης ἱερωσύνης τὴν ἀκολουθίαν, καὶ αὐτὸν μονότατον ἀπόστειλον." ὁ δὲ μακάριος ἐκδεξάμενος ἔτι ἀκοῦσαι τὴν λέγουσαν πρὸς αὐτὸν φωνήν, μήπως φαντασία τὸ μηνυόμενον ἦν, πάλιν ἡ αὐτὴ φωνὴ εἶπεν, "εἰπόν σοι, χειροτονήσας αὐτὸν ἀπόλυσον ἐν τοῖς μέρεσι Τορακινέας." ἔτι δὲ ὁ μακάριος τῇ λύπῃ τοῦ Νεοφύτου συνεχόμενος καὶ ὑπονοῶν, μήπως διαβολικὴ πανουργία ἐστιν καὶ συλῆσαι θέλει τὸν μαθητὴν ἀπ' αὐτοῦ, διάρας τὸ ὀπτικὸν τῆς διανοίας εἰς τὸ ὕψος, ἐξεδέχετο τρίτης φωνῆς μήνυσιν. ἡ οὖν ἀψευδὴς φωνὴ ἐπίστωσεν τὸν πιστὸν καὶ φρόνιμον οἰκονόμον. τότε παραλαβὼν τὸν διάκονα Ἐπαφρόδιτον, λέγει πρὸς αὐτόν, "τέκνον, τρίτον ἤκουσταί μοι περὶ σοῦ φωνὴ λέγουσα, ἵνα χειροτονηθῇς πρεσβύτερος καὶ ἀπέλθῃς κατὰ μεσημβρίαν, ὅπου δ' ἂν ὁ κύριος Ἰησοῦς Χριστὸς δείξῃ σοι κατάπαυσιν." ὁ δὲ Ἐπαφρόδιτος ἀκούσας τοὺς λόγους τοῦ μακαρίου, ἔρριψεν ἑαυτὸν εἰς τὸ ἔδαφος, καὶ μετὰ δακρύων ἔλεγεν αὐτῷ, "ὡς κελεύεις, πάτερ, ἀλλ' οὐκ ἐπίσταμαι

XSCYVO

1 *Τορακινέας* V : *Τορακήνεας* XCY *Ταρρακινίας* S 1 *μεσημβρίαν* : *μεσιμβρίας* S 2 *τὴν* om. Y 2 *ἀπόστειλον* V *ἀποστείλας* XSCY 3 post *φωνήν* verbum *εἶπεν* hab. S 4 *ἦν* CY : *ᾗ* X *καὶ* S *εἶ* V 4 *εἶπεν* om. XSCY 5 *ἐν τοῖς μέρεσιν* S : *εἰς τόπον* XCYV 5 *Τορακινέας* CYV : *Τορακηνέας* X *Ταρακινιάς* S, corr. *Τερρακήνας* S^1 7 *πανουργία* CYV : *πανοργία* S *ἐνεργεία* X 7 *αὐτοῦ* emendavi : *ἐμοῦ* XSCYV 7 *θέλει* XSV : *θέλη* CY 8 *τὸ* (2) om. Y 10 *διάκονα* XSC : *διάκονον* YV 10 *Ἐπαφρόδιτον* om. S 11 *τέκνον* om. Y 11 *φωνὴ λέγουσα* V : *φωνὴν λέγουσαν* XSCY 12 *χειροτονηθῇς* XV : *χειροτονισθεὶς* S *χειροτονιθεῖς* C *χειροτονηθεὶς* Y 12 *ἀπέλθῃς* XSV : *ἀνέλθῃς* CY 13 *Χριστὸς* om. V 14 *τοὺς λόγους* SCYV : *τοῦ λόγου* X 14 post *μακαρίου* verbum *Παγκρατίου* hab. V 14 *καὶ* om. Y 15 *ἔλεγεν* : *λέγων* Y 15 *ὡς κελεύεις, πάτερ,* om. XSCY 15 *οὐκ* : *οὐδ'* V

ποίῳ τόπῳ ἀπέλθω." ὁ δὲ μακάριος πρὸς τὸν Ἐπαφρόδιτον ἔφη, "εἶπόν σοι, τέκνον, ὅπου ὁ κύριος δόῃ σοι κατάπαυσιν." τῇ οὖν ἔωθεν, καταστήσας τοὺς ἑαυτοῦ τόμους, χειροτονήσας καὶ ἐπιδόσας αὐτῷ ἅπασαν ἀκολουθίαν, εἶπεν πρός με, "εἰσέλθοι, τέκνον, μετά σου ἐν τῷ εὐκτηρίῳ καὶ ἐπιτελέσῃ τὸν θείον ὕμνον τῆς ἁγίας λειτουργίας." εἰσῆλθεν οὖν καὶ ἐλειτούργησεν ἐνώπιον ἡμῶν, καὶ πληρωθείσης τῆς λειτουργίας, εἰσῆλθεν ὁ μακάριος, καὶ μετέλαβεν αὐτός τε καὶ Ἐπαφρόδιτος καὶ ἐγὼ καὶ Λυκαονίδης· οὐ γὰρ ἀφίστατο ὁ Λυκαονίδης τοῦ μακαρίου, ἑτέρῳ πεπιστευκὼς τὸ ἑαυτοῦ πλοῖον. λέγει οὖν ὁ μακάριος πρὸς Ἐπαφρόδιτον, "ἄπελθε, τέκνον, εἰς τὴν θεόκλητον διακονίαν σου, καὶ ὡς κελεύσει κύριος, τὰ σὰ βραβεύσει, ὡς καλέσας σε." ἀσπασάμενοι οὖν ἀλλήλους, ἐπέβη τῆς ἡμιόνου αὐτοῦ καὶ ἐξῆλθεν. συνεξήλθομεν δὲ ἐγὼ καὶ Λυκαονίδης σὺν Ἐπαφροδίτῳ ἕως τῆς διαβάσεως τοῦ χειμάρρου, καὶ ἀσπασάμενοι ἀλλήλους μετὰ δακρύων, ἀπῆλθεν ὅπου ὁ κύριος αὐτὸν ὡδήγησεν. διηγήσομαι δὲ

XS (3 τόμους - ἐπιδόσας, 13 Λυκαονίδης - 14 διαβάσεως mutil.) CYVO

1 τόπῳ XSCV : τρόπῳ Y 2 δόῃ CYV : δώῃ X δώει S 3 ἑαυτοῦ XSCY : αὐτοὺς V 3 αὐτῷ om. CY 5 ἐπιτελέσῃ nos : ἐπιτελέσει XSCYV 5 ante λειτουργίας verbum θείας hab. Y 7 post μακάριος verbum Παγκράτιος hab. V 10 θεόκλητον om. CY 11 ὡς(1) om. Y 11 κελεύσει XV : κελεύει SCV 12 ἀλλήλους : ἀλλήλων S 13 ἐξῆλθεν : ἐξήλθομεν V 13 συνεξήλθομεν XCY : -ωμεν S -αμεν V 14 ἀλλήλους : ἀλλήλων S 15 ὁ κύριος post αὐτόν tr. S 15 ὅπου ὁ κύριος αὐτὸν ὡδήγησεν | *а.можде Господь веде* Usp 15 ὡδήγησεν XV : ὁδήγησεν S ὁδίγησεν CY 15 διηγήσομαι XSCV : διηγήσομαι, corr. -ωμαι Y 15 δὲ om. V

ἐντεῦθεν <τῶν> ἤδη πληρουμένων, ὧνπερ ἤκουσα παρὰ τοῦ μακαρίου Ἐπαφροδίτου. λέγω ὑμῖν τὸν τρόπον, ὡς παρεγενόμην καὶ κατέμαθον τὰ θαύματα, ἃ ἐποίησεν κύριος ὁ θεὸς δι' αὐτοῦ. μετὰ οὖν τὸ ἐξελθεῖν, ὡς ἔλεγεν ὁ μακάριος, ἦλθεν ἡμέρας μίας ὁδόν, καὶ ἡ ἡμίονος, ὡς ὑπό τινος ὁδηγουμένη, ἦλθεν ἐπὶ ὕδωρ τι, καὶ ἦν χλοηφόρος πόα ἐν τῷ τόπῳ, καὶ στᾶσα, ἔγνω ὁ μακάριος ὅτι καταπαῦσαι ζητεῖ, καὶ κατελθὼν καὶ ἐπιλαβόμενος τῆς καθέδρας, κατήνεγκεν αὐτήν. ἡ οὖν ἡμίονος πλήσασα τὴν ἑαυτῆς κοιλίαν καὶ ῥίψασα ἑαυτὴν εἰς τοὺς πόδας τοῦ μακαρίου, ἐκυλινδεῖτο ἀφυπνώσασα. οὐδεὶς δὲ ἀνθρώπων ἢ θηρίων πέφανται αὐτῷ. διελθούσης δὲ τῆς νυκτὸς καὶ ἐγγισάσης ἡμέρας, ἀναστὰς ὁ μακάριος ἐπέσαξε τὴν ἡμίονον, καὶ ἐπιβὰς ἐπορεύετο. ἦλθεν οὖν κατὰ κεφαλῆς ὑδάτων τινῶν. ἡ οὖν ἡμίονος ἔστη. αὐτὰ οὖν τὰ ὕδατα κατερχόμενα ἐκπορεύονται εἰς χείμαρρον πλησίον τῆς Συρακουσῶν πόλεως, ὃς ὀνομάζεται Κερνήδολος ὑπὸ τῶν σοφιστῶν. καταπαύσας οὖν ὁ

XSCYVO

1 <τῶν> ἤδη nos : ἤδη καὶ XSCYV 1 πληρουμένων CYV : -μενον XS 1 ὧνπερ : ὅνπερ S 4 ὁ μακάριος : τὸν μακάριον V 4 μίας CY : μίαν XSV 5 ὕδωρ τι : τὸ ὕδωρ S 7 καὶ (2) om. V 7 τῆς καθέδρας SCYV : τὴν καθέδραν X 8 κατήνεγκεν : κατένεγκεν V 8 κοιλίαν : κοιλίας X 9 μακαρίου XCYV : Ἐπαφροδίτου S 9 ἐκυλινδεῖτο nos : ἐκυλινδίτω X ἐκυλινδῆτω SV ἐκυλινδοῦτο CY 10 ἀφυπνώσασα XS : ἀφυπνώσα CY ἀφηπνώσα V 12 ἐπέσαξε XCV : ἐπίσαξεν Y ἐπάταξεν S 13 ἡ οὖν : καὶ S 14 post χείμαρρον verbum ὄνομα (ὄνωμα Y) hab. XSCYV 14 πλησίον SCV : πλησίων XY 14 Συρακουσῶν XSCY : Συρακουσίων V 14 ὃς : εἰς S 15 Κερνήδολος S : Κερνίδολος XCY Κερνήδιλος V 15 ante καταπαύσας verbum καὶ hab. CY

μακάριος ὑπὸ τὰ χλοηφόρα ὅλην τὴν νύκτα, τῇ ἕωθεν ἤρξατο πάλιν τῆς ὁδοιπορίας, καὶ πληρώσας τῆς ἡμέρας τὸν δρόμον, ἦλθεν ὅπου ἦν ἡ κατάπαυσις αὐτοῦ. ἡ οὖν ἡμίονος εὑροῦσα τόπον πετρώδη ἕστη, καὶ παρεβιάζετο αὐτὴν ὁ μακάριος ἔτι ἀπελθεῖν. αὕτη δὲ οὐκ ἠνέσχετο, ἀλλ' ἕστη. κατελθὼν δέ, ἔλαβεν τὴν φορβαίαν αὐτῆς, καὶ οὐδὲ οὕτως ἠκολούθησεν. γνοὺς δὲ ὅτι ἐν αὐτῷ τῷ τόπῳ δεῖ αὐτὸν καταμεῖναι, κατενέγκας τὴν καθέδραν ἀπὸ τῆς ἡμιόνου, ἀπέλυσεν αὐτήν. αὐτὸς δὲ ἔμεινεν ἐν τῷ τόπῳ, καὶ διελθούσης τῆς νυκτός, ὅτε ἔφαυσεν ἡ αὐγή, ἦλθεν ἐπιλαβέσθαι τῆς ἡμιόνου. ἡ δὲ ὡς θὴρ ἠγριοῦτο. τότε ἔγνω διὰ τοῦ ζῴου, ὅτι δεῖ αὐτὸν ἐν αὐτῷ τῷ τόπῳ καταμένειν, ὡς ὑπὸ θεοῦ εἰς αὐτὸν ὁδηγηθείς. ἦν δὲ ὁ τόπος πετρώδης. καθεσθεὶς οὖν ἐν ἑνὶ τῶν πλακωμάτων καὶ ἐξενέγκας τὸ ἅγιον εὐαγγέλιον, ὅπερ ἦν δόσας αὐτῷ ὁ μακάριος, μᾶλλον δὲ ὁ ἦν δεξάμενος ὑπὸ τοῦ ἀγγέλου πρὶν ἢ ἡμᾶς κατελθεῖν κηρύξαι τὸν λόγον τοῦ θεοῦ, ἀνεγίνωσκεν. ἦν δὲ Μελάμφορος τοπάρχης τῶν ἐκεῖσε παρόντων χωρίων. ὡς δὲ ἐκαθέζετο

XSCYVO

1 τῇ ἕωθεν : τὴν ἑωθηνὴν V 2 - 3 καὶ πληρώσας - αὐτοῦ om. S 2 τῆς CYV : τὰς corr. τῆς X 4 ἠνέσχετο : ἐνέσχετο X 5 δέ om. V 5 φορβαίαν X : φορβέαν SCYV, fort. recte 5 οὐδὲ XCY : οὐδ' V, om. S 6 δεῖ : δὴ CY 6 post καταμεῖναι verbum καὶ hab. CY 8 ἔμεινεν XS : ἐνέμεινεν C ἐνέμειν YV 9 post δὲ verbum αὐτὴ hab. V 9 ἠγριοῦτο XV : ἠγριούτω SCY 10 δεῖ : δὴ CY 10 τῷ τόπῳ om. XSV 10 - 11 εἰς αὐτὸν : ὑπ' αὐτὸν Y 12 δόσας CYV : δώσας XS 13 post μακάριος verbum Παγκράτιος hab. V 13 τοῦ om. V 13 πρὶν ἢ S : πρινὶ X πρὶν CYV 14 κατελθεῖν XSV : ἐλθεῖν CY 14 post κατελθεῖν verbum και hab. S 14 post θεοῦ verbum καὶ hab. C 14 post ἀνεγίνωσκεν verba ἦν δὲ μάλλον φορῶν καὶ τὴν ἱερὰν στολὴν αὐτοῦ hab. CY 15 Μελάμφορος XSV : Μελάμφωρ CY 15 παρόντων om. V

ὁ μακάριος ἀναγινώσκων τὸ ἄχραντον καὶ ἅγιον εὐαγγέλιον καὶ ἣν πήξας καὶ τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν ἐνώπιον αὐτοῦ, γυνή τις πρώτη ἐθεάσατο τὸν μακάριον οὕτως. γεηπόνος ἦν ὁ ἀνὴρ αὐτῆς, ἔχων θεριστὰς ἐν τῷ τόπῳ τῷ ἐπιλεγομένῳ Κλοζόνοις. ἦν δὲ ἐπιβιβάσασα ἐπὶ τὸν οἶνον αὐτῆς, ἐψητὰ καὶ ἄρτους καὶ οἶνον κομίζουσα εἰς τοὺς δρεπανιστάς. ὡς οὖν ἑώρακεν τὸν Ἐπαφρόδιτον, ἔστη ἀποβλέπουσα, καὶ μηδένα λόγον ἀποφθεγγομένη, μόνον ἐξίστατο καὶ ἵστατο. ὁ οὖν Ἐπαφρόδιτος οὐδὲ κἂν λόγον, οὐδὲ ὀφθαλμὸν πρὸς αὐτὴν ἐκίνησεν. ἦν δὲ ἡ γυνὴ νουνεχῶς τῇ ἀναγνώσει προσέχουσα. ὡς δὲ εἶδεν ὁ Ἐπαφρόδιτος τῆς γυναικὸς τὸ σταθερόν, λέγει πρὸς αὐτήν, "γύναι, τί στήκεις; τί δὲ καὶ ἀποβλέπεις;" ἡ δὲ πρὸς αὐτόν, "ὅτι εἶδον ἐν σοὶ ἅπερ ποτὲ οὐχ ἑώρακα· φῶς γὰρ ὁρῶ ἐν ὁμοιώματι πυρίνης ἀστραπῆς ἐνώπιόν σου ἱστάμενον καὶ ἐν ταῖς χερσίν σου διακατεχόμενον." ἦν δὲ ταῦτα, ἅπερ βλέπειν ἔλεγεν ἡ γυνή, ὁ σταυρὸς καὶ τὸ εὐαγγέλιον. λέγει δὲ πρὸς αὐτόν, "θεὸς εἶ, ἢ ἄνθρωπος, ὁ ταῦτα ἐνώπιόν σου

>1 ονον

XS (3 πρώτη - οὕτως, 12 πυρίνης - 13 σου mutil.) CYVO

1 ἀναγινώσκων om. V 1 ἄχραντον (corr. -ων Y) καὶ ἅγιον CY : ἄχραντον XS ἅγιον V 2 καὶ (1) om. V 3 οὕτως : οὗτος C 4 τῷ (2) XS : οὕτως C οὕτω YV 4 ἐπιλεγομένῳ XCYV : λεγομένῳ S 4 Κλοζόνοις XSCY : Κλοζώνοις V 4 ἐπιβιβάσασα V : ἐπιβηβάσασα XSCY 5 ἐψητὰ] вареники Usp 6 δρεπανιστάς XCYV : θεριστάς S 7 ἀποφθεγγομένη XV : ἀποφθεγξαμένης S : φθεγγομένη CY 8 - 9 ἦν δὲ ἡ γύνη om. XSCY, fort. recte 9 προσέχουσα XV : κατέχουσα S προσέχουσαν C προσέχων Y, fort. recte 9 εἶδεν V : ἴδεν XSCY 10 τῆς γυναικὸς post σταθερόν tr. S 10 σταθερόν XCY : σταθηρόν SV, fort. recte 11 καὶ om. Y 11 ἀποβλέπεις V : ἀποβλέπης CY ἀποβλέπει XS 11 εἶδον nos : ἴδον XSYV ἴδων C 13 καὶ ἐν - διακατεχόμενον om. XSCY 14 ante ἔλεγεν verbum ὡς hab. S 14 ante εὐαγγέλιον verbum ἅγιον hab. S 15 δὲ XSC : οὖν V, om. Y

διακατέχων;" ὁ δὲ Ἐπαφρόδιτος πρὸς αὐτήν, "ἄκουσον, γύναι, ταῦτα θεοῦ ἰσχυροῦ εἰσίν, τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς, ὃς καὶ τὸν ἄνθρωπον ἐπλαστούργησεν οἰκείαις χερσίν. τοῦτο μέν ἐστιν τρόπαιον ἀήττητον κατὰ δαιμόνων, τοῦτο δὲ λόγοι ἐγγεγραμμένοι αὐτοῦ τοῦ θεοῦ εἰσίν." ἡ δὲ πάλιν πρὸς αὐτόν, "θεὸς εἶ;" ὁ δὲ Ἐπαφρόδιτος, "οὐκ εἰμί." ἡ δὲ πρὸς αὐτόν, "καὶ τίς εἶ;" ὁ δὲ πρὸς αὐτήν, "εἶπόν σοι, ὦ γύναι, ἄνθρωπος εἰμί, ὡς καὶ ὑμεῖς, ἐξ αἵματος καὶ φλέγματος καὶ χυμοῦ καὶ χολῆς συγκεκερασμένος ἔνδοθεν, καὶ ὀστέοις καὶ νεύροις καὶ σαρκὶ καὶ δορᾷ ἠμφιεσμένος, ἐσθίων καὶ πίνων, ὡς καὶ ὑμεῖς πάντες. εἰ δὲ προσαπιστεῖς μοι, ἐπίδος μοι ἐκ τοῦ ἄρτου σου καὶ ἐκ τοῦ ἐψητοῦ καὶ οἴνου, καὶ φάγομαι καὶ πίομαι ἐνώπιόν σου·" ἦν γὰρ ἐκ τῆς ὁδοιπορίας λειποθυμήσας καὶ ἐκ τῆς ἀσιτίας, ὡς οὐκ ἦν βεβρωκώς. ἡ δὲ τάχιστα ἐπέδωκεν αὐτῷ, καὶ λαβὼν τροφὴν ἐνίσχυσεν. ταύτην τὴν γυναῖκα ἑτέραν Σαμαρίτην ἀνιστορῶν τίς οὐχ ἁμαρτήσει; λέγει οὖν ἡ γυνὴ πρὸς

XSCYVO

15. cf. Jn. 4:7f.

1 ante *γύναι* verbum *ὦ* hab. V 2 post *γῆν* verbum *καὶ* hab. XC 4 *ἀήττητον* om. S 5 *αὐτοῦ τοῦ θεοῦ εἰσίν* XV : *εἰσὶν τοῦ θεοῦ* S *τοῦ θεοῦ εἰσίν* CY 6 - 7 *οὐκ εἰμί - αὐτήν* om. Y 7 *εἶπον* : *εἶπων* S 8 post *ὑμεῖς* verbum *πάντες* hab. CY 8 - 9 *καὶ φλέγματος καὶ χυμοῦ καὶ χολῆς*] *и глъна и слуза и кручины* Usp 10 *δορᾷ* SV : *δωρᾷ* XCY 10 *ὡς καὶ ὑμεῖς πάντες* om. V 11 *προσαπιστεῖς* nos : *προσαπιστής* XCY *ἀπιστίς* S *καὶ ἀπιστείς* V 11 *μοι* (1) : *μου* S 11 *ἐψητοῦ* : *ἐψήματος* V 12 post *γὰρ* verbum *καὶ* hab. CYV 13 *λειποθυμήσας* V : *λειποθυμιάσας* X *λυποθυμίσας* S *λυποθυμήσας* C *λοιποθυμήσας* Y 13 *οὐκ ἦν* XSCY : *οὐ* V 14 *ἐπέδωκεν* XCY *ἀπέδωκεν* S *ἔδωκεν* V 14 *τροφὴν* XCYV : *τροφῆς* S 15 *Σαμαρίτην* nos : *Σωμονίτην* X *Σομονίτην* S *Σωμανίτην* CYV

τὸν μακάριον, "καθοῦ δὴ ἐνταῦθα, καὶ ἀπέλθω ἐγώ, τίμιε ἄνερ, καὶ ἀναγγελῶ τῷ ἀνδρί μου περί σου, κἀκεῖνος αὐτάρκειαν ἄρτου καὶ οἴνου ἔχει, καὶ λαμβάνομέν σε τοῦ εἶναι μεθ' ἡμῶν." λαβοῦσα οὖν ἡ γυνὴ τὸν ὄνον, ἀπῆλθεν ἐν σπουδῇ. ὁ δὲ ἀνὴρ αὐτῆς προσαπαντήσας ἐνεβριμήσατο αὐτῇ λέγων, "πῶς, ὦ γύναι, οὐκ ἐτάχυνας τοῦ κομίσαι τῶν ἀνδρῶν τὴν ἀπόλαυσιν; ἀλλ' ἤδη βεβράδυκας καὶ ἄσιτοι διαμείναντες παρελύθησαν καὶ ὁ ἀγρὸς οὗτος ἀκάματος διέμεινεν." ἡ δὲ πρὸς τὸν ἴδιον ἄνδρα, "μηδαμῶς, κύριέ μου ἄνερ, ὀργίζου τῇ δούλῃ σου· ἀναγγελῶ γάρ σοι, ἃ ἐθεασάμην παράδοξα, ἅπερ ποτὲ οὐκ εἶδον, καὶ χάριν τούτου οὐκ ἐτάχυνα." ὁ δὲ ἀνήρ, καταπαύσας μικρόν, φησὶν πρὸς αὐτὴν ἐκ πικρίας ψυχῆς αὐτοῦ, "εἰπέ, ὦ γύναι, τί ἐθεάσω;" ἡ δὲ φησίν, "κύριε ἄνερ, εἶδον ἄνδρα μεγαλιαῖον, οἷον ποτὲ οὐχ ἑώρακα, καὶ ἐνώπιον αὐτοῦ ὡς ἀστραπῆς στῦλον καὶ ἐν ταῖς ἀγκάλαις αὐτοῦ πῦρ κατέχει, καὶ ἐκ τοῦ πυρὸς ἐκείνου λόγους λέγει, οὓς ποτὲ οὐκ ἠκούσαμεν." ἀκούσας δὲ ταῦτα ὁ ἀνὴρ παρὰ τῆς γυναικὸς εἶπεν, "καὶ

XSCYVO

2 ἀναγγελῶ XCV : ἀναγγείλω SY 2 ἀνδρὶ : πατρὶ V 3 λαμβάνομέν CY : λάβομέν XSV, fort. λάβωμέν emendandum 3 τοῦ : τὸ S 3 λαβοῦσα οὖν XCYV : καὶ λαβοῦσα S 3 τὸν X : τὴν SCYV 5 ἐνεβριμήσατο CYV : -ήσατω X -ίσατο S 5 αὐτῇ : αὐτὴν V 5 κομίσαι V : κομῆσαι XSCY 6 βεβράδυκας XSCY : βεβραδύνικας V 7 οὗτος XCYV : οὕτως S 9 εἶδον XCY : ἴδων S ἴδον V 10 τούτου : τοῦτο S 11 - 12 ἐκ πικρίας - φησίν om. CY 11 ὦ om. S 12 εἶδον C : ἴδον XSYV 12 μεγαλιαῖον CYV : μεγαλαῖον XS 13 στῦλον XSCY : στῦλος V 14 οὓς : οἵους S 15 ἠκούσαμεν XSCY : ἀκηκόαμεν V 15 καὶ om. V

ποῦ ἐστιν, ὦ γύναι, οὗτος;" ἡ δέ, "ἐν τῷ πλακώματι Μελαμφόρου πλησίον τοῦ χειμάρρου." ὁ δὲ ἐπιδεδωκὼς τοῖς δρεπανισταῖς τὸν ἄριστον, καὶ ἐάσας τὴν ἑαυτοῦ γυναῖκα ὑπηρετῆσαι τοῖς θερισταῖς, ἀπῆλθεν ἐν τῷ τόπῳ, ὅπου ἦν ὁ Ἐπαφρόδιτος. ἦν δὲ καθεζόμενος ὁ μακάριος ἐπάνω τοῦ πλακώματος. ὡς δὲ ἦλθεν ἄχρι λίθου βολήν, καὶ ἰδὼν τὴν δόξαν τοῦ θεοῦ ἐπισκιάσασαν ἐπ' αὐτόν, ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ. ἔτι οὖν προσεγγίσας ὀλίγον, ἔπεσεν πάλιν. ὁ δὲ μακάριος Ἐπαφρόδιτος πρὸς αὐτόν, "ἐλθέ, ἄνερ, ἐλθέ, προσέγγισόν μοι." ὁ δὲ ἀκούσας τὴν φωνὴν τοῦ πρεσβυτέρου, ἦλθεν φόβῳ πολλῷ συνεχόμενος· ἦν γὰρ καὶ μόνου ἐκείνου τοῦ ἀνδρὸς ἡ διάβασις, αὕτη ὡς ἐξεπορεύετο ἐκ τοῦ οἴκου αὐτοῦ, καὶ λέγει ὁ ἀνὴρ πρὸς αὐτόν, "τίς εἶ, τίμιε;" ὁ δὲ φησίν, "ἄνθρωπος εἰμί." ὁ δὲ φησίν, "τίμιε, ποτὲ τοιαύτης εἰδέας ἄνθρωπον οὐχ ἑωράκαμεν. ἁπάσης ἀληθείας χρησάμενος, εἰπέ μοι, τίς ὑπάρχεις, θεὸς ἢ ἄνθρωπος; μὴ καὶ θεὸς ἐκ τῶν θεῶν ἡμῶν ὑπάρχεις, τῇ δὲ ἐμῇ ταπεινώσει ἠθέλησας ἑαυτὸν ἐμφανίσαι τοιαύτῃ

XS (11 *τίς* - 12 *τίμιε* mutil.) CYVO

1 *ἐστιν* om. V 3 *ἄριστον* XSV : *ἄρτον* CY 3 *ὑπηρετῆσαι* XCYV : *ὑπηρετείσθαι* S 3 *τοῖς θερισταῖς* XSV : *αὐτοῖς* CY 4 *τῷ* om. S 4 - 5 *ὁ μακάριος* ante *καθεζόμενος* tr. V 5 *βολήν* XSV : *βολή* CY, fort. *βολῆς* emendandum 6 *ἰδὼν* XCYV : *ἥδον* S 6 *τοῦ θεοῦ* om. CY 6 *αὐτόν* SV : *αὐτῷ* XCY 7 *προσεγγίσας* XSCV : *ἐγγίσας* Y 7 *πάλιν* ante *ἔπεσεν* tr. Y 8 *αὐτόν* : *αὐτῷ* S 8 post *ἐλθέ* (2) verbum *καὶ* hab. V 10 *ἐκείνου τοῦ* om. S 10 *ἐκείνου* post *ἀνδρὸς* tr. Y 10 *διάβασις* XSCY : *πάροδος* V 10 - 11 *αὕτη ὡς* (*ὅς* V, correxi) *ἐξεπορεύετο ἐκ τοῦ οἴκου αὐτοῦ* V, om. XSCY 13 *οὐχ* om. CY 13 *ἁπάσης* XSCY : *μετὰ πάσης* V 14 *ὑπάρχεις* XSCY : *ὑπάρχης* V 14 *ἢ* XYV : *εἰ* SC 15 *τῇ δὲ* : *καὶ τῇ* S 15 *ἐμφανίσαι* V : *ἐμφανῆσαι* XSCY 15 ante *τοιαύτῃ* verbum *ἐν* hab. V

μορφῇ;" ὁ δὲ πρεσβύτερος Ἐπαφρόδιτος πρὸς τὸν ἄνδρα ἔφη, "ἄκουσον, ἄνερ, καὶ πᾶσαν ἀλήθειαν ἐρῶ σοι. οὐκ ἤκουσταί ὑμῖν ποτὲ ἐν τῷ τόπῳ τούτῳ περὶ Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ τοῦ θεοῦ;" καὶ ὁ ἀνήρ, ὡς ἤκουσεν Χριστὸν Ἰησοῦν υἱὸν θεοῦ λελαληκότα τὸν μακάριον, διηνοίχθη ἡ καρδία αὐτοῦ καὶ σὺν τῷ λόγῳ ἐφωτίσθη, καὶ φησὶν πρὸς αὐτόν, "ναί, ἀληθῶς ἠκούσαμεν ὅτι ἐτέχθη ἐκ παρθένου διὰ λόγου ἀγγέλου ἐκ πνεύματος ἁγίου, καὶ ἡ παρθένος πάλιν παρθένος ἔμεινε καὶ μετὰ τόκον, καὶ ὅτι ἐβαπτίσθη καὶ πολλὰ θαύματα ἐποίησεν, καὶ ἀνελήφθη εἰς τοὺς οὐρανούς, καὶ ἀπέστειλεν μαθητὰς εἰς τὸν κόσμον ἅπαντα κηρύξαι τὸν λόγον αὐτοῦ εἰς πάντα τὰ ἔθνη. ἠκούσαμεν δὲ ὅτι καὶ ἐν Συρακούσῃ ἦλθέν τις ἐκ τῶν μαθητῶν αὐτοῦ καὶ εὐαγγελίζεται αὐτόν. πολλάκις δὲ ἠθελήσαμεν καὶ ἡμεῖς ταῦτα καταμαθεῖν, ἀπελθόντες ἐν τῇ πόλει τὰς χρείας τῶν ἐν ἡμῖν ὄντων θέλοντες ποιεῖσθαι, καὶ οὐκ ἠδυνήθημεν. εἰ δὲ εἷς ἐξ αὐτῶν ὑπάρχεις, λέγε ἡμῖν καὶ ἀκουσόμεθα σου." ὁ δὲ Ἐπαφρόδιτος ἀνοίξας τὸ στόμα

XSCYVO

1 πρεσβύτερος om. S 2 καὶ πᾶσαν bis hab. S 3 ante περὶ verbum τὰ hab. V 3 ὁ om. S 6 ἠκούσαμεν XSV : ἐπέγνωσα C ἐπέγνωσθαι Y 7 καὶ om. S 7 ἔμεινεν XSCY : διέμεινεν V 8 ἐποίησεν XSCY : πεποίηκεν V 12 post καταμαθεῖν verbum καὶ hab. Y 14 ποιεῖσθαι CV : ποιῆσθαι XY ποιῆσαι S 14 ἠδυνήθημεν : ἐδυνήθημεν S 14 εἷς YV : ἧς XSC, fort. recte (ᾗς) 14 ὑπάρχεις om. XSCY, fort. recte 15 ἀκουσόμεθα XCYV : -σώμεθα S

εὐηγγελίσατο αὐτῷ τὸν Χριστόν. πιστεύσας οὖν, λέγει πρὸς αὐτόν, "βάπτισόν με, παρακαλῶ, ἀπόστολε Χριστοῦ." ὁ δὲ Ἐπαφρόδιτος, "ἄμφια καινὰ ἐνέγκας, ὕδωρ τοῦ χειμάρρου πάρεστιν. διδῶ σοι τὴν χάριν τοῦ ἁγίου πνεύματος." ὁ δὲ ἀνὴρ δρομαίως ἀπελθών, ἦλθεν ἐπί τινα γραῦν λινυφαρέαν, ἧς ὑπῆρχον θυγατέρες καὶ ἐγγόναι ἑπτά, καὶ λαβὼν τὰς καινὰς στολάς, ἦλθεν πρὸς τὸν μακάριον Ἐπαφρόδιτον διακατέχων τὰ καινὰ ἄμφια. ἀναστὰς οὖν καὶ κατελθὼν ἐν τῷ χειμάρρῳ, ἔπηξε τὸν σταυρὸν καὶ τὴν εἰκόνα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἔμπροσθεν τοῦ ὕδατος· ἐγὼ γὰρ Εὐάγριος πελέκει, τὸ ξύλον εὑρών, ἐποίησα τὴν εἰκόνα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εἰς αὐτὸ ὀρθόστατον κατὰ κέλευσιν Παγκρατίου. ἦν δὲ τὸ ξύλον ὡσεὶ μίας ἥμισυ πήχης τὸ μῆκος καὶ πλάτος αὐτοῦ ὡσεὶ σπιθαμῆς καὶ ἀνάγοντα χειρός. τὸ δὲ ξύλον ἦν κυπάρισσος. ὡς δὲ ἔστη καὶ ἠγίασεν καὶ κατῆλθεν ὁ ἀνὴρ ἐν τῷ ὕδατι καὶ ἐβαπτίσθη, ἀνῆλθε λέγων ὅτι, "πῦρ με περιήστραψεν." τοῦτο δὲ ἦν ἡ χάρις τοῦ ἁγίου πνεύματος. ἠρώτησεν

XSCYVO Nic (6 λαβὼν - 305.4 μου)

1 εὐηγγελίσατο SYV : -ήσατω X -ήσατο C 1 ante Χριστόν verba κύριον Ἰησοῦν hab. S 2 ante Χριστοῦ verbum τοῦ hab. V 3 ἐνέγκας : ἐξενέγκας S 3 καινὰ : κενὰ S, hic et alibi 3 πάρεστιν SCYV : πάρεστην X 4 ἀπελθών XSCY : ἐξελθών V 5 γραῦν XYV : γραῦ SC 5 post ἧς verbum δὲ hab. C 5 ἐγγόναι V : ἔκγονες X ἔγγονες SCY 6 post λαβὼν verba ὁ κατηχηθεὶς add. Nic 6 Ἐπαφρόδιτον om. S 8 τὴν εἰκόνα τοῦ κυρίου : τὸν κύριον Nic 11 - 12 ὡσεὶ μίας ἥμισυ πήχης τὸ μῆκος : μῆκος ὡς ἥμισυ πήχεως Nic 12 πήχης V : πηχῶς X πῆχος SCY 12 τὸ μῆκος om. XSCY 12 σπιθαμῆς : σπιθαμὴν Nic 13 post ἦν verba τῷ γένει hab. Nic 14 ἐβαπτίσθη : βαπτισθεὶς Nic 15 τοῦτο δὲ - πνεύματος : ὡς ἦν δὲ κατελθών, τὸ ἅγιον πνεῦμα τοῦτο ἦν ἑωρακώς Nic

οὖν τὸν Ἐπαφρόδιτον, "τίνος ἐστιν, κύριέ μου ἀπόστολε, ἡ φαιδρὰ εἰκὼν ταύτη;" ὁ δὲ πρεσβύτερος πρὸς αὐτόν, "τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐστιν," καὶ ἔλεγεν ὁ ἀνὴρ πρὸς τὸν Ἐπαφρόδιτον ὅτι, "εἶδον τὴν εἰκόνα ταύτην ἁπλώσασαν τὴν χείρα αὐτῆς καὶ ἁψαμένην μου." ἐφόρεσεν δὲ τὰ ἄμφια τοῦ βαπτισμάτος καὶ λέγει Ἐπαφρόδιτῳ, "τιμιώτατε, ἀπέλθω, εἰ κελεύεις, εἰς τοὺς ἐργάτας μου." ὁ δὲ πρὸς αὐτόν, "ἄπελθε, τέκνον·" ἤθελεν γὰρ ἀπελθεῖν καὶ τὰ τοῦ θεοῦ μυστήρια τοῖς δρεπανισταῖς ἐκδιηγήσασθαι, καὶ διὰ τοῦτο οὐκ ἐκώλυσεν αὐτὸν ὁ τοῦ θεοῦ ἱερεύς. ἀπῆλθεν οὖν ὁ ἀνὴρ φορῶν τὰ ἄμφια τοῦ βαπτίσματος εἰς τοὺς ἐργάτας αὐτοῦ. ὁ δὲ Ἐπαφρόδιτος ἀνελθὼν ἐκάθισεν ἐν τῷ πλακώματι. οἱ οὖν ἄνδρες, ὡς ἑώρακαν τὸν νεοφώτιστον ἀπὸ μακρόθεν ἐρχόμενον, ἐδόκουν πῦρ θεωρεῖν. ὡς δὲ ἤγγισεν πρὸς αὐτούς, ἀφέντες τὸν ἄμητον ἔφυγον. ὁ δὲ δρομαίως ἀπίει ὄπισθεν αὐτῶν κράζων, "μὴ φοβεῖσθε, ἄνθρωποι, ἐγὼ εἰμί." κατανοήσασα δὲ καὶ ἡ γυνὴ τὸ τοῦ πυρὸς θέαμα, ὃ ἦν θεασαμένη

XS (1 μου - 2 ταύτη, 12 νεοφώτιστον - μακρόθεν mutil.) CYVO Nic (usque ad 4 μου)

1 οὖν : δὲ Nic 2 ταύτη XCYV Nic(C) : αὕτη Nic(P) 2 δὲ om. Nic 3 καὶ ἔλεγεν XCYV : ἔλεγεν δὲ S καὶ ὡς ἔλεγεν Nic 3 εἶδον XCY Nic : ἴδον SV 4 ταύτην om. CY 4 ἁπλώσασαν XCV Nic : ἁπλώσασα S ἁπλῶσαντα Y 4 τὴν χείρα XV Nic : τὰς χείρας SCY 4 ἁψαμένην : ἁψαμένης S 5 ante Ἐπαφροδίτῳ verbum τῷ hab. Y 7 τοῦ θεοῦ post μυστήρια tr. CY 8 τοῖς δρεπανισταῖς post ἐκδιηγήσασθαι tr. S 9 ἀπῆλθεν CYV : ἀπελθὼν XS 9 φορῶν post ἄμφια tr. S 11 ἐκάθισεν XCV : ἐκάθησεν SY 13 ἀπίει CY : ἀπείη XSV 14 ante ἄνθρωποι verbum ὦ hab. XSCY 15 τοῦ om. V

ἐνώπιον τοῦ Ἐπαφροδίτου καὶ τὴν φωνὴν τοῦ ἰδίου ἀνδρός, ἔλεγεν καὶ αὐτὴ τοῖς δρεπανισταῖς, "ὁ ἀνήρ μου ἐστίν· μὴ φοβεῖσθε. ἴδωμεν τί συνέβη αὐτῷ, τίς ἡ μορφή, ἥνπερ ἤλλαξεν, ἐπειδὴ ἡ μὲν φωνὴ τοῦ ἀνδρός μου ἐστίν, ἡ δὲ μορφὴ ξένη·" ἦν γὰρ ἡ χάρις τοῦ ἁγίου πνεύματος περικυκλοῦσα αὐτόν, καὶ ὡς ἀστραπὴ οὕτως διέλαμπεν. σταθέντες οὖν οἱ ἄνδρες καὶ προσεγγίσαντες, εἶπον πρὸς αὐτόν, "τίς εἶ, ὦ ἄνθρωπε, εἰπὲ ἡμῖν· τὴν γὰρ φωνήν σου γνωρίζομεν, τὴν δὲ μορφήν σου κατανοῆσαι οὐ δυνάμεθα. εἰ σὺ εἶ, τίς ὁ περιθήσας σοι τοιαύτην μορφήν, ἔνδοξον καὶ φοβεράν;" εἶπεν δὲ πρὸς αὐτούς, "ἄνδρες, οὐχὶ ἐγὼ ἐμισθωσάμην ὑμᾶς ἐν τῷ ἐμῷ ἀμήτῳ;" οἱ δέ, "ναί." "καὶ οὐχὶ ἐγὼ μεθ' ὑμῶν κατῆλθον διὰ τοῦ χειμάρρου;" οἱ δέ, "οὕτως." "οὐχί, μέχρις ὅτου ἡ γυνή μου ἦλθεν, μεθ' ὑμῶν ἦμην;" οἱ δέ, "ναί." "οὐ γνωρίζετε δὲ ὅτι διὰ τὸ μὴ ταχύναι τὴν γυναῖκά μου πρὸς ὑμᾶς ἐνεβριμησάμην αὐτῇ;" οἱ δέ, "ἀκουστέον." "ὅτε δὲ ἀπήλθομεν καὶ λελαλήκαμεν ὁμοῦ, ἐγώ τε κἀκείνη, ἐπίστασθε;" ὁ δὲ ἄνδρες, "ἐπιστάμεθα ταῦτα πάντα,

XSCYVO

2 δρεπανισταῖς XSCY : ἄνδρασιν V 2 ἴδωμεν SCYV : -ομεν X 4 μου om. V 4 ἐστίν XSCY : ἦν V 5 ὡς ἀστραπὴ οὕτως διέλαμπεν] *аки молнія, тако свѣтился* Usp 6 εἶπον : εἴπων S 7 γνωρίζομεν XCV : -ωμεν SY 7 δὲ : γὰρ S 8 τοιαύτην om. V 12 ἦλθεν XSCY : ἦκεν V 12 ἦμην XCV : ἦμιν SY 12 γνωρίζετε V : -εται XSCY 13 πρὸς ὑμᾶς XS : πρὸς ἡμᾶς CY, om. V 14 αὐτῇ XCV : αὐτήν SY 14 ἀκουστέον V : ἀκουσταίον XSCY 14 ἀπήλθομεν nos : ἀπήλθαμεν XSCYV 15 κἀκείνη : κἀκείνοι Y 15 ἐπίστασθε C : -ασθαι XSYV

τὴν δὲ μορφήν, ἥνπερ ἧς ἠμφιεσμένος, οὐκ ἐπιστάμεθα· σφόδρα γὰρ ἐκπλήττειs ἡμᾶs." ἀρξάμενος δὲ ὁ ἀνήρ, εἶπεν πρὸς τοὺς ἐργάτας, "ἀκούσατε, ἄνδρες γεηπόνοι, τὸ παράδοξον θέαμα, ὅπερ ἑώρακα καὶ πέπεισμαι ὑπάρχειν ἀγαθόν. ὡς ἦλθεν ἡ γυνή μου κομίσαι ἡμῖν τὸν ἄριστον καὶ διεπέρασεν τὸν χείμαρρον καὶ ἦλθεν ἐν τῷ πλακώματι τοῦ Μελαμφόρου τοπάρχου, ἑώρακεν ἄνδρα πλήρη χάριτος καὶ πνεύματος ἁγίου, καὶ ἔκθαμβος γεναμένη, οὐκ ἠδυνήθη ἀντιπαρελθεῖν. τολμήσασα δὲ ἠρώτησεν αὐτόν, 'τίς εἶ'. ὁ δὲ φησίν, 'ἄνθρωπός εἰμι.' ἡ δὲ ἅπερ εἶδεν, λελάληκεν πρός με, καὶ ἀπελθὼν εἶδον κἀγώ· καὶ γὰρ ἡ αὐτὴ λέγει ὅτι, 'καὶ ἄρτον καὶ οἶνον καὶ ἐψητὸν ἐπέδωκα αὐτῷ.'" καὶ οἱ ἄνδρες πρὸς τὴν γυναῖκα, "οὕτως ἔχοιεν, γύναι;" ἡ δέ, "οὕτως." ὁ δὲ ἀνὴρ ἤρξατο καὶ αὐτὸς λέγειν, ἅπερ ἦν θεασάμενος, καὶ φησὶν πρὸς τοὺς ἄνδρας, "ἄνδρες, εὗρον ἐγὼ οὕτως τὸν φοβερὸν ὅλον ὡς πῦρ μοι φανέντα καὶ καθήμενον ἐν τῷ πλακώματι, καὶ ἰδὼν αὐτὸν ἔπεσον ἔποψιν αὐτοῦ. ὁ δὲ ἀνὴρ πρός με, 'ἐλθέ, ἄνθρωπε, καὶ ἔγγισόν μοι. μὴ

XSCYVO

1 μορφήν : μόρφωσιν V 1 ἥνπερ : ἣν S 1 ἧς XSC: εἷς Y, om. V 1 post ἠμφιεσμένος verbum εἶ hab. V 3 ἀκούσατε : ἀκούσαταί μου S 4 κομίσαι XV : κομῆσαι SCY 5 ἄριστον XSV : ἄρτον CY 5 τοῦ om. V 6 ἑώρακεν CYV : ἑώρακα X ἑόρακα S 6 πλήρη nos : πλήρης XS πλήρις CYV 7 γεναμένη : -ομένη C 7 ἀντιπαρελθεῖν SCV : ἀντειπαρελθεῖν X ἀντιπερελθεῖν Y 8 τολμήσασα : τολμήσα S 9 ἅπερ : ἄσπερ V 9 εἶδεν XCY : ἴδεν SV 9 πρός με : ἡμῖν S 9 εἶδον X : ἴδων S εἶδων CY ἴδον V 9 ἡ : καὶ S 10 ἐψητὸν XV : ἐψιτὸν S ἔψημον CY 10 ἐπέδωκα S : ἐπέδωκεν XC, fort. recte ἔδωκεν Y ἐπιδέδωκα V 11 ἔχοιεν XS : ἔχει CY ἔχοι V 12 καὶ (ν) om. XCYV 14 ἔπεσον XSCY (post αὐτοῦ tr. CY) : ἔπεσα V 15 αὐτοῦ emendavi : μου XSCYV 15 ἐλθέ post ἀνὴρ tr. XSCY, fort. recte 15 ante ἄνθρωπε verbum ὦ hab. V

φοβηθῇς με· κἀγὼ γὰρ ἄνθρωπος εἰμί, ὥσπερ καὶ σύ, αἵματι καὶ φλέγματι καὶ χυμῷ καὶ χολῇ συγκεκερασμένος ἔνδοθεν, καὶ ὀστέοις καὶ νεύροις, σαρκί τε καὶ δέρματι ἠμφιεσμένος.' ὡς δὲ ἤκουσα αὐτοῦ εἰρηκότος τὴν ἀνθρωπίαν κατασκευήν, προσῆλθον αὐτῷ, καὶ αὐτὸς εὐηγγελίσατό μοι τὸν Χριστόν, κἀγὼ ἀναμφιβόλως πεισθείς, ἐβαπτίσθην. ὡς δὲ κατῆλθον ἐν τῷ ὕδατι, εἶδον φοβερὸν πῦρ εἰς τὸ ὕδωρ. εἱστήκει δὲ ἔμπροσθεν τοῦ ὕδατος ὡσεὶ στῦλος πυρὸς σταυρός, καὶ εἰκὼν μεγάλη, ἦστινος ἀστραπὴ ἐκ τοῦ προσώπου ἐξήρχετο, καὶ αὐτὴν εἶδον, ὡς ἐν τῷ ὕδατι ἤμην, ἁπλώσασαν τὴν χείρα αὐτῆς καὶ ἁψαμένην μου. ὡς δὲ ἀνῆλθον ἐκ τοῦ ὕδατος, ἐφόρεσα τὰ ἄμφια. ἠρώτησα δὲ τὸν μακάριον καὶ φοβερὸν ἄνδρα τοῦτον τὸν τὴν χάριν ταύτην παρασχόντα μοι, 'τίνος, κύριε, ἡ εἰκὼν αὕτη;' καὶ εἴρηκέν μοι ὅτι, 'τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἡ εἰκὼν αὕτη ἐστίν,' καὶ διὰ τὸν στῦλον τοῦ πυρὸς ἠρώτησα αὐτόν, καὶ εἶπέν μοι ὅτι, 'τοῦτο τὸ σημεῖόν ἐστιν ἔνθα ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὁ θεὸς ἑκὼν ὑπέμεινεν, ἵνα

XS (1 *εἰμί* - *σύ*, 11 *ἠρώτησα* - *μακάριον* mutil.) CYVO

1 *φοβηθῇς* XV : *-θείς* SCY 1 *ὥσπερ* : *ἅπερ* Y 2 *χυμῷ* : *χυμοῦ* S 2 *χολῇ* : *χολῆς* S 2 *συγκεκερασμένος* X(*συν-*)SV : *συγκερασμένοι* C *συνκερασμένος* Y 2 *καὶ* (2) om. V 3 *δέρματι* XSV : *ὕδατι* CY 3 *ἤκουσα* : *ἤκουσαν* Y 4 *ἀνθρωπίαν* SCYV : *ἀνθρωπίον* X 4 *αὐτῷ* : *αὐτὸ* C 5 *εὐηγγελίσατό* CYV : *-ήσατό* X *-ίσατώ* S 5 *ἀναμφιβόλως* XSV : *ἀναμβιβόλος* C *ἀμφιβόλος* Y 5 *πεισθείς* SCYV : *πισθῆς* X 6 *εἶδον* X : *ἴδον* SYV *εἴδων* C 6 - 7 *εἰς τὸ ὕδωρ* : *ἐν τῷ ὕδατι* S 7 *εἱστήκει* nos : *ἱστήκει* X *ἱστήκη* SV *ἱστίκει* CY 7 *ὕδατος ὡσεὶ στῦλος* om. V 8 *ἦστινος* V : *ἥτινος* XSC *εἵτινος* Y 9 *εἶδον* X : *ἴδον* SV *εἴδων* CY 9 *ἤμην* XV : *ἤμιν* SCY 9 post *ἤμην* verbum *καὶ* hab. X 9 *ἁπλώσασαν* : *ἁπλώσασα* S 10 ante *ἐφόρεσα* verbum *καὶ* hab. V 11 *δὲ* om. V 12 post *κύριε* verbum *μου* hab. V 12 *αὕτη* om. XSCY 13 *ἐστιν* post *Χριστοῦ* tr. S 15 ὁ$^{(2)}$ S : *καὶ* XCYV 15 post *ἑκὼν* verba *ἐσταυρώθη καὶ* hab. V

ἡμᾶς ἐλευθερώσῃ τῆς δουλείας τοῦ ἐχθροῦ.' ἕτερον δὲ πῦρ διακατέχει ἐν ταῖς ἀγκάλαις, ἐν ᾧ ἀνέγνω λόγους περὶ γεννήσεως Ἰησοῦ Χριστοῦ. ταῦτα ἤκουσα καὶ ἐθεασάμην, οἷς καὶ πεπίστευκα, ὧν καὶ ὁ φωτισμὸς περιήστραψέν με, καὶ ἀπὸ τοῦ νῦν οὐκέτι θύω ἐν τοῖς ἄλσεσι τοῦ ῥοός, οὐδὲ ἐν τοῖς ὑψηλοῖς, οὐδὲ κατέρχομαι ἐν ταῖς τρώγλαις πρὸς τοὺς ἀκαθάρτους δαίμονας αἰτεῖν παρ' αὐτῶν μαντείας καὶ στριβισμοὺς καὶ ὀνειράτων λύσεις καὶ φαντασιῶν ἀκαίρων κτύπους καὶ κρότους. οὐκέτι δὲ τῷ ἡλίῳ θύω οὔτε μέλι ἢ γάλα προσφέρω, οὔτε πάλιν τῇ σελήνῃ καὶ τοῖς ἄστροις προσφέρω ἀμνοὺς καὶ ἐρίφους· πάντα γὰρ ταῦτα βδελυξάμενος, πιστεύω εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, ὡς ὡμολόγησα κατερχόμενος ἐν τῷ ἁγίῳ ὕδατι, ἐν ᾧ καὶ πεφώτισμαι, ὡς καὶ ὑμεῖς ὁρᾶτε." οἱ οὖν ἐργάται ἀκούσαντες ταῦτα πάντα ὑπὸ τοῦ ἀνδρός, μηδὲν ἀποκριθέντες, ἀποθέμενοι τὰ ἑαυτῶν δρέπανα, ἦλθον δρομαίως ὅπου ἦν ὁ μακάριος. ἰδὼν δὲ τοὺς ἄνδρας ὁρμοῦντας ἐπ' αὐτόν, συνέσχεν τῇ ἀνθρωπίνῃ διανοίᾳ μὴ τί νεωτερισθῇ παρ' αὐτῶν.

XSCYVO

1 ἐλευθερώσῃ XV : -σει SCY 2 post ἀγκάλαις verbum αὐτοῦ hab. S 3 ἤκουσα XSV : ἀκοῦσας CY 3 καὶ ἐθεασάμην οἷς καὶ πεπίστευκα om : κατανυγεὶς ἐπίστευσα ὧν CY 3 ὧν SV : ὃν XCY 3 καὶ (3) om. XSCY 4 ῥοός : ῥοῶς S 5 οὐδὲ ἐν τοῖς ὑψηλοῖς om. S 5 ὑψηλοῖς V : εἰδώλοις XCY 6 αἰτεῖν V : αἰτῶν XS, fort. recte ἢ ταῖς CY 6 μαντείας XV : μαντίαις S μαντείαις CY 6 στριβισμοὺς XCYV : στριβισμοῖς S 8 δὲ : γὰρ S 8 ἤ om. XSCY 9 πάντα et ταῦτα tr. S 9 γὰρ V : δὲ XSCY 10 post ὡς verbum καὶ hab. V 11 ὡμολόγησα V : ὁμολόγησα XSCY 12 ὑμεῖς : ἡμεῖς Y 13 ἦλθον CYV : ἦλθων XS 14 δρομαίως S : δρομαῖοι XV δρομῇ CY 15 νεωτερισθῇ nos : νεωτερησθῇ X νεοτερισθῇ CY νεοτερισθεῖ S νεωτεριστεῖ V 15 παρ' αὐτῶν : παρ' αὐτῷ V

ἀναλαβόμενος δὲ τὸν θυρεὸν τῆς πίστεως καὶ ἀναστὰς ἐκ τοῦ πλακώματος, ἐποίησεν τὸν τύπον τοῦ σταυροῦ. ἐλθόντες οὖν οἱ ἄνδρες ὡσεὶ λίθου βολήν, ἔπεσον, καὶ ἀναστάντες, ἔτι ἦλθον ὀλίγον καὶ πάλιν ἔπεσον. ὁ δὲ μακάριος Ἐπαφρόδιτος ὁ πρεσβύτερος πρὸς αὐτοὺς φησίν, "ἀναστῆτε, ὦ τέκνα· κἀγὼ γὰρ ἄνθρωπος εἰμὶ ἁμαρτωλός." οἱ δὲ ἀναστάντες οὐκ ἠδύναντο ἀτενίσαι κατὰ πρόσωπον αὐτοῦ· ἦν γὰρ ἡ χάρις τοῦ ἁγίου πνεύματος ἐπισκιάσασα αὐτόν. ἑώρων δὲ καὶ τὸν σταυρὸν καὶ τὴν εἰκόνα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τὸ εὐαγγέλιον ὡς πῦρ περιαστράπτοντα. ἔμφοβοι δὲ γενόμενοι οἱ ἄνδρες, οὐκ ἐτόλμων τι ἀποκριθῆναι. ὁ δὲ μακάριος πρὸς αὐτούς, "ἔλθετε, τέκνα μου, προσεγγίσατέ μοι." οἱ δὲ οὐκ ἐτόλμων· περιεκύκλου γὰρ ἡ θεία χάρις τὸν πρεσβύτερον καὶ οὐχ ἑώρων αὐτόν. γνοὺς δὲ ὁ Ἐπαφρόδιτος ὅτι φόβος περιέχει αὐτούς, ἐποίησεν εὐχὴν ὑπὲρ αὐτῶν, καὶ ἐπήρθη ὁ φόβος ἀπ' αὐτῶν, καὶ ἔγνωσαν οἱ ἄνδρες, καὶ προσῆλθον φόβῳ πολλῷ καὶ χαρᾷ τοῖς ποσὶ τοῦ μακαρίου. ἁπλώσας οὖν τὴν χεῖρα

XS (13 *αὐτούς* - 15 *φόβῳ* mutil.) CYVO

1. Eph. 6:16

3 *βολήν* XSV : *βολῇ* CY 3 *ἔπεσον* : *ἔπεσαν* V 3 *καὶ ἀναστάντες* - *ἔπεσον* om. CY, propter homoeoteleuton 3 *ἦλθον* : *ἤλθων* S 4 *ἔπεσον* : *ἔπεσαν* V 4 *πρεσβύτερος* CY : *πρεσβύτης* XS *πρέσβυς* V 5 *κἀγὼ* : *ἐγὼ* S 5 *γὰρ* om. XC 6 - 7 *ἦν γὰρ* - *αὐτόν* om. CY 6 *ἐπισκιάσασα* XV : *ἐπισκιάζουσα* S 7 *ἑώρων* X : *ἑόρων* SC *ἑώρουν* Y *ἑώρον* V 7 *δὲ* : *γὰρ* S 7 *καὶ* om. V 8 *Χριστοῦ* om. S 9 *περιαστράπτοντα* XSCY : *-όμενοι* V 9 *γενόμενοι* XSCV : *-άμενοι* Y 10 *ἐτόλμων* XS : *ἐτόλμουν* CYV 10 *ἔλθετε* XSCY : *-ατε* V 11 *ἐτόλμων* nos : *ἐτόλμουν* XSCYV 11 *περιεκύκλου* nos : *περιεκύκλοι* XSV *περιεκίκλοι* C *περιεκίκλυ* Y 11 *γὰρ* XV : *δὲ* SCY 12 *χάρις* XS : *δόξα* CYV 12 *πρεσβύτερον* XSCY : *πρεσβύντατον* V 12 *ἑώρων* X : *ἑόρουν* S *ἑώρουν* CYV 12 *αὐτόν* CYV : *αὐτῶν* X *αὐτοὺς* S 12 *ὁ* om. X 13 *αὐτούς* XCY : *τοὺς ἄνδρας* V 14 ante *ἐπήρθη* verba *καὶ εὐθέως* hab. CY 15 *τοῖς ποσὶ τοῦ μακαρίου* : *τῷ μακαρίῳ* S

αὐτοῦ, ἐποίησεν τὴν ἐν Χριστῷ σφραγῖδα ἐπὶ τὰ μέτωπα αὐτῶν, καὶ ἔδωκεν αὐτοῖς ἐλπίδα, καὶ καθεσθεὶς καὶ λαβὼν αὐτοὺς ἄμφω, ἐκέλευσε καὶ αὐτοὺς καθεσθῆναι. εἶπον δὲ πρὸς αὐτόν, "ἔνδοξε ἄνερ καὶ ξένε τῆς ἡμῶν εἰδέας, ἀλλὰ καὶ θρησκείας, πόθεν καὶ πῶς πρὸς ἡμᾶς παρεγένου; καὶ γὰρ ἡμεῖς θαμβούμεθα εἰς τὰ μεγάλα τὰ ἐν σοί." ὁ δὲ Ἐπαφρόδιτος εἰρηκὼς αὐτοῖς πάντα, καὶ ὅτι καὶ αὐτὸς ἦν φιλόσοφος ποτὲ καὶ τοῖς ἀκαθάρτοις εἰδώλοις ἔτη πολλὰ θυσίας προσήνεγκε, λαβὼν τὸ εὐαγγέλιον, ὑπέδειξεν αὐτοῖς λέγων ὅτι, "καὶ ταύτην τὴν θεόλεκτον βίβλον πρὸ τοῦ ἀκοῦσαι με τὸν λόγον τοῦ πέμψαντός με πρὸς ὑμᾶς κηρύξαι αὐτὸν ἐδεξάμην παρά τινι φοβερῷ εἰρηκότι μοι, 'τοῦτο τὸ βιβλίον τῆς ἄνωθεν σοφίας στιχθέν ἐστιν,' ὃν ἐλογισάμην ἐγὼ ἄγγελον εἶναι· οὐ μόνον δὲ ἐγώ, ἀλλὰ καὶ πάντες οἱ ἰδόντες τὸ βιβλίον καὶ ἀκούσαντες. ὅτε δὲ ἦλθεν ὁ κῆρυξ τῆς ἀληθείας ὁ ἡμῖν τὸν λόγον τοῦ θεοῦ κηρύξας, πεπιστευκὼς εἰς Χριστὸν Ἰησοῦν, ἐπέδωκα αὐτῷ ὡς ἐμῷ διδασκάλῳ καὶ πατρί. εἶχεν δὲ τὴν αὐτὴν δόξαν,

XS (7 *ἀκαθάρτοις - θυσίας* mutil.) CYVO

1 *ἐποίησεν τὴν ἐν Χριστῷ σφραγῖδα* post *καὶ* ⟨⟩ tr. CY 2 *λαβὼν* : *λαβόμενος* S 2 *αὐτοὺς* XSCY : *τοὺς* V 2 *ἄμφω* : *ἄμφια* Y 3 *αὐτοὺς* : *ἑαυτοὺς* Y 3 *αὐτόν* XSCY : *τὸν μακάριον* V 4 - 5 *πρὸς ἡμᾶς* om. S 7 *ἔτη* V : *ἔτι* XCY 7 *πολλὰ* V : *πολλᾶς* XCY 8 *προσήνεγκεν* S : *προσήνεγκα* XCYV 8 ante *λαβὼν* verbum *καὶ* hab. V 9 *με* : *μου* S 9 *τὸν λόγον* om. CY 10 *τινι φοβερῷ* : *τινον φοβερῶν* S 11 *εἰρηκότι* XCV : *εἰρηκότη* S *εἰρηκός* Y 12 *ἄγγελον* : *ἄγγελος* Y 13 *ἰδόντες* V : *ἰδότες* XS *ἰδώτες* CY 14 *κηρύξας* : *κηρύξαντος* S 14 *Χριστὸν Ἰησοῦν* : *τὸν κύριον Ἰησοῦν Χριστὸν* S 15 *εἶχεν* : *ἦχεν* S

ὅτε ἐδεξάμην αὐτό, ἥνπερ καὶ ὑμεῖς ἀρτίως βλέπετε." οἱ οὖν ἄνδρες πρὸς αὐτόν, "ἡμεῖς πολυλογίᾳ πρός σε οὐ χρησόμεθα, ἀλλὰ πιστεύομεν τῇ διδαχῇ σου καὶ Χριστὸν Ἰησοῦν ἐνδυσάμενοι τὴν τῶν ἀκαθάρτων εἰδώλων θρησκείαν ἐκφεύγομεν, καταφεύγοντες τοῖς πλουσίοις οἰκτιρμοῖς, οὗ ἡμῖν κηρύσσεις θεοῦ. δυσωποῦμέν σε οὖν, τιμιώτατε, τοῦ δοῦναι ἡμῖν τῆς διδαχῆς σου τὸ βάπτισμα, καὶ προσενέγκῃς τῷ Χριστῷ." ὁ δὲ Ἐπαφρόδιτος πρὸς αὐτούς, "ἀκούσατέ μου, τέκνα, καταπαύσομαι ἤδη σήμερον ἐν τῷ τόπῳ τούτῳ, καὶ αὔριον λαμβάνετε τὸ ἅγιον βάπτισμα, καὶ ἀπολαύετε τῶν τοῦ Χριστοῦ δωρεῶν καὶ τῶν ἐκείνου ἀγαθῶν, καὶ γίνεσθε κληρονόμοι τῆς αἰωνίου ἀπολαύσεως μετὰ πάντων τῶν τῷ Χριστῷ εὐαρεστήσαντων· μόνον, τέκνα, ὑπακοῆς γίνεσθε, καὶ ἑδραῖοι καὶ ἀμετακίνητοι πρὸς τὴν ὀρθὴν πίστιν καὶ ἐλπίδα βεβαίαν τὴν πρὸς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν." οἱ δὲ ἄνδρες ἀκούσαντες ταῦτα παρὰ Ἐπαφροδίτου, πεσόντες προσεκύνησαν τῷ θεῷ καὶ αὐτῷ. κατέπαυσαν δὲ ἐκεῖ κατὰ τὸν λόγον

XSCYVO

1 αὐτό V : αὐτῷ XSCY 1 ὑμεῖς : ἡμεῖς X 2 πολυλογίᾳ V : πολυλογίαν XSCY 2 χρησόμεθα XC : χρισόμεθα SY χρησάμεθα V 2 πιστεύομεν XCYV : -ωμεν S 3 post ἀκαθάρτων verbum καὶ hab. XSC 4 ἐκφεύγομεν XCYV : -ωμεν S 4 post πλουσίοις verbum σου hab. S 5 ante οὗ verbum καὶ hab. S 5 οὗ ἡμῖν κηρύσσεις θεοῦ : σου CY 5 κηρύσσεις V : κηρύσσει XSCY, fort. recte 6 προσενέγκῃς XS : -εις CYV 8 καταπαύσομαι XS : -σομεν CY -σωμεν V, fort. recte 8 λαμβάνετε V : λαμβάνεται XY λαμβάννεται SC 9 ἀπολαύετε CYV : -εται XS 9 - 10 καὶ τῶν ἐκείνου ἀγαθῶν om. S 10 αἰωνίου : ἀιδίου S 11 εὐαρεστήσαντων SCYV : πιστευσάντων X 14 ἄνδρες om. S 15 τῷ θεῷ καὶ αὐτῷ : αὐτόν S 15 κατέπαυσαν δὲ : καὶ κατέπαυσαν S

Ἐπαφροδίτου. λαβὼν οὖν τὸ ἄχραντον εὐαγγέλιον, εὐηγγελίζετο αὐτοῖς τὸν Χριστόν, καὶ εὐφραίνοντο οἱ ἄνδρες ἐν πνεύματι ἁγίῳ ἐπὶ τῇ διδαχῇ Ἐπαφροδίτου. ὥρα δὲ ἦν ὡσεὶ δευτέρα τῆς νυκτὸς καὶ ἦλθεν ὁ διάβολος καὶ ἔστη ὡσεὶ λίθου βολὴν ἀπ' αὐτῶν, καὶ ἦν μετ' αὐτοῦ πλῆθος δαιμόνων, ὡς εἴδη Αἰθιόπων ἐχόντων, καὶ αὐτὸς ὁ διάβολος μῆκος ἔχων ὑπὲρ πάντας τοὺς περικύκλῳ αὐτοῦ, καὶ αὐτὸς μέλας Αἰθίοψ, καὶ φησὶν πρὸς τὸν Ἐπαφρόδιτον, ὁλολύζων ἔκραζεν, "ὦ Παγκράτιε, ὦ καὶ σὺ Ἐπαφρόδιτε, τί με ἀδικεῖτε; τί τοῖς τόποις μου ἐπέβητε; τί τοὺς ἐραστάς μου ἐξ ἐμοῦ ἐκσπᾶτε καὶ Ἰησοῦ Χριστῷ τῷ Ναζωραίῳ προσφέρετε; τοὺς οἴκους μου ἐν τῇ πόλει τῶν Ταυρομενιτῶν κατελύσατε, καὶ τοὺς πιστούς μου ἐραστὰς ἐν τῇ θαλάσσῃ ἐβυθίσατε, καὶ σὺ αὐτὸς ὁ χαρτοφύλαξ μου διδάσκεις τοὺς ἐμοὺς Χριστῷ προσφεύγειν. ἦλθες διδάσκειν καὶ τὰ ἄλση καὶ τὰ ὑψηλὰ καὶ τὰ τῶν πετρῶν ὀρύγματα ἐρημωθῆναι τῶν ὑπασπιστῶν μου. οὐαί μοι, φίλοι καὶ ὑπουργοί, ὅτι τούτου ἤκοντος ὧδε, χώραν ἀπολογίας

XSCYVO

1 εὐηγγελίζετο : εὐαγγελίζοντο S 1 εὐφραίνοντο XSCY : ηὐ- V 4 βολὴν XSV : βολῇ CY 4 ἀπ' SCY : καὶ ὑπ' XV 4 - 5 καὶ ἦν - ἐχόντων om. S 5 Αἰθιόπων XS : Ἐθιόπων CY Αἰθιώπων V 6 μέλας : μέλαψ V 7 Αἰθίοψ V : Αἰθίωψ X Ἐθίωψ SCY 7 τὸν om. V 9 Ἰησοῦ post Χριστῷ tr. V 10 Ναζωραίῳ S : Ναζοραίῳ XV Ναζορέῳ CY 10 ante ἐν verbum καὶ hab. S 12 ὁ om. Y 13 προσφεύγειν V : προσφύγειν XSCY 13 ἦλθες : ἦλθεν C 13 καὶ (1) om. S 15 post φίλοι verbum μου hab. Y 15 τούτου XCV : τοῦτο S τοῦ Y 15 ὧδε : οὐδὲ S

τοῖς ἐμοῖς ὑπακούουσιν ἀπὸ τοῦ νῦν οὐ διδόασιν· ἀφήρπασαν γὰρ τοὺς ἐμοὺς καὶ τὰ ἐμὰ πάντα Χριστῷ Ἰησοῦ προσήνεγκαν ἐν τῇ πόλει τῶν Ταυρομενιτῶν. Παγκράτιος αἰχμάλωτόν με πεποίηκεν, καὶ ἐν Συρακούσῃ Μαρκιανὸς ὁ γέρων. νῦν δὲ καὶ ὁ οἰκήτωρ τῆς Ταύρου καὶ Μενίας, ὁ ποτὲ Ξάνθιππος καὶ χαρτοφύλαξ μου, ὁ πολλὰς θυσίας ἐμοὶ προσενέγκας, ἐπέβη τοῖς τόποις μου." ταῦτα λαλήσας ὁ διάβολος ἐνώπιον πάντων, λέγει ὁ μακάριος τοῖς ἀνδράσιν, "οἴδατε, τέκνα, ὅτι Χριστὸς κέκληκεν ὑμᾶς καὶ ὁ διάβολος τοὺς ὀδόντας βρύχει καθ' ὑμῶν. ὁ ἐχθρὸς καὶ βάσκανος ὡς λέων ἐνεδρεύει τοῦ ἁρπάσαι τοὺς νηπίους τῷ φρονήματι. ὑμεῖς δέ, ὡς ἄνδρες τέλειοι καὶ τὸν ἀρραβῶνα τῆς πίστεως Ἰησοῦ Χριστοῦ λαβόντες, ἐμφυσήσαντες εἴπατε αὐτῷ, 'ἀποτασσόμεθα σοί, Σατανᾶ, καὶ συντασσόμεθα Ἰησοῦ Χριστῷ τῷ υἱῷ τοῦ θεοῦ.'" ἀναστάντες δὲ οἱ ἄνδρες σὺν τῷ πρεσβυτέρῳ, καὶ ποιήσας τὴν ἐν Χριστῷ σφραγῖδα ὁ πρεσβύτερος ἐν τῷ μετώπῳ ἑκάστου αὐτῶν ἐπηύχετο, καὶ στήσας αὐτοὺς κατὰ δυσμάς, ὅπου ἐφαίνετο αὐτοῖς ὁ

XS (5 πολλὰς - 6 μου mutil.) CYVO

9 - 10 1 Pet. 5:8

1 τοῖς ἐμοῖς (ἐμοῖ C) ὑπακούουσιν XSCY : ἐμοὶ V 1 γὰρ om. XSCY 2 ante Χριστῷ verbum καὶ hab. XSCY 3 αἰχμάλωτόν : ἐγμάλοτόν S 3 πεποίηκεν XCY : πεποίησεν S ἐποίησεν V 4 ante Συρακούσῃ verbum τῇ hab. S 4 post ὁ (2) verbum μόλου hab. SCYV 5 Μενίας V : Μενείας XSCY 5 μου om. V 5 ἐμοὶ XV : μοι CY 6 προσενέγκας V : προσενεγκῶν XCY 7 post τέκνα verbum μου hab. S 8 ὑμᾶς XCYV : ἡμᾶς S, fort. recte 8 καθ' ὑμῶν CY : καθ' ἡμῶν V, fort. recte καὶ θυμῶν X καὶ θυμὸν S 9 τῷ XSC : τὸ Y τοὺς V 10 ὡς om. XSCY 11 ἀποτασσόμεθα XCV : -ώμεθα SY 12 σοί CY : σοῦ XS, om. V 12 Σατανᾶ om. V 12 συντασσόμεθα XCV : -ώμεθα SY 12 Ἰησοῦ Χριστῷ V : τῷ Χριστῷ Ἰησοῦ XS Χριστῷ Ἰησοῦ CY 13 ποιήσας XCYV : ποιήσαντες S 14 πρεσβύτερος XSCY : πρεσβύτης V 14 ἑκάστου αὐτῶν X : ἑκάστῳ αὐτῶν SC ἑκάστῳ αὐτῷ Y ἑνὸς ἑκάστου V 15 ἐπηύχετο XS : ἐπηύχετω CYV (post πρεσβύτερος tr. XSV) 15 δυσμάς : δεσμάς S

διάβολος, προσφωνῶν ἔλεγεν, "ἀποτάσσεσθε τῷ διαβόλῳ;" οἱ δὲ ἄνδρες ὡς ἐξ ἑνὸς στόματος, "ἀποτασσόμεθα." "εἰ ἀπετάξασθε αὐτῷ, ἐμφυσήσατε αὐτῷ." ποιήσαντες οὖν οἱ ἄνδρες τὴν ἀποταγήν, ἄφνω ἐγένετο ἐλθεῖν ῥομφαίαν φλογίνην καὶ ἐκδιῶξαι τὸν διάβολον, ὡς ἄφαντον αὐτὸν γενέσθαι. στήσας δὲ κατὰ ἀνατολὰς τοὺς ἄνδρας, εἶπεν πρὸς αὐτούς, "συντάσσεσθε τῷ Χριστῷ;" οἱ δὲ ὡς ἐξ ἑνὸς στόματος, "συντασσόμεθα." ὁ δὲ Ἐπαφρόδιτος, "εἰ συνετάξασθε τῷ Χριστῷ, προσκυνήσατε αὐτῷ." καὶ λαβὼν ὁ πρεσβύτερος τὴν ἁγίαν εἰκόνα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, προσεκύνησεν εἷς ἕκαστος αὐτῶν. μετὰ οὖν ταῦτα, ἐλθούσης ἡμέρας, κατελθόντες ἐν τῷ χειμάρρῳ, ἐνέγκας καὶ ποιήσας τὴν τάξιν τοῦ βαπτισμοῦ, ἦλθεν ὁ ἀνὴρ ὁ βαπτισθεὶς σὺν τῇ γυναικὶ αὐτοῦ καὶ τοῖς τέκνοις. ὁ δὲ μακάριος πρὸς αὐτόν, "καλῶς ἦλθες, διάκων χρηστὲ καὶ ἀγαθέ, ἄπελθε καὶ τὴν διακονίαν σου πλήρωσον." ὁ δὲ ἀγαθὸς ἀνήρ, "ὅπερ κελεύεις, ποιήσομεν, πάτερ." ὁ δὲ πρὸς αὐτόν, "ἄπελθε, ἄμφια ἡμῖν ὤνησαι κατὰ τὸν ἀριθμὸν τῶν

XSCYVO

1 ἀποτάσσεσθε SYV : -εσθαι XC 2 ἀποτασσόμεθα XSCV : -ώμεθα Y 2 εἰ om. V 2 ἀπετάξασθε SYV : -ασθαι XC 2 αὐτῷ (2) XCYV : αὐτόν S 3 οἱ ἄνδρες post ἀποταγήν tr. V 4 φλογίνην XCYV : πυρίνην S 5 αὐτὸν om. Y 6 συντάσσεσθε V : -εσθαι XSCY 7 συντασσόμεθα XSCV : -ώμεθα Y 7 ὁ δὲ Ἐπαφρόδιτος : καὶ S 7 συνετάξασθε YV : -ασθαι XSC 7 τῷ Χριστῷ om. V 8 αὐτῷ XCYV : αὐτόν S 8 ἁγίαν om. X 9 κυρίου ἡμῶν Ἰησοῦ om. S 11 βαπτισθεὶς SCY : βαπτιστῆς XV 13 χρηστὲ : Χριστοῦ S 13 καὶ ἀγαθέ om. XSCY 14 ποιήσομεν CV : -ωμεν XSY 15 ὤνησαι X : ὤνησε S ὄνισε CY ὄνισαι V 15 τὸν ἀριθμὸν CV : τῶν ἀριθμὸν Y τῶν ἀριθμῶν XS

ἀνδρῶν, ἵνα λάβωσι τὸ ἅγιον βάπτισμα." ἦν δὲ ὁ ἀριθμὸς τῶν ἀνδρῶν ὡσεὶ εἴκοσι τέσσαρες. ἀπῆλθεν οὖν ὁ ἀνὴρ καὶ ἔλαβεν ἄμφια καινὰ ἐκ τῆς προλεχθείσης γραὸς κατὰ τὸν ἀριθμὸν τῶν ἀνδρῶν, καὶ λαβὼν ὁ Ἐπαφρόδιτος, ἐβάπτισεν τοὺς ἄνδρας. ἐβάπτισεν δὲ καὶ τὴν γυναῖκα σὺν τοῖς τρισὶ τέκνοις αὐτῆς. λέγει οὖν ὁ μακάριος Ἐπαφρόδιτος τοῖς ἀνδράσι, "τέκνα μου, ἕως τῆς ἀποθέσεως τῶν ἀμφίων, ποιήσατε σὺν ἐμοί." οἱ δὲ πρὸς αὐτόν, "ὡς κελεύεις, πάτερ." ἡ οὖν γυνὴ ἀγαθὴ πρὸς τὸν ἴδιον ἄνδρα, "κύριέ μου ἄνερ, ποιήσωμεν τούτῳ τῷ ἁγίῳ ἀνδρὶ δοχεῖον πλησίον τοῦ οἴκου ἡμῶν, ἵνα ἐστιν ἡ ἀναστροφὴ αὐτοῦ μεθ' ἡμῶν." ὁ δὲ φησὶν πρὸς αὐτήν, "ποιήσομεν, γύναι." ἐκπληρωθέντων οὖν τῶν ὀκτὼ ἡμερῶν τοῦ βαπτισμοῦ αὐτῶν, λέγει ὁ Ἐπαφρόδιτος πρὸς τοὺς ἄνδρας, "τέκνα, λάβετε ἕκαστος ὑμῶν τὸν τύπον τοῦ σταυροῦ καὶ ἀπέλθετε κατὰ τῶν ἐπαρχιῶν καὶ κηρύξατε τὸν λόγον τοῦ θεοῦ. ὅπου δὲ εὕρετε τυφλούς, χωλούς, παραλύτους, λεπρούς, δαιμονιῶντας καὶ ἐξ ἄλλων νοσημάτων διακατεχομένους, ποιεῖτε ἐν

XS (10 ὁ δὲ - ἐκπληρωθέντων mutil.) CYVO

1 ἵνα - ἀνδρῶν om. V, propter homoeoteleuton 2 ὡσεὶ X : ὡς SCYV 2 ἔλαβεν : ἐτιμάσας S 2 ante ἄμφια verbum τὰ hab. S 2 - 3 καινὰ - καὶ om. S 3 ἀριθμὸν : ἀριθμῶν Y 7 ἀγαθὴ post οὖν tr. Y 8 τούτῳ nos : τοῦτο XSCY (post ἁγίῳ tr. SCY), om. V 8 ποιήσωμεν V : -ομεν XCY 11 αὐτῶν om. S 13 ἀπέλθετε XCY : -ατε SV 14 δὲ : δ' ἂν S 14 εὕρετε XV : εὕρατε S εὕρεται CY 15 ποιεῖτε SV : ποιῆτε XCY

αὐτοῖς τὴν ἐν Χριστῷ σφραγῖδα καὶ ἰαθήσονται." ὁ δὲ μακάριος Ἐπαφρόδιτος ποιήσας ἦν τύπον σταυροῦ ἐκ κεδρίνου ξύλου καὶ βαπτίσας κατὰ τὸν ἀριθμὸν τῶν ἀνδρῶν, δόσας οὖν ἑκάστῳ τὸν ἴδιον, ἐξῆλθον κατὰ τῶν χωρίων κατέχοντες ἐν ταῖς χερσὶν αὐτῶν τοὺς σταυρούς. οἱ οὖν ἀκάθαρτοι δαίμονες, μὴ φέροντες καθορᾶν τὸ σημεῖον τοῦ σταυροῦ, ἔφευγον κράζοντες, "οὐαὶ ἡμῖν, ὅτι ἡ φλογίνη ῥομφαία διώκει ἡμᾶς· ἡ δύναμις γὰρ πολλὴ καὶ θεϊκὴ καὶ ἀντιστῆναι οὐ δυνάμεθα." οἱ οὖν ὄχλοι ἐθαύμαζον ἐπὶ τῇ ἐξορίᾳ τῶν ἀκαθάρτων δαιμόνων· πλεῖστοι γὰρ τῶν †Κωμανιτῶν καὶ †Μωλοπαίων ἐπεγίνωσκον τοὺς ἄνδρας. οἱ δὲ ἄνδρες πρὸς αὐτούς, "ἄνθρωποι, τί πλανᾶσθε, τοὺς ἀκαθάρτους θεοὺς σέβοντες, οἷς οὐκ ἔστιν σωτηρία; ἡ ἀληθινὴ σωτηρία καὶ ὁ ἀληθινὸς θεὸς ἐπεσκέψατο ἡμᾶς. ἐξενέγκατε πάντες ὑμεῖς, ὦ ἄνθρωποι, τοὺς ἀσθενεῖς ὑμῶν, ἵνα ἰάσηται αὐτοὺς ὁ κύριος." ἀκούσαντες δὲ οἱ ὄχλοι, ἔφερον τοὺς ἀσθενεῖς αὐτῶν καὶ ἐτίθουν ἔμπροσθεν τῶν ἀνδρῶν τῶν τὴν θείαν δόξαν περιβεβλημένων,

XSCYVO

2 ἦν : οὖν X 2 ἐκ κεδρίνου ξύλου] *древа боровиина* Usp 3 τὸν ἀριθμὸν SYV : τὸν ἀριθμῶν, corr. -ὸν C τῶν ἀριθμῶν X 3 ἑκάστῳ CV : ἑκάστο Y ἑκάστου XS 4 κατέχοντες XSCY : διακατέχοντες V 4 αὐτῶν om. V 5 δαίμονες : δαίμονας V 6 ὅτι om. SCY 6 post ὅτι verbum ἤγγικεν hab. V 7 διώκει XCY : διόκε S διώκειν V 7 γὰρ SCY : δὲ XV 9 κωμανιτῶν X : κομανητῶν SCY κομανιτῶν V 9 μωλοπαίων V : μωλωπέων X μολοπαίων S μωλωπαίων CY 10 ἄνδρες XS : ἄνθρωποι CYV 11 πλανᾶσθε V : πλανόμεθα XSCY, fort. recte 11 τοὺς ἀκαθάρτους θεοὺς XSCY : τοῖς ἀκαθάρτοις θεοῖς V 11 - 12 ἡ ἀληθινὴ σωτηρία καὶ om. V 12 ἀληθινὸς : ἀληθῆς V 13 πάντες ὑμεῖς V : ὑμεῖς XCY, om. S 13 ἰάσηται X : ἰάσειται SC ἰάσειτε Y ἰάσητε V 14 δὲ XSYV : οὖν C 15 δόξαν XSCY : χάριν V

καὶ προσήρχοντο αὐτοῖς ἁπτόμενοι τῷ τύπῳ τοῦ ζωοποιοῦ σταυροῦ λέγοντες, "ἰᾶται ὑμᾶς ὁ κύριος." καὶ θείᾳ <...> οἱ ἀσθενεῖς ἰοῦντο ἐκ τῶν κατεχόντων αὐτοῖς ἀσθενειῶν τῇ δυνάμει τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, πολλούς τε δαιμονιῶντας ἰάσαντο. περιῆλθεν δὲ ἡ ἀκοὴ εἰς πᾶσαν τὴν περίχωρον ἐκείνην ἀπὸ Μελαμφόρου τοπάρχου ἕως Πετρονίκης Παλλαδίου τῆς τρυφερᾶς παραλίου, καὶ κατερχομένου †τῆς ἄλσοτης Πλατάμου τοῦ χειμάρρου καὶ τὰ ἐκεῖσε ἅπαντα πτερύγια τὰ ὑψηλώτατα. συνῆλθον οὖν ἅπαντες οὗτοι πλήθη ἀσθενούντων φέροντες, καὶ πάντες ἰοῦντο τῇ χάριτι Χριστοῦ τοῦ θεοῦ. οἱ οὖν ἄνδρες πρὸς τοὺς ὄχλους, "ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοὺς ἀσθενεῖς ὑμῶν ἰάσατο. ἀπέλθωμεν εἰς τὸν μαθητὴν αὐτοῦ καὶ αὐτὸς ὑμῖν δείξει ὁδὸν σωτηρίας, καὶ χαρίσματα ἰαμάτων παράσχει πολλοστά." οἱ δὲ ὄχλοι κατῆλθον ἔν τινι τόπῳ εἰς πεδίον, καὶ συλλαβόμενοι τοὺς ἄνδρας οἱ γνώριμοι αὐτῶν φησίν, "ὦ ἄνδρες, εἴπατε ἡμῖν, τίς ὁ δεδωκὼς ὑμῖν τὴν ἐξουσίαν ταύτην; διηγήσασθε

XSCYVO

2 λέγοντες XSCY : οἱ δὲ ἄνδρες ἔλεγον V 2 θείᾳ V : οἱ θεοὶ XSC θεοὶ Y 2 post θείᾳ lacunam statui, fort. χάριτι supplendum 2 ἰοῦντο V : ἀπολοῦνται XSCY 2 - 3 ἐκ - ἀσθενειῶν om. XSCY 4 - 11 περιῆλθεν - θεοῦ] *Пройде же слухъ о семъ во вся wкругная мѣста,* ѿ *Мелефора мѣстнаго старѣйшины до Петроникіе Паладіевы, размлаженаго приморія исходещаа до альса Платамскаго потока Снидошесе убо вси тіи и множество болещиихь несуще и вси исцѣлаахоусе благодатію* **Хѧ. Бѧ.** Usp 5 τοπάρχου om. V 6 πετρονίκης SCYV : πετρωνίκης X 6 Παλλαδίου XSC : Πολλαδίου Y πολλὰ δήτου V 6 ante τῆς verbum διὰ hab. Y 6 τρυφερᾶς CYV : τρυφέας XS 6 παραλίου om. S 6 κατερχομένου CY : -μένης XSV 7 τῆς ἄλσοτης CYV : τῆς ἄλσωτης XS, fort. τῷ ἄλσει τῆς emendandum 7 πλατάμου XSCYV, fort. πλατάνου emendandum 8 τὰ ὑψηλώτατα om. V 8 συνῆλθον XCY : -ων S -αν V 8 πλήθη XV : πλήθει S πλήθος CY 9 ἰοῦντο XSV : ἰῶντο CY 9 Χριστοῦ τοῦ θεοῦ : Ἰησοῦ Χριστοῦ S 11 ἀπέλθωμεν SV : -ομεν XCY 12 ὑμῖν V : ἡμῖν XSCY, fort. recte 12 δείξει V : δείξη XCY δίξει S 13 πολλοστά XSV : πολλᾶ CY 13 κατῆλθον : -ων S 14 οἱ γνώριμοι S : γνώριμοι X οἱ ἐγνώριμοι CY ἐγνώριμοι V 15 τίς ὁ δεδωκὼς ὑμῖν bis hab. C

ἡμῖν, τίς ὁ ποιήσας ὑμᾶς πῦρ ἐν ταῖς χερσὶν ὑμῶν κατασχεῖν καὶ μὴ καταφλεχθῆναι; τίς ὁ περιθεὶς ὑμῖν τοιαύτην δόξαν φωτεινήν; τὴν φωνὴν γὰρ ὑμῶν γνωρίζομεν. οὐ δυνάμεθα δὲ ἀτενίζειν εἰς τὰ πρόσωπα ὑμῶν καὶ θαυμάζομεν εἰς τὴν πολλὴν ἐξουσίαν ταύτην, ἥνπερ πεποιήκατε εἰς τοὺς ἀσθενεῖς. πῶς δὲ ποτὲ εἰς τὰς θυσίας τῶν ἀλσῶν καὶ εἰς τὰς θυσίας τῶν ὑψηλῶν καὶ εἰς τὰς θυσίας τῶν μυστικῶν τρωγλῶν τῶν λαξευτῶν οὐκ ἐδείχθη τοιαύτη δύναμις, οὔτε δαιμονιώντων ἴασις, οὔτε τυφλῶν ἀνάβλεψις, οὔτε χωλῶν ἐπανόρθωσις, οὔτε παραλύτων γόμφωσις, οὔτε ὑδροπιώντων θεράπευσις, οὔτε λεπρῶν κάθαρσις, οὔτε παντοίας νόσου τοιαύτης, ὡς προειρήκαμεν, θεράπευσις; ἐὰν δέ τις ἥπατι ἢ σπληνὶ ἢ ὑποχονδρίοις ἢ φάρυγγι ἢ ἀρτηρίας ἢ οἵᾳ δήποτε κατασκευῇ ἢ ἀνθρώπου νοσήματι περιέλθῃ, προσέρχονται οἱ σοφοὶ φαρμάκοις, καὶ μόλις ποτὲ τὰ κατὰ τὸν στόμαχον μόρια κρεμασθέντα τῆς νόσου ἀπαλλάσσουσιν. ὑμεῖς δὲ ταῦτα ἁφῇ χειρὸς ἐκδιώκετε, οὐ μόνον δὲ τὰ ἔνδοθεν πάθη, ἀλλὰ καὶ

XSCYVO

1 ὑμᾶς : ἡμᾶς S 3 γνωρίζομεν CYV : -ωμεν XS 3 ἀτενίζειν SCY : ἀτενίσαι XV 3 - 4 τὰ πρόσωπα X : τὸ πρόσωπον SC τὰ πρόσωπων Y τὰ πρόσωπον V 4 θαυμάζομεν XCYV : -ωμεν S 4 ἥνπερ : ὅνπερ S 5 - 6 τῶν ἀλσῶν - θυσίας om. S, propter homoeoteleuton 7 λαξευτῶν V : λαζονιστῶν XCY λαζανιστῶν S 7 ἐδείχθη XSCY : ἐδείχθησαν V 7 τοιαύτη XCY τοιαύτην S τοιαύται V 7 δύναμις Y : δύναμεις XV δύναμεις, corr. -ις C δύναμιν S 7 post δύναμις verbum ποτέ hab. V 8 ἴασις XCY ἰάσεις V δύναμεις ἄφασις S 8 ἀνάβλεψις XSCY : ἀναβλέψεις V 9 ἐπανόρθωσις XSC : ἀνόρθωσις Y ἐπανορθώσεις V 9 γόμφωσις XSC : γώμφοσις Y γομφώσεις V 9 ὑδροπιώντων nos : ὑδροπιόντων XSCY ὑδροποιούντων V 10 θεράπευσις XSCY : θεραπεύσεις V 10 καθάρσις XCY : καθάρησις S καθάρσεις V 10 τοιαύτης om. V 11 προειρήκαμεν XCY : προηρήκαμεν S προείπαμεν V 11 θεράπευσις Y : θεραπείας X θεράπευσιν SC θεραπεύσεις V 12 ἢ (3) om. V 12 ἀνθρώπου V : ἄνθρωπος XSCY 13 περιέλθῃ XCYV : παρέλθη, corr. -ει S 13 τὰ om. Y 14 μόρια SV : μώρια XCY 15 χειρὸς om. V 15 ἔνδοθεν XSV : ἔνδον CY 15 καὶ om. CY

τοὺς κακούργους δαίμονας ἐκφυγαδεύετε, καὶ τυφλῶν ἀνάβλεψιν καὶ χωλῶν ἐπανόρθωσιν <...>, καὶ ἁπλῶς εἰπεῖν, τῶν παντοίων κακῶν ἰατροὶ καὶ λυτῆρες γεγόνατε. εἴπατε ἡμῖν, ὦ ἄνθρωποι, τίς ὁ παρασχὼν ὑμῖν τὴν ἐξουσίαν ταύτην, καὶ ἡμεῖς προσέλθωμεν αὐτῷ." οἱ δὲ ἄνδρες ἀρξάμενοι ἅπαντα διηγήσαντο αὐτοῖς ἕκαστα ὡς ἐπράχθη ἐν αὐτοῖς, καὶ ἅπερ ἐθεάσαντο ἐπὶ Ἐπαφρόδιτον, καὶ ὡς εὐηγγελίσατο αὐτοῖς τὸν Χριστόν, καὶ λοιπὸν τὸ πῶς ἐβαπτίσθησαν, καὶ ἀπέστειλεν αὐτοὺς ἅπασι κηρύξαι τὸν λόγον τοῦ θεοῦ, καὶ ὡς ἔδωκεν αὐτοῖς τὸ σημεῖον τοῦ σταυροῦ λέγων ποιεῖν τὸν τύπον καὶ φυγαδεύειν παντοίων νοσημάτων †ἀλεξητήριον. ἀκούσαντες δὲ οἱ ἄνδρες, ἐφωτίσθησαν τῇ διανοίᾳ αὐτῶν καὶ ἐν πολλῇ σπουδῇ, τὸν ἰὸν ἀπορριψάμενοι τῆς παλαιᾶς πλάνης, καὶ ἀποθέμενοι πάντα τὰ τῶν εἰδώλων ἀπεικάσματα, ἦλθον ὅπου ἦν ὁ Ἐπαφρόδιτος, πλήθη ἀναρίθμητα, κράζοντες καὶ αἰτούμενοι τοῦ βαπτισθῆναι. ἀναστὰς οὖν ὁ τοῦ Χριστοῦ ἐργάτης καὶ κατελθὼν ἐν τῷ χειμάρρῳ, ἐκέλευσεν ἀποχωρίζειν ἄνδρας καὶ

XS (2 ἁπλῶς - κακῶν mutil.) CYVO

1 ἀνάβλεψιν : ἀνάβλεψις, corr. -ιν Y 2 ἐπανόρθωσιν : ἐπανόρθωσις V 2 post ἐπανόρθωσιν lacunam statui 3 ἡμῖν : ὑμῖν X 4 ὑμῖν : ἡμῖν X 4 προσέλθωμεν : -ομεν C 5 ἄνδρες om. S 6 ἐν XSCY : ἐπ' V 6 Ἐπαφρόδιτον XSCY : Ἐπαφροδίτῳ V 6 εὐηγγελίσατο : ηὐγγελίσατο S 8 αὐτοὺς : αὐτοῖς S 9 φυγαδεύειν Y : φυγαδεύεται S φυγαδεύετε XCV 11 ἀπορριψάμενοι SCY : ἀπορρηψάμενοι X ἀπορρίψαντες V 12 τὰ om. S 12 post εἰδώλων verbum δαιμονικὰ hab. V 13 ἦλθον : -ων S 13 ὁ om. V 13 κράζοντες XSCY : κράζοντα V

γυναῖκας ἀπ' ἀλλήλων. ἀποχωρισθέντων οὖν πάντων, προσκαλεσάμενος ὁ Ἐπαφρόδιτος τοὺς ἄνδρας, οὓς ἦν πρότερον βαπτίσας, ἐκέλευσεν τὰ φωτιστικὰ ἄμφια εὐτρεπίζειν ἕκαστον καί, "ἁγνίσασθε," εἶπεν, "ἡμέραν μίαν, εἶθ' οὕτως λαβεῖν τὴν χάριν τῆς ἀπολυτρώσεως, ἤγουν τὸ ἅγιον βάπτισμα." ἐκήρυξαν δὲ οἱ ἄνδρες ἐν τῷ λαῷ καὶ ἐκπέμψας εἷς ἕκαστος αὐτῶν, ἤνεγκαν τὰ ἄμφια τοῦ ἁγίου βαπτίσματος. πληρωθείσης οὖν τῆς ἡμέρας τῆς ὁρισθείσης ἁγνεῦσαι, ἦλθεν ὁ λαὸς ἐνώπιον Ἐπαφροδίτου, καὶ κατηχήσας ἅπαντας, ἐποίησε τὴν πρέπουσαν ἀκολουθίαν, καὶ ἐβάπτισεν ἅπαν τὸ πλῆθος, καὶ ἐν ἡμέραις ἑκατὸν πεντήκοντα προσεκαρτέρουν τῷ μακαρίῳ ἀπολαύοντες τῇ πνευματικῇ ἑστιάσει, καὶ ἄνθρωπος οὐκ ἦν ἐν αὐτοῖς Ἰουδαῖος μιαρός, οὐδὲ πάλιν Μοντανός, ἀλλ' ἦσαν Ἕλληνες ἅπαντες, καὶ τάχιον ἐπίστευον εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν. ἀενάως δὲ τὸ καθ' ἡμέραν ἐπετέλει σὺν τῷ βαπτισμῷ καὶ τὴν θείαν λειτουργίαν. πολλὰ δὲ σημεῖα ἐπετελοῦντο, ὅτε ἐν τῷ ἁγιασμένῳ ὕδατι κατήρχοντο,

XSCYVO

1 πάντων XS : ἁπάντων C ἐπ' αὐτῶν Y ἀπ' ἀλλήλων V 3 ἁγνίσασθε V : ἁγνείσασθε X ἁγνείσασθαι S ἁγνίζεσθαι CY 6 ἐκπέμψας : ἐκπέμψεν S 6 ἤνεγκαν om. XSCY 6 ἁγίου om. V 7 οὖν XS : δὲ CYV 8 ante Ἐπαφροδίτου verba τοῦ μακαρίου hab. V 9 - 10 καὶ ἐν ἡμέραις - μακαρίῳ : προσεκαρτέρουν δὲ τῷ μακαρίῳ ἑκατὸν πεντήκον ἡμέρας V 11 τῇ πνευματικῇ ἑστιάσει XSCV : τῆς πνευματικῆς ἑστιάσεως Y, fort. recte 11 - 12 αὐτοῖς Ἰουδαῖος : τοῖς Ἰουδαίοις C 12 Μοντανός XCY : Μοντανοῖς S Μουντανὸς V 13 ἐπίστευον YV : ἐπίστευων S ἐπιστεύσαν XC, fort. recte 14 τὸ καθ' ἡμέραν om. CY

καὶ ὅτε ἡ θεία λειτουργία ἐπετελεῖτο, ὡς καὶ ἐπὶ τὸν μακάριον Παγκράτιον, ὅτε μὲν ὡς πῦρ, ὅτε δὲ ὡσεὶ νεφέλη περικυκλοῦσα τὸν μακάριον Ἐπαφρόδιτον. ἀκούσαντες δὲ οἱ τοπάρχαι οἱ τῶν Μαζικῶν μερῶν καὶ τῶν Λιβυτῶν, συνῆλθον ἅπαντες καὶ ἐπίστευσαν ἐπὶ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν. Μελαμφόρος δὲ ὁ τοπάρχης τῶν ἐκεῖσε οὐ παρῆν, ἀλλ' ἐν τοῖς μέρεσι Μελίτου ἦν διαπλεύσας. ὅτε οὖν ἦλθεν κἀκεῖνος, ἐβαπτίσθη, καὶ ἐπίστευσαν τῷ θεῷ ἅπαντα τὰ πλήθη, καὶ ἡ τῶν εἰδώλων ἀχλὺς ἡ σκοτῶσα τὰς καρδίας τῶν ἀνθρώπων, τοῦ ἡλίου τῆς δικαιοσύνης ἀνατείλαντος, ὤλετο, καὶ ἐτάκησαν ἅπαντες οἱ βωμοὶ τῶν εἰδώλων τῇ παρουσίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. ὡς δὲ ἅπαντες οἱ ὄχλοι πεπιστεύκασι καὶ οἱ τοπάρχαι, ἐκέλευσεν ὁ Ἐπαφρόδιτος τοὺς πρώτους συνελθεῖν. συνελθόντων οὖν πάντων, εἶπεν πρὸς αὐτούς, "τεκνία μου ἐν Χριστῷ Ἰησοῦ, ὁ θεὸς ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς, αὐτὸς ἔπλασεν ἡμᾶς, καὶ ἡμεῖς λαὸς αὐτοῦ καὶ πρόβατα νομῆς αὐτοῦ. ὡς δὲ

XS (3 Ἐπαφρόδιτον ἀκούσαντες mutil.) CYVO

14 - 15 1 Tim. 3:7

1 - 2 τὸν μακάριον Παγκράτιον XCY : τὸν ἅγιον Παγκράτιον S τῷ μακαρίῳ Παγκρατίῳ V 2 ὡσεὶ XV : ὡσὴ S ὡς CY, fort. recte 3 Μαζικῶν XCYV : Μαζινῶν S 4 τῶν om. V 4 Λιβυτῶν V : Λυβητῶν XS Λυβιτῶν CY 4 ἐπὶ XSCY : εἰς V, fort. recte 5 τῶν : τοῦ S 7 ἅπαντα τὰ : ἅπαν τῷ S 8 σκοτῶσα nos : σκοτοῦσα XSCY σκοτώσασα V 9 βωμοὶ YV : βονοὶ X βουνοὶ S βωνοὶ C 11 ἐκέλευσεν XSCY : ᾐτίσαντο V 14 post γῆν verbum καὶ hab. CYV 14 αὐτὸς om. XSCY

λαὸς παρ' αὐτοῦ ἐκλεχθεὶς καὶ τῷ αἵματι αὐτοῦ ἐκ τῶν τοῦ διαβόλου παγίδων ἀγορασθείς, ποιήσωμεν αὐτῷ οἶκον εἰρηνικόν, ἔνθα καὶ τὴν θείαν λειτουργίαν ἐπιτελέσωμεν καὶ τὸ θεῖον καὶ Ἰορδανικὸν βάπτισμα." οἱ δὲ ἄνδρες πρὸς τὸν μακάριον Ἐπαφρόδιτον, "τιμιώτατε, κατὰ πάντα, ἃ λαλήσεις ἡμῖν, ἀκουσόμεθά σου." εἰσῆλθεν οὖν ὁ μακάριος καὶ ἐπετέλεσε τὴν θείαν λειτουργίαν, καὶ μεταδοὺς ἅπασι τῶν θείων καὶ ἀχράντων μυστηρίων, ἀπέλυσε τὸν πλεῖον λαὸν εἰς τοὺς ἰδίους τόπους εἰρηκὼς αὐτοῖς, "τὰς φαντασίας τοῦ διαβόλου μηδὲν ἡγεῖσθε, ἀλλ' εἴ καὶ πανουργεύσεταί τι ἐν ὑμῖν, τειχίζετε ἑαυτοὺς τῷ σημείῳ τοῦ σταυροῦ, καὶ οὐ μὴ ἐνεργήσει τι κακὸν ἐν ὑμῖν, ἐν ὀνόματι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ὃν καὶ πεπιστεύκαμεν, ἐν ᾧ καὶ βεβαπτίσμεθα. ἐν ταῖς πραπέζαις ὑμῶν, ὅτε καθέζεσθε ἐσθίειν τὰ βρώματα ὑμῶν, τὸν τύπον τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ ποιεῖτε λέγοντες, 'κύριε Ἰησοῦ Χριστέ, εὐλόγησον τὴν βρῶσιν ἡμῶν,' καὶ οὕτως ἐσθίετε, καὶ ὅτε ἐξέρχεσθε ἐκ τῶν οἴκων ὑμῶν, προσεύχεσθε

XSCYVO

1 παρ' αὐτοῦ post ἐκλεχθεὶς tr. V 2 ποιήσωμεν XYV : -σομεν SC 3 ἐπιτελέσωμεν XSV : -σομεν CY 5 λαλήσεις : λαλεῖς εἰς V 5 ἀκουσόμεθα XCYV : -σώμεθα S 7 θείων καὶ ἀχράντων S : θείων V ἀχράντων XCY 9 ἡγεῖσθε nos : ἡγεῖσθαι XSCYV 9 τειχίζετε CY : τειχήζετε X τειχείζεται S τειχίζεται V 10 τῷ σημείῳ XCY : τὸ σημεῖον S καὶ τῷ τύπῳ V 10 ante σταυροῦ verbum τιμίου hab. V 10 - 13 καὶ οὐ μὴ - σταυροῦ om. V, propter homoeoteleuton 10 ἐνεργήσει XCY : ἐνεργείση S 12 καθέζεσθε nos : -εσθαι XSCYV 14 post Χριστὲ verba ὁ θεὸς hab. S, ὁ θεὸς ἡμῶν hab. CY 14 ἡμῶν : ὑμῶν Y 15 ἐξέρχεσθε CYV : -εσθαι XS 15 προσεύχεσθε CYV : -εσθαι XS

λέγοντες, 'κύριε Ἰησοῦ Χριστέ, κατεύθυνον τοὺς πόδας ἡμῶν εἰς ὁδὸν εἰρήνης,' καὶ τὸ 'πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς'. δευτέραν ἡμέραν καὶ τρίτην, τετάρτην τε καὶ πέμπτην, καὶ παρασκευὴν μέχρι σαββάτου ὥρας ἕκτης, ἐργάζεσθε ἐν τοῖς ὑμετέροις ἔργοις, ἀπὸ δὲ ἕκτης ὥρας, ἐπιβήτω ἕκαστος ἐπὶ τὸν ἵππον αὐτοῦ ἢ καὶ ἡμίονον ἢ καὶ ὑποζύγιον, καὶ ἐλθέτω τὸ μῆκος τῆς ὁδοῦ, τοῖς δὲ οὐχ ὑπάρχει ἄλογον, ἐλθέτω ἐπιβὰς τῇ ἰδίᾳ ἡλικίᾳ, ἵνα ἀκούσῃ τοῦ προφήτου Δαυὶδ τὰ ᾄσματα, Παύλου τοῦ ἀποστόλου τὰ δόγματα, τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τὴν ἁγίαν καὶ κυριόλεκτον φωνήν, καὶ πᾶσι τοῖς ἀγαθοῖς τούτοις ἀπολαύοντες διὰ τῆς ἀκοῆς, δέξασθε τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν βασιλέα τῆς δόξης, τὸ ζωοποιὸν σῶμα καὶ αἷμα αὐτοῦ. περὶ δὲ τῶν ἐν τῷ οἴκῳ ἐγκαταλιμπανομένων, ἡμεῖς ὑπὲρ αὐτῶν εὐχὴν ποιούμεθα, ἀλλὰ καὶ ἐν σκότει φῶς λάμψοιεν, ἅπαν τὸ σκότος ἐκφεύγοι καὶ τὸ φῶς φαίνοι. οὕτως λοιπὸν ὁ ἐν τῇ ἐκκλησίᾳ ἀπερχόμενος καὶ ἀκούων τῶν θείων γραφῶν καὶ μεταλαμβάνων τοῦ σώματος καὶ αἵματος τοῦ κυρίου

XSCYVO

3 τε om. Y 4 ἐργάζεσθε CY : -εσθαι XSV 4 ὑμετέροις ἔργοις CY : ὑμετέροις XS, fort. recte ἡμετέροις V 5 ἐπιβήτω S : -ήτο XCYV 5 ἐπὶ XSV : εἰς Y, om. C 5 ἢ (1) om. SCYV 5 ἢ (2) XSV : εἰ C, om. Y 6 ἐλθέτω S : -έτο XCY -άτο V 6 τῆς om. V 6 τοῖς δὲ XSCY : εἰ καὶ V 6 οὐχ ὑπάρχει XSCY : οὐχ ὑπέστιν V 6 ἄλογον om. V 6 ἐλθέτω (2) SC : -έτο XY -άτο V 7 ἐπιβᾶς post ἡλικίᾳ tr. V 7 ἀκούσῃ XSYV : ἀκούσει, corr. -η C 7 τὰ ~~ : καὶ S 8 δόγματα XSCY : διδάγματα V 8 Χριστοῦ om. Y 9 τούτοις post ἀπολαύοντες tr. V 10 δέξασθε XCY : -ασθαι SV 12 ἐγκαταλιμπανόμενων V : ἐγκαταλειμπανομένων XC ἐγκαταλυπομένων S καταλειμπανομένων Y 12 εὐχὴν : εὐχὰς Y 13 ἐκφεύγοι CY : ἐκφεύγει XV, fort. recte ἐκφυγοίεν S 14 φαίνοι C : φαίνει XYV, fort. recte φένοιεν S 14 ἀκούων post γραφῶν tr. Y 15 γραφῶν : ὕμνον S

ἡμῶν Ἰησοῦ Χριστοῦ, ἀπερχόμενος ἐν τῷ οἴκῳ αὐτοῦ ὡς ἁγιασθεὶς ἁγιάζει πάντα τὰ ἐν τῷ οἴκῳ πίστει εἰλικρινῇ τὸ τοῦ Χριστοῦ ὄνομα περιφέρων ἐν τῷ στόματι. τοῦτο δὲ λέγω πρὸς τοὺς δι' εὐλόγους αἰτίας ἀπολιμπανομένους· διὰ τὸ μῆκος γὰρ ἕτερον πάλιν λέγω, ὡς ἱερέως ἢ ἐκκλησίας μὴ παρόντων· ἀπὸ γὰρ ἕξ, εἰ καὶ δέκα, λέγω ὑμῖν τοῖς δυνατοῖς, ἀλλὰ καὶ τριάκοντα σταδίων, ὡς προεῖπον, ἐν τῇ ἐκκλησίᾳ ἀπέρχεσθαι ὑμᾶς χρή, ἵνα βλέπων ὁ διάβολος τὸ σπουδαῖον ὑμῶν τὸ εἰς Χριστόν, πλεῖον ἡττηθῇ, καὶ ὁ θεὸς τῆς εἰρήνης ἔσται μεθ' ὑμῶν, ἀμήν." ἐξῆλθον οὖν οἱ ὄχλοι πεφωτισμένοι τὰς λογικὰς αὐτῶν ψυχὰς τῇ χάριτι Χριστοῦ τοῦ θεοῦ ἡμῶν. οἱ δὲ λοιποὶ οἱ συμπαρόντες Ἐπαφροδίτῳ, ἐπιλεξάμενοι τόπον ἐπιτήδειον, ἀπῆλθον ἅμα τῷ πρεσβυτέρῳ, καὶ δακτυλοτυπήσας λέγει τοῖς ὄχλοις, "ἐνθάδε ποιήσωμεν ἐκκλησίαν· ἀλλά, τέκνα μου, τοῦτο τὸ ἔργον χωρὶς τοῦ ἁγιωτάτου ἐπισκόπου οὐ τελεσιουργεῖται. μείνωμεν δὲ ἕως ὅτου ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καὶ τοῦτο τὸ ἔργον ἡμῖν πληρώσει. ἐν τῷ

XSCYVO

8 cf. Rom. 15:33

3 περιφέρων XCY : φέρων S περιφέρον V 3 λέγω V : λέγει XSCY 3 πρὸς om. XSV 3 αἰτίας om. X 4 ἀπολιμπανομένους XV : ἀπολειμπανομένους SCY 4 - 5 ὡς ἱερέως ἢ ἐκκλησίας μὴ : ὡς ἱερέων μὴ ἐκκλησίας S 5 εἰ om. XS 7 ἀπέρχεσθαι XSC : ἀπέρχεσθε Y ἔρχεσθαι V 7 ὑμᾶς XSV : ἡμᾶς CY 7 σπουδαῖον : σπουδέον V 8 πλεῖον XSCY : πλέον V 8 ἡττηθῇ XCY : ἡττηθεῖ S ἡτθηθὴ V 8 ἔσται : ἔστε S 9 ἐξῆλθον XCY : -ων S -αν V 9 αὐτῶν post ψυχὰς tr. CY 10 ante Χριστοῦ verbum Ἰησοῦ hab. S 11 Ἐπαφροδίτῳ CYV : Ἐπαφροδίτου XS 11 ἀπῆλθον XCY : -ων S -αν V 13 ποιήσωμεν SYV : -σομεν XC 14 μείνωμεν S : -ομεν XCYV 15 ἡμῖν om. S 15 τῷ om. V

τέως τὴν παροῦσαν ὕλην ἐκκαθάρωμεν." καὶ ἐπιλαβόμενοι τὸ πρόσωπον τοῦ τόπου, ἐκαθάρισαν. ἦλθεν οὖν ἡ ἀκοὴ εἰς τὸν ἁγιώτατον Μαρκιανὸν περὶ τῶν πεπραγμένων ὑπὸ τοῦ Ἐπαφροδίτου, ὅτι, "ἀνήρ τις ἱεροπρεπὴς πέφηνεν ἐν ταῖς ἐπαρχίαις Μελαμφόρου καὶ θαύματα πολλὰ ποιεῖ, καὶ πάντας βαπτίζει εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος," καὶ λέγει ἑαυτὸν πρεσβύτερον χειροτονηθέντα ὑπὸ Παγκρατίου ἐπισκόπου τῆς Ταυρομενιτῶν πόλεως. ἀκούσας δὲ ὁ ἁγιώτατος Μαρκιανός, ὅτιπερ ἐν ταῖς ἐπαρχίαις αὐτοῦ ὁ Παγκράτιος χειροτονίαν πεποίηκεν, ἤρξατο ἐν ἑαυτῷ λέγειν, "ὦ Παγκράτιε ἐπίσκοπε, οὕτως τάχιον ἐπελάθου τῆς τῶν ἁγίων ἀποστόλων διδασκαλίας ὑπερόρια διαβαίνειν;" ἐνέγκας οὖν ὁ μακάριος ἕνα τῶν μαθητῶν αὐτοῦ, διεχάραξε γράμματα καὶ διεπέμπεται Παγκρατίῳ, ὅτιπερ οὐκ ἦν τῷ ἁγιωτάτῳ Μαρκιανῷ ἕτερόν τι λυπηρόν, εἰ μὴ τὸ ἑκουσίᾳ γνώμῃ τοὺς ὅρους παρελθεῖν, καὶ φησίν,

XSCYVO

1 ἐκκαθάρωμεν XSV : ἐκκαθάρωμεν, corr. -ομεν C ἐκκαθάρομεν Y 2 ante ἦλθεν verba *Περὶ τοῦ ἁγίου Μαρκιανοῦ* hab. XS, *Περὶ τοῦ ἁγίου Μαρκιανοῦ ἀρχιεπισκόπου Συρακοῦις* hab. Y 2 εἰς XSCY : πρὸς V 2 ἁγιώτατον : ἅγιον S 3 τοῦ om. V 4 πέφηνεν XS : πέφαντο CY πέφανται V 5 πάντας XS : ἅπαντας CYV 5 καὶ (1) om. S 8 ἁγιώτατος : μακάριος V 10 ἁγίων om. V 12 διεπέμπεται XV : διαπέμπεται S διαεκπέμπεται CY 13 ὅτιπερ XCYV : ὅτι S 14 - 329.3 *Паγкратίѡ - Паγкрáтιє*] *Панкратію святѣйшему епископу Тауроменьскаго града сдѣлнику и сьслоужебникоу Маркианъ епископь Соуракоуска града, ѡ господи радоватисе - Тако намъ лѣпо есть истины приносити, церковныѥ все преданиѥ хранити, и не прѣходити, ни прѣзрѣти что ѡ̃ с̃тыихь а̃пль прѣданнааго. нь дѣломь и словомь хранити ѡ̂собь причестиѧ нашего, ѥго же причестихомсе. Кто бо, брате Панкратіе, ѡ̃ньмь причестиѥ братне въ ветсѣмъ завѣтъ не мьздовьздавствоѡтеть; Дивлюсе, аще святыня твоѧ створи оустави с̃тыхь а̃пль прѣстоупити. да аще мы се наоучимь. самовидь сихь всѣхь бывше, иже ны приѥти хотеще, кый успѣхъ въ ц̃рковныихь имоуть имѣти. Не мни же, яко на лоукахь нѣкацѣхъ сіе къ твоѥи с̃тыни вьписахь, нь да поменовеніѥ приѥмь сьдравоѥ слово б̃жиѥ схраниши, и явѣ створиши намь, аще по б̃жетвномоу ѡ̂бавлению бы сіе. аше ли ни, строй по оуставомъ с̃тыхь а̃пль межю нами да боудеть, имъ же ѡбласть оуставимь, въ ѡбласти града моѥго прѣиде. Ꙗко же бо прѣди рѣхь брате не на лоукахь ти се вьписахь, нь понеже печаль сѫще моѥ испльни. имъ же прѣиде заповѣдь прѣданоую намь ѡ̃ь с̃тыхь а̃пль. ѧкы ѡ̃ врага диѧвола ѡ̂клеветати ны хотещоу. оуповаю ѡ̂ г̃ѣ нашемъ Іс хр̃ѣ, ѧко вь ѥдинени намь сущемь и вь бл̃годѣѭнии д̃ховнѣмь диѧволь изринетсе и погибнеть, и г̃на паства оутврьдитсе. Здравоуй ѡ̂ г̃ѣ, брате Панкрате.* Usp

"Παγκρατίῳ τῷ ἁγιωτάτῳ ἐπισκόπῳ τῆς Ταυρομενιτῶν πόλεως ἡμετέρῳ συμπράκτορι καὶ συλλειτουργῷ, Μαρκιανὸς ἐπίσκοπος τῆς Συρακουσῶν πόλεως, ἐν κυρίῳ χαίρειν.
οὕτως ἡμῖν, ἀδελφέ, τὸ πρέπον τῆς ἀληθείας ἐμφέρει τῆς ἐκκλησιαστικῆς ἱστορίας ἅπασαν παράδοσιν διαφυλάττειν καὶ μὴ παρέρχεσθαι, μήτε παρορᾶν τι ἐκ τῶν ἁγίων ἀποστόλων παραδοθέν, ἀλλ' ἔργῳ καὶ λόγῳ φυλάττειν τὴν ὑπόστασιν τῆς κληρονομίας ἡμῶν, ἣν ἐκληροδοτήθημεν. τί γάρ, ἀδελφὲ Παγκράτιε, ὁ ἀφελόμενος τὴν κληρονομίαν τοῦ ἀδελφοῦ ἐν τῇ Παλαιᾷ Διαθήκῃ, οὐχὶ τὴν μισθαποδοσίαν εἴληφεν; θαυμάζω πῶς ἡ σὴ ἁγιωσύνη τοῦτο πεποίηκε τοὺς ὅρους τῶν ἁγίων ἀποστόλων παρελθεῖν. εἰ ἡμεῖς ταῦτα διδάξομεν, οἱ αὐτόπται τούτων ἁπάντων γεγονότες, οἱ

XSCYVO

1 *Παγκρατίῳ* post *ἁγιωτάτῳ* tr. V 2*β* post *πόλεως* verba *ἐπιστολὴ τοῦ ἁγιωτάτου Μαρκιανοῦ πρὸς τὸν ἔνδοξον Παγκράτιον* hab. X 3 *Μαρκιανὸς* post *ἐπίσκοπος* tr. S 3 - 4 *Συρακουσῶν* : *Σαρακουσῶν* S 5 *ἐμφέρει* V : *ἐνφέρει* CY *ἐμφέρειν* XS 6 *ἅπασαν* CYV : *ἅπασιν* XS 7 ante *διαφυλάττειν* verbum *καὶ* hab. CY 7 *μήτε* XSCY : *μήδε* V 10 *τί* XS : *τίς* CYV 10 *ὁ* om. CYV 13 *πῶς ἡ σὴ* V : *ἡ σὴ* XY *ἡ ἡ σὺ* S *ἡ ἡ σὴ* C 14 *ἁγίων* om. S 15 *διδάξομεν* XV : *-ωμεν*, corr. *-ομεν* C *-ωμεν* SY, fort. recte

ἡμᾶς διαδέχεσθαι μέλλοντες, ποίαν ὠφέλειαν ἐν τοῖς τῆς ἐκκλησίας ὅροις ἕξουσιν; μὴ νομίσῃς δὲ ὅτι εἰρωνείᾳ τινι ταῦτα τῇ σῇ ἁγιωσύνῃ γεγράφηκα, ἀλλ' ἵνα ὑπόμνησιν λαβών, ὑγιαίνων, τὸν λόγον τοῦ θεοῦ τηρήσῃς καὶ δηλοποιήσῃς ἡμῖν, ἐὰν κατὰ θείαν ἀποκάλυψιν ἐγένετο. εἰ δὲ μή, συμβιβασμὸς κατὰ τοὺς ὅρους τῶν ἁγίων ἀποστόλων ἀναμεταξὺ ἡμῶν γενήσεται δι' ὅ, τὰς ἐπαρχίας σου ἐάσας, τῶν ἐπαρχιῶν τῆς πόλεώς μου ἐπέβης· ὡς προεῖπον γάρ, ἀδελφέ, οὐχὶ εἰρωνείᾳ ταῦτα ἔγραψά σοι, ἀλλ' ὅτι λύπη πεπλήρωκε τὴν καρδίαν μου, δι' ὃν παρῆλθες τὴν ἐντολὴν τὴν ἡμῖν παραδοθεῖσαν ὑπὸ τῶν ἁγίων ἀποστόλων, ὡς ἐκ τοῦ ἐχθροῦ διαβόλου τι κατηγορεῖν ἡμῖν βουλομένου. θαρρῶ δὲ εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ὅτι ἐν ἑνώσει ἡμῖν, καὶ ἐν ἀγαθοεργίᾳ

XSCYVO

1 ante ἡμᾶς verbum ὑπὸ hab. S 1 διαδέχεσθαι XSV : δέχεσθαι C δέχεσθε Y 2 ἕξουσιν V : ἔξωσιν XSCY 2 νομίσῃς V : νομήσῃς XCY νωμήσεις S 3 εἰρωνείᾳ nos : ἠρωνίᾳ XSCYV 3 τῇ σῇ ἁγιωσύνῃ XSV : τῆς ἁγιωσύνης C τῆς ἁγιοσύνης Y 3 post γεγράφηκα verba τῆς σῆς hab. CY 5 τηρήσῃς V : τειρήσῃς X τηρίσῃς S τηρήσεις CY 5 δηλοποιήσῃς XC : δηλοποιήσεις SY δειλοποιήσης V 5 post δηλοποιήσῃς verbum ἡμῖν hab. XSCY 8 δι' ὃ S : διὰ τὸ XCYV 9 ante ὡς verba οὐχ εἰρονίᾳ hab. X 9 προεῖπον : προεῖπων Y 10 οὐχὶ εἰρωνείᾳ om. X 11 δι' ὃν C : δι' ὧν XSV διότι Y 10 - 11 τὴν ἐντολὴν τὴν : τῶν ἐντολῶν τῶν V 12 ἡμῖν : ὑμῖν S 12 παραδοθεῖσαν : παραδοθέντων V 12 post ἁγίων verbum τούτων hab. S 13 ἐχθροῦ om. CY 13 διαβόλου : διαβολικοῦ S 14 βουλομένου XSCY : βουλομένων V 14 δὲ : δεῖ S 15 ἡμῖν XCY : μῖν S ἦμεν V

πνευματικῇ ὄντων, ὁ διάβολος ἐκπορθεῖται καὶ ἀπόλλυται, καὶ ἡ τοῦ Χριστοῦ ποίμνη ἱδρυνθήσεται. ἔρρωσο ἐν κυρίῳ, ἀδελφὲ Παγκράτιε."

διαπλεύσας οὖν ὁ τὴν ἐπιστολὴν λαβὼν ὑπὸ τοῦ ἁγιωτάτου Μαρκιανοῦ, ἦλθεν πρὸς ἡμᾶς. δεξάμενος δὲ τὰ γράμματα ὁ μακάριος Παγκράτιος καὶ ἀναγνούς, λέγει τῷ κομίσαντι τὴν ἐπιστολήν, "πῶς ὁ ἐν κυρίῳ ἀδελφὸς ἡμῶν Μαρκιανός; πῶς ἡ πόλις;" εἰρηκότος οὖν τοῦ ἀνδρός, "ἅπαντα, διὰ τῶν ἁγίων εὐχῶν ὑμῶν, ἐν εἰρήνῃ." λαβὼν ὁ μακάριος ἐμὲ καὶ Λυκαονίδην, λέγει πρὸς ἡμᾶς, "οἴδατε, ὅτι ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς συνεργὸς ἐγένετο Ἐπαφροδίτῳ τῷ ἀδελφῷ." ἡμεῖς δὲ ηὐχαριστήσαμεν τῷ κυρίῳ, ἀκούσαντες τοῦ μακαρίου εἰπόντος οὕτως διὰ τὸν Ἐπαφρόδιτον. τότε ὁ μακάριος ἀνέγνω ἐνώπιον ἡμῶν· ἦν γὰρ ὁ μακάριος, εἰ καὶ πρὶν τὴν ἐπιστολὴν δεξάμενος, οὕτως γνοὺς τῷ πνεύματι τὰ κατὰ τὸν Ἐπαφρόδιτον, οὐ

XSCYVO

1 ἐκπορθεῖται CYV : ἐκπορθῆτε X ἐκπορθεῖτω S 2 ἀπόλλυται correxi : ἀπολεῖτε XYV ἀπολεῖται SC 5 post ἁγιωτάτου verbum ἐπισκόπου hab. Y 6 δεξάμενος δὲ CYV : καὶ δεξάμενος S δεξάμενος X 6 τὰ om. Y 6 γράμματα post Παγκράτιος tr. Y 6 μακάριος : ἅγιος Y 7 ὁ post κυρίῳ tr. V 9 post ἅπαντα verbum τὰ hab. V 9 τῶν ἁγίων εὐχῶν ὑμῶν XS : τὴν ὑμῶν εὐχὴν CY τῶν εὐχῶν ὑμῶν τῶν ἁγίων V 9 ἐν om. S 9 post εἰρήνῃ verba καὶ ἀγάπῃ hab. CY 11 συνεργὸς SYV : συνεργῶς X συνεργὼς, corr. -ὸς C 12 ἀκούσαντες : ἀκούσαντος S 13 εἰπόντος om. XSCY 13 τὸν om. V 14 post μακάριος verbum Παγκράτιος hab. V 14 πρὶν om. CYV 15 οὕτως : οὗτος Y 15 τὰ om. SCV

μὴν ἀλλὰ καὶ ὁ ἁγιώτατος Μαρκιανὸς ἦν καὶ αὐτὸς γνούς, ὅτι κατὰ θείαν ἀποκάλυψιν ἦν ὁ ἁγιώτατος Παγκράτιος χειροτονήσας αὐτὸν καὶ ἀπολύσας ἐν τοῖς τόποις ἐκείνοις. λέγει οὖν ὁ μακάριος Παγκράτιος πρός με, "τέκνον, καὶ ἡμεῖς χαράξωμεν γράμματα, καὶ ἄπελθε πρὸς τὸν ἁγιώτατον Μαρκιανόν," καὶ λαβὼν τὸν χάρτην ὁ μακάριος, καὶ εἰσελθὼν ἐν τῷ εὐκτηρίῳ, διεχάραξεν οὕτως,

> "Μαρκιανῷ τῷ ἁγιωτάτῳ ἐπισκόπῳ τῆς Συρακουσῶν πόλεως καὶ ἡμετέρῳ συλλειτουργῷ, Παγκράτιος ἐπίσκοπος πόλεως Ταυρομενίας, ἐν κυρίῳ χαίρειν. τιμιώτατε πάτερ καὶ φίλε Χριστοῦ, δεξάμενος τὰ παρὰ σοῦ γραφέντα, καὶ ὑπαναγνοὺς τὴν κατὰ θεὸν διδασκαλίαν σου, ὡς τὸ μὴ παρέρχεσθαι ἡμᾶς τὰ ὑπὸ τῶν ἁγίων ἀποστόλων ὁροθετηθέντα, ἀλλ' ἕκαστον τῶν ἰδίων ἐπαρχιῶν τὰς φροντίδας ποιεῖσθαι, καὶ

XSCYVO

1 ἁγιώτατος : μακάριος V 1 post Μαρκιανὸς verba καὶ ἁγιώτατος hab. V 1 ἦν (1) om. S 2 Παγκράτιος om. Y 4 χαράξωμεν SY : -ομεν XCV 5 ἁγιώτατον : ἅγιον S 6 καὶ om. S 6 post οὕτως verba ἐπιστολὴ πρὸς τὸν ἅγιον Μαρκιανὸν hab. XS 8 ἐπισκόπῳ SCYV : ἀρχιεπισκόπῳ X 8 Συρακουσῶν : Σαρακουσῶν S 9 ante συλλειτουργῷ verba ἀδελφῷ καὶ hab. CY 10 ἐπίσκοπος : ἐπισκόπῳ Y 10 Ταυρομενίας X : Ταυρωμενίας S Ταυρομενείας CY Ταυρομενιτῶν V 11 παρὰ : περὶ Y 12 γραφέντα om. S , add X^1 in marg. 13 ἡμᾶς : ὑμᾶς, corr. ἡμᾶς S 14 ἕκαστον : ἕκαστος S 15 τῶν ἰδίων post φροντίδας tr. S 15 ἐπαρχιῶν om. XSCY 15 - 331.1 καὶ ἑκάστου πράγματος om. S 15 καὶ om. XCY

ἑκάστου πράγματος κατὰ τὴν ἐκκλησίαν ἡμῶν τὸν κίνδυνον ἔχειν, ὡς ἐκ τῶν ἡμετέρων πατέρων κληροδοτηθέντες, ὡς τέκνα ὑπὸ γονέων, καὶ μὴ ὑπερπηδᾶν ἡμᾶς ἀφ' ἑτέρας πόλεως εἰς ἑτέραν, ἢ χειροτονίας ποιεῖσθαι, ἢ ἐκκλησίας ἀνοικοδομεῖν, ὡς διδαχθέντες, 'ἕκαστος ἐν ᾧ ἐκλήθη, ἐν τούτῳ μενέτω.' λοιπόν, ἁγιώτατε, μὴ ὑπολάβῃ ἡ σὴ ἁγιωσύνη καὶ πνευματικὴ συνδιαγωγή, ὅτι κερδάναι τι τῶν ἐπαρχιῶν σου ἢ καταρπάσαι ἐβουλευσάμεθα, ὡς ἀρχὴν ὑπονοίας τινος εἰληφότες ἢ ὡς τῶν διδασκαλιῶν τῶν ἁγίων ἀποστόλων καταφρονοῦντες ἢ ὡς καταφρονηταὶ ἢ ὡς ἐξ ἀμαθίας τινος λήθης ἡμῖν διαδραμούσης, μὴ γένοιτο. ἐρῶ δέ σοι, ὦ ἁγιώτατε Μαρκιανὲ ἐπίσκοπε τῆς Συρακουσῶν πόλεως καὶ ἡμέτερε συλλειτουργέ, πῶς ἀπέσταλκα τὸν ἄνδρα καὶ ποίῳ τρόπῳ. ἤκουσα

XSCYVO

1 τὴν ἐκκλησίαν : τῆς ἐκκλησίας S 1 ἡμῶν om. XSCY 4 πόλεως XV : πόλεις SC πόλις Y 5 ἀνοικοδομεῖν : οἰκοδομὴν V 6 ἕκαστος om. V 6 ante μενέτω verbum καὶ hab. C 7/8 ante ἁγιώτατε verbum ὦ hab. CV 9 ἐβουλευσάμεθα : -σώμεθα S 10 τῶν διδασκαλιῶν (-ειῶν C) XSCY : τὸ διδασκάλιον V 11 καταφρονοῦντες ἢ ὡς om. V, propter homoearchon 12 ἀμαθίας : ἀμυθίας V 13 δέ post σοι tr. S 13 ὦ om. SCY 14 καὶ ἡμέτερε om. XS 14 συλλειτουργέ : λειτουργέ S 15 καὶ ποίῳ τρόπῳ om. Y

τρίτον φωνῆς· ἀλλ' οὐδὲ τὴν ἀρετὴν τοῦ ἀνδρὸς ἀπὸ σοῦ ἀποκρύψω, ἁγιώτατε, ὡς ἀρχὴν ἡμῖν γενέσθαι τοῦτον λόγον τοῦ θεοῦ διαγγέλλειν ἐν τῇ πόλει. οὗτος ὁ ἀνὴρ ἦν φιλόσοφος καὶ ἁπάσης τῆς πόλεως διακατέχων τὰς ἰατρικὰς βίβλους καὶ τὰ χαρτῶα τῶν συγγραμμάτων. ἦλθεν δὲ οὗτος μετὰ τὸ πιστεῦσαι τοὺς ἐν τῇ πόλει, καὶ ἐπέδωκέν μοι εὐαγγέλιον εἰπὼν ὅτι, 'τις ἀνὴρ φοβερός, ὡς ἤμην ἐν τῷ οἴκῳ μου, ἦλθεν καὶ ἐπέδωκέν μοι τὸ βιβλίον εἰρηκώς, 'λάβε τοῦτο τὸ βιβλίον τὸ ἐκ τῆς ἄνωθεν σοφίας στιχθέν.'' ὡς δὲ λελάληκέν μοι ὁ ἀνὴρ ταῦτα, ἐπιδεδωκώς μοι καὶ τὸ βιβλίον, ηὐχαρίστησα τῷ κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ τῷ ἀληθινῷ θεῷ ἡμῶν τῷ ἐπισκεψαμένῳ τὸ ἴδιον πλάσμα. γνοὺς δέ, ὦ ἁγιώτατε, τὸν ἄνδρα, ὅτι θεία χάρις ἦν ἐπ' αὐτόν, λαβὼν ἀπέκειρα αὐτὸν καὶ ἔδωκα

XSCYVO

1 *τρίτον* post *φωνῆς* tr. V 2 *ἀποκρύψω* : *κρύψω* V 2 *ὡς* om. XS

2 *γενέσθαι* CYV : *ἐγένετο* XS 3 *ἐν* : *ἐπὶ* V 3 *οὗτος* YV : *οὕτως* XSC 4 *ἦν* : *καὶ* S 5 *χαρτῶα* : *χαρτία* Y 5 ante *τῶν* verbum *παρὰ* hab. V 6 *οὗτος* YV : *οὕτως* XSC 8 *ἤμην* : *ἡμῖν* Y 9 *τὸ* (1) om. SCY 9 post *βιβλίον* (1) verbum *τοῦτο* hab. V 9 *τοῦτο* post *βιβλίον* (2) tr. V 10 *σοφίας* XV : *σοφία* SCY 12-13 *τῷ κυρίῳ - ἐπισκεψαμένῳ* : *τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν ἀληθινὸν θεὸν τὸν ἐπισκεψάμενον* V 14 *δέ* om. CY 14 *ὦ* om. CY 15 *αὐτόν* (1) SCY : *αὐτῷ* X, corr. *-ὸν* X^1 *αὐτῷ* V 15 *ἀπέκειρα* X : *ἀπέκηρα* SV *ἐπέκηρα* CY

αὐτῷ τὴν τοῦ διακόνου χειροτονίαν. ὀλίγων δὲ ἡμερῶν διελθουσῶν, ἤκουσα θεομήνυτον φωνὴν λέγουσαν πρός με, "Παγκράτιε, Ἐπαφρόδιτον τὸν διάκονον χειροτόνησον πρεσβύτερον καὶ ἀπόλυσον ἐν τοῖς μέρεσι Τορακινέας." τρίτον δὲ τοῦτό μοι ἤκουσται. λαβὼν δὲ πεποίηκα ὡς ἐκελεύσθην, ἐπειδή, ὡς προεῖπον, οὐχ ὡς καταρπᾶσαι σοῦ τι θελήσας, ὦ ἁγιώτατε, μὴ γένοιτο· τί γάρ μοι τριῶν ἡμερῶν ὁδὸν εἰς ἀλλοτρίαν ἐπαρχίαν πεποιηκέναι πρεσβύτερον, φησίν, ὡς μὴ ἐπαρχιῶν οὐσῶν μοι, οἶδεν κύριος Ἰησοῦς Χριστὸς ὁ καλέσας ἡμᾶς κλήσει ἁγίᾳ διὰ τῶν ἁγίων αὐτοῦ ἀποστόλων καὶ μαθητῶν, ὃς καὶ Ἐπαφρόδιτον καλέσας εἰς κλῆσιν ἁγίαν, ὅτι οὐ κατὰ ἴδιον θέλημα ἔπεμψα ἐν ταῖς ἐπαρχίαις σου τὸν ἡμέτερον ἀδελφόν, ἀλλὰ κατὰ θείαν ἀποκάλυψιν. ὅμως οὖν, ἁγιώτατε, σὸς

XSCYVO

2 θεομήνυτον SV : θεομηνοιτὸν CY θεομηνυτὴν X 3 διάκονον V : διάκονα XSCY 4 χειροτόνησον XSCY : χειροτονήσας V 4 καὶ om. V 5 Τορακινέας XCY : Ταρακινέας S Τορακιναίας Y 5 τοῦτό (τούτῳ X) μοι ἤκουσται XCY : μοι τοῦτο ἤκουσται S ἤκουσα τοῦτο V 6 δὲ XS : οὖν CYV 6 ἐπειδή om. S 7 ὡς καταρπᾶσαι : ἁρπᾶσαι S 7 θελήσας om. CYV 7 ὦ om. SY 8 post μοι verbum ὡς hab. S 9 ἀλλοτρίαν CY : ἀλλοτρίας XV ἀλλωτρίας S 9 ἐπαρχίαν CY : -είας XS -ίας V, (post πεποιηκέναι tr. XCYV) 9 πρεσβύτερον XSCY : πρεσβυτέριον V 11 Χριστὸς om. Y 12 αὐτοῦ post ἀποστόλων tr. V 12 ὃς nos : ὦ X ὃ SCYV 13 ἁγίαν : ἁγίων Y 15 κατὰ θείαν : κατ' ἰδείαν S

καὶ ὁ πρεσβύτερος καὶ αἱ ἐπαρχίαι. τοῦτο δὲ ὁ κύριος Ἰησοῦς Χριστὸς ἀποκαλύψει τῇ σῇ ἁγιωσύνῃ. <μὴ> μοχθηρὸν δέ σοι γενέσθω, ὦ πάτερ, τοῦ ἐπισκέψασθαι τὸν ἡμέτερον ἀδελφὸν καὶ σύνδουλον Ἐπαφρόδιτον καὶ ἡμῖν εὔχεσθαι, ἵνα κατευοδώσῃ ἐν πᾶσι κύριος Ἰησοῦς Χριστὸς τοῖς αὐτὸν ἐπικαλουμένοις, ἀμήν."

δεξάμενος οὖν ἐγὼ Εὐάγριος τὰ παρὰ τοῦ κυρίου μου Παγκρατίου γραφέντα, συμπαραλαβὼν καὶ τὸν κομίσαντα ἡμῖν τὰ γράμματα, διέπλευσα καὶ ἦλθον ὅπου ἦν ὁ μακάριος Μαρκιανός. ἦν δὲ ἔξωθεν ἐν ταῖς δυσὶ πόλεσι τοῦ παραλίου οἰκῶν ἐν ἐπισήμῳ τόπῳ ἐν ταῖς τρωγλοδίαις τῶν Μοντανῶν καὶ πλησίον τῶν Ἰουδαίων τῆς βοῆς, ἄντικρυς δὲ τῆς οἰκήσεως τῶν μιαρωτάτων. ὡς δὲ κατήξαμεν ἐν τῷ τόπῳ τῆς ἀλαλάξεως τῶν μιαρῶν Ἰουδαίων, προλαβὼν ὁ ἀνὴρ ὁ σὺν ἐμοί, εἶπεν τῷ μακαρίῳ Μαρκιανῷ, ὅτι, "ἤκαμεν, πάτερ, διὰ τῶν

XSCYVO

1 ante καὶ (2) verbum σαὶ hab. C 1 τοῦτο : τοῦ V 1 ὁ (2) om. S 1 post κύριος verbum ἡμῶν hab. CV 2 ἀποκαλύψει XSYV : ἀποκαλύψη C 2 σῇ V : ὑμετέρᾳ XSC ἡμετέρᾳ Y 2 <μὴ> supplevi 3 σοι om. S 5 κατευοδώσῃ V : κατευοδώσει XS κατευωδώσει C κατευοδώσι Y 6 αὐτὸν : αὐτοῦ Y 8 οὖν XY : δὲ SCV 8 παρὰ : περὶ Y 8 μου om. S 10 διέπλευσα : διεύπλευσαν Y 10 ἦλθον : ἤλθων S 11 τοῦ XSCY : τῆς V 11 παραλίου : παλίου Y 12 τρωγλοδίαις nos : τρογλοδίαις XY τρογλωδίαις S τρογλαδίαις C τρογλωδυσίας V 12 Μοντανῶν XSY : Μουντανῶν V πετρῶν C 12 πλησίον V : πλησίων XSCY 13 τῆς om. S 14 κατήξαμεν : κατήλθωμεν S 14 ἀλαλάξεως : ἀλλάξεως C 14 μιαρῶν : μιαρωτάτων S 14 ὁ (2) X : καὶ S, om. CYV 14 - 15 σὺν ἐμοὶ post αὐτοῦ tr. C

ἁγίων εὐχῶν σου. ἀπέστειλεν δὲ Παγκράτιος σὺν ἐμοὶ τὸν μαθητὴν αὐτοῦ, δεδωκὼς αὐτῷ καὶ γράμματα." ἀκούσας δὲ ὁ ἁγιώτατος Μαρκιανός, ἐξῆλθεν ἀόκνως καὶ προσυπήντησεν ἡμῖν. ἑωρακὼς δέ με, ἐτάχυνεν πρός με. ὡς δὲ ἤγγισεν τοῦ ἀσπάσασθαί με, ἔπεσα ἐπὶ πρόσωπόν μου, ἐπεὶ εἶδον ἀγγελικὴν δόξαν περικυκλοῦσαν αὐτόν. κρατήσας δὲ καὶ ἐπευξάμενός μοι, ἀνέστησεν καὶ φησὶν πρός με, "ὁ κύριος, τέκνον, διαφυλάξῃ σε ἐν πάσαις ταῖς ὁδοῖς σου," καὶ λαβόμενός με ἐκ τῆς χειρὸς εἰσήλθομεν ἔν τινι μονοτάτῳ κελλίῳ. οἱ δὲ μαθηταὶ τοῦ μακαρίου ἐν ἑτέροις κελλίοις ὑπῆρχον μετὰ τῶν παίδων τῶν νέων, καὶ καθίσας ὁ μακάριος ἐκέλευσεν κἀμοὶ καθίσαι, καὶ ἐπέδωκα ἐν ταῖς χερσὶν αὐτοῦ τὰ γράμματα. ὁ δὲ μακάριος διακατέχων τὴν ἐπιστολὴν καὶ οὔπω ἀναγνοὺς λέγει πρός με, "πῶς, τέκνον Εὐάγριε, ὁ ἀδελφὸς Παγκράτιος; πῶς ἡ πόλις; πῶς τὰ καθ' ὑμᾶς πάντα ἐβραβεύθη, ὦ τέκνον;" ἐμοῦ δὲ εἰρηκότος, "καλῶς, διὰ Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν καὶ τῶν εὐχῶν ὑμῶν τῶν ἁγίων," ἀνατείνας τὸ ὄμμα εἰς τὸν

XSCYVO

1 post δὲ verbum καὶ hab. Y 5 ἐπεὶ : διότι S 5 εἶδον XCY : ἴδον SV 6 ἀνέστησεν : ἀνέστην C 7 διαφυλάξῃ nos : διαφυλάξει XSYV φυλάξει C 7 σου : αὐτοῦ C 8 εἰσήλθομεν nos : εἰσήλθαμεν V ἤλθαμεν CY 8 - 10 οἱ δὲ μαθηταὶ - καὶ om. S 10 καθίσας XSV : καθήσας CY 10 κἀμοὶ : καὶ ἐμοὶ V 10 καθίσαι CV : καθῆσαι XSY 11 διακατέχων XCYV : κατέχων S 12 Εὐάγριε om. S 14 ἐμοῦ δὲ εἰρηκότος : εἴρηκα αὐτῷ S 14 - 15 Ἰησοῦ Χριστοῦ - ἁγίων : εὐχῶν σου S 15 post ἀνατείνας verbum δὲ hab. S 15 τὸν CYV : τῶν X om. S

οὐρανὸν καὶ στενάξας ἐκ βάθους καρδίας, ἐδόξασε τὸν τῶν ὅλων δεσπότην Ἰησοῦν Χριστὸν τὸν ἀληθινὸν θεὸν ἡμῶν. λέγει οὖν πάλιν, "τέκνον Εὐάγριε, ὡς οἶμαι, λελύπηκα τὸν κύριν Παγκράτιον γράψας αὐτῷ ἐπιστολὴν περιέχουσαν τὰ ῥήματα ταῦτα. πίστευε, τέκνον, καὶ ἐμοῦ τὴν ἀλήθειάν σοι λέγοντος, ὅτι μετὰ τὸ γράψαι με καὶ ἀποστεῖλαι πρὸς ὑμᾶς τὰ τῇ ἐπιστολῇ ἐγκείμενα, τότε ἀπεκαλύφθη μοι καὶ ἔμαθον τὴν τοῦ πράγματος δύναμιν, καὶ πλειοτέρᾳ θλίψει περιπέπτωκα· ἀλλὰ καὶ πάλιν χαίρω εἰς τὸ ἡμᾶς διὰ τῆς προφάσεως ταύτης ἀλλήλους ἀνιστορηθῆναι. ἀφ' οὗ δὲ λοιπὸν κεκόσμηκέν με ἡ τοῦ κυρίου μου Παγκρατίου διδασκαλία, καὶ ἐγνώρισα διὰ τῆς θείας ἀποκαλύψεως τὴν τοῦ πράγματος δύναμιν, ἀπέστειλα ἕνα ἐκ τῶν ἐμῶν μετρίων μαθητῶν θαρσοποιῆσαι Ἐπαφρόδιτον τὸν ἐμὸν ἀδελφὸν καὶ συνεργὸν ἐν κυρίῳ, δεδωκὼς αὐτῷ καὶ τὴν τοῦ σταυροπηγίου παράθεσιν καὶ τῆς οἰκοδομῆς ἐπάρξασθαι, ὡς πληρουμένου τοῦ ἔργου τοῦ εἰρηνικοῦ οἴκου, καὶ τοῦ ἐνθρονιασμοῦ ἀξιωθήσεται παρὰ τῶν ἐμῶν χειρῶν."

XSCYVO

2 δεσπότην XSY : ποιητὴν CV 2 θεὸν post ἡμῶν tr. XSY 4 αὐτῷ : οὖν S 4 τὰ om. V 4 ταῦτα XSCY : τοιαῦτα V 5 γράψαι XSV : γράψε Y γράψασθέ C 6 πρὸς ὑμᾶς om. V 6 τῇ ἐπιστολῇ XSY : τῆς ἐπιστολῆς CV 7 πράγματος : γράμματος C 7 ἀλλὰ XSCY : ἀλλ' ὅμως V 8 ἀλλήλους XSCY : ἀλλήλοις V 9 ἀναστορηθῆναι nos : ἀναστοριθῆναι XSC, (corr. -ηθῆναι C) ἀναστορισθῆναι V 9 μου om. S 10 post ἀποκαλύψεως verbum ὡς hab. C 12 post θαρσοποιῆσαι verbum καὶ hab. C 12 ἀδελφὸν καὶ συνεργὸν post ἐμῶν tr. Y 13 τοῦ om. XCY 13 σταυροπηγίου XYV : σταυρωπηγίου SC 14 πληρουμένου SCYV : πληρωμένου X 14 τοῦ ἔργου om. V 15 χειρῶν om. V

ἠγέρθη οὖν ὁ μακάριος ταύτην τὴν συντυχίαν πληρώσας, ὡς ἄγγελος θεοῦ, πῦρ περιαστράπτων, καὶ ἤλθομεν ὅπου ἦσαν οἱ μαθηταὶ τοῦ μακαρίου, καὶ κατήλθομεν ἔτι ὀλίγον, ὅπου ἦν δίκην κολυμβήθρας. καὶ λέγει, ὡς κατεῖχεν τὴν ἐπιστολήν, "τέως, τέκνον, ὑπαναγνώσωμεν τὴν ἁγιωτάτην ἐπιστολὴν τοῦ ἡμετέρου ἀδελφοῦ Παγκρατίου, καὶ εἰθ' οὕτως ὑποδείξω σοι τῶν ἀνθρώπων τοῦ Σατανᾶ τὰ θυσιαστήρια." σταθέντες οὖν, ὅ τε ἐγὼ καὶ ὁ μακάριος Μαρκιανὸς ἐν ἀναφορικῷ τόπῳ, ἀνέγνω τὴν ἐπιστολήν. ὅτε οὖν ἀπανέγνω τὴν ἐπιστολήν, λέγει πρός με, "πεπληροφόρημαι περὶ τούτου." τότε λέγει πρός με, "τέκνον Εὐάγριε, πολλὰς θλίψεις καὶ στενοχωρίας οἱ ἀχάριστοι Ἰουδαῖοι καὶ οἱ πονηρότατοι Μοντανοὶ πεποιήκασι μοι, οὐ μόνον οὗτοι, ἀλλὰ καὶ οἱ Μηδικοὶ φαρμακοὶ τὰς μαγείας καὶ τὰς διαβολικὰς αὐτῶν φαντασίας τοῖς λαοῖς ἐμφανίζοντες ἐπὶ τοὺς μύθους ἐκτρέπουσι," καὶ ἔτι καὶ ὀλίγον κατῆλθον ἅμα τῷ μακαρίῳ ὑπὸ δυτικαῖς τρισὶν τρώγλαις. ὁ δὲ μακάριος πρός με, "ταῦτα, τέκνον μου, τὰ δαιμονοστάσια πεποίηκεν ἡ

XSCYVO

2 ante πῦρ verbum ὡς hab. V 2 περιαστράπτων XSCY : περιαστράπτον V, fort. recte 2 ἤλθομεν XY : -ωμεν SC -αμεν V 2 ἦσαν : ἦν S 3 κατήλθομεν XYV : -ωμεν SC 3 ἔτι : ἐπὶ C 3 - 4 καὶ λέγει ὡς κατεῖχεν τὴν ἐπιστολήν : τὴν δὲ ἐπιστολὴν κατεῖχεν καὶ λέγει πρός με V 4 κατεῖχεν nos (sed cf. V) : ἐκατείχεν XSC ἐκατίχεν Y 4 ὑπαναγνώσωμεν XV : ὑπαναγνόσωμεν S ὑπαναγνώσομεν C ἐπαναγνώσωμεν Y 5 ἁγιωτάτην om. V 5 ἡμετέρου ἀδελφοῦ : ἀδελφοῦ ἡμῶν S 7 σταθέντες : σταθέντος Y 7 - 8 ὅ τε - τόπῳ om. XSCY 8 ἀπανέγνω τὴν ἐπιστολήν om. V 8 ἀπανέγνω SCY : ἀπενέγνω, corr. ἀπανέγνω X 8 ἐπιστολήν (2) om. S 11 οὗτοι : αὐτοὶ C 12 μαγείας X : μαγίας SCY μαγικὰς V, fort. recte 12 τὰς (2) om. V, fort. recte 13 ἐκτρέπουσι : ἐκπέμπουσιν καὶ C 13 καὶ (2) om. C 14 κατῆλθον : -ων S 14 δυτικαῖς τρισὶν τρώγλαις V : δυτικὰς τρεῖς τρόγλας C δυτικὰς τρώγλας X τὰς δυτικὰς τρόγλας S δυτικὰς στρώγλας Y 15 post μακάριος verbum Μαρκιανὸς hab. C 15 τέκνον : τέκνα C

τῶν πονηρῶν Μοντανῶν μιαρὰ συναγωγή, καὶ κατῴκησαν ἐν ταύταις λεγεῶνες δαιμόνων. ὡς δὲ ἤλθομεν ἐν τῷ τόπῳ τούτῳ, ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἀφάντους πεποίηκεν αὐτούς. ἦλθον δὲ βρύχοντες τοὺς ὀδόντας αὐτῶν καθ' ἡμῶν, ἀλλ' ὁ κύριος συνέτριψεν αὐτοὺς ἐν τῷ στόματι αὐτῶν καὶ τὰς μύλας αὐτῶν συνέθλασεν. ἐν ταύτῃ δὲ τῇ κολυμβήθρᾳ πολλοὺς ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπεσκέψατο, τῶν Ἰουδαίων καὶ Ἑλλήνων παῖδας. Σέλευκος καὶ Γόρδιος οἱ ἀπόγονοι τοῦ τυράννου διεκράτησαν ταύτην τὴν πόλιν καὶ ἦσαν ἀπηνεῖς καὶ ὠμοὶ καὶ πάνυ σπουδαῖοι εἰς τὰς θυσίας τῶν ἀκαθάρτων εἰδώλων. εἴχασι δέ, ὦ τέκνον, καὶ Μήδους πληρεστάτους τῆς διαβολικῆς φαντασίας, καὶ ἐν τῷ τόπῳ τῷ ἱπποδρομικῷ ἐστιν εἴδωλον, ὃ ὀνομάζουσιν θεὸν Ἀπόλλωνα, κἀκεῖ ἐπετελοῦσαν θυσίας πολλάς, θύοντες τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας τοῖς ἀκαθάρτοις δαίμοσιν. ἐν τῷ οὖν ἑτοίμην γενέσθαι τὴν μιαρὰν θυσίαν καὶ δεσμίους κατεῖχον τοὺς εἰς αὐτὸν ἑτοιμασθέντας, ἦλθον ἐνώπιον τοῦ

XSCYVO

1 κατῴκησαν C : κατοίκησαν XSYV 1 ταύταις : αὐτῇ V 2 ἤλθομεν X : -ωμεν SY -αμεν, corr. -ομεν C -αμεν V 3 ante Χριστὸς verbum ὁ hab. V 3 ἦλθον XCY : -ων S -αν V 4 ὀδόντας : ὀδόντες X 4 αὐτοὺς : τοὺς ὀδῶντας αὐτῶν S 5 ταύτῃ V : αὐτῃ XSCY 6 ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ : ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς S 8 post τυράννου verbum ἢ hab. S 8 διεκράτησαν : διεκρατοῦσαν S 8 ταύτην om. CV 9 ἦσαν : εἶσαν C 9 εἰς : περὶ S 9 - 10 τῶν ἀκαθάρτων εἰδώλων : τῶν εἰδώλων τῶν ἀκαθάρτων S 10 εἰδώλων XSY : θεῶν C Ἰουδαίων V 10 εἴχασι XYV : ἤχασι SC 11 τῷ ἱπποδρομικῷ : τοῦ ὑπποδρομικοῦ S 12 εἴδωλον ὃ V : θεὸς ὃν XSCY 12 ὀνομάζουσιν : ὀνομάζουν V 12 ἐπετελοῦσαν XV : ἐπιτελοῦσαν SY ἀπετελοῦσαν C 13 θύοντες : θύοντας S 13 post θυγατέρας verbum αὐτῶν hab. V 15 εἰς αὐτὸν om. XSCY 15 ἦλθον V : ἐλθεῖν XSCY

Ἀπόλλωνος καὶ ἔστην, καὶ ἐπικαλεσάμενος τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ ποιήσας τὴν ἐν Χριστῷ σφραγῖδα, ἦχος ἐγένετο ἐν τῷ ναῷ καὶ ὀλολυγμὸς τῶν ἀκαθάρτων δαιμόνων. ἐξῆλθον δὲ οἱ μιαροὶ καὶ ἀκάθαρτοι δαίμονες ἐκ τοῦ ναοῦ. ὅτε οὖν συνῆλθον ἅπαντες διακατέχοντες καὶ τοὺς ἐν τῇ θυσίᾳ ἑτοίμους, ἦλθον οἱ ἱερεῖς εἰς τὸν ναόν, καὶ εὗρον τὰς καθέδρας διαρραγείσας καὶ τοὺς θεοὺς ἐριμμένους. ὁλολύξαντες δὲ καὶ εἰσπηδήσαντες εἰς τὸν ναὸν ἤρξαντο λέγειν, 'τί συνέβη τῷ καθαρῷ Ἀπόλλωνι;' τότε ἤρξαντο λέγειν τινὲς ἄνδρες σοφοὶ καὶ πανὺ εὐλαβεῖς, ἅπασαν γραφὴν ἐπιστάμενοι, καὶ πολλῶν ὁδηγοὶ γεγόνασιν. ὡς δὲ ἐταράχθησαν οἱ ὄχλοι, ἄντικρυς ἔστηκα ἐγώ, τέκνον. ἤμην δὲ ἀγνοούμενος παρ' αὐτῶν. οἱ οὖν ἄνδρες πρὸς τὸν λαόν, 'τί ταράττεσθε, ὦ ἄνθρωποι, μὴ ἐπιστάμενοι πῶς ἡ πτῶσις αὕτη γέγονεν εἰς τὸν θεὸν ὑμῶν Ἀπόλλωνα;' οἱ δὲ προσεσχηκότες τῷ ῥήματι καὶ κλίναντες τὴν ἀκοήν, ἐπαύσαντο τοῦ θορυβεῖσθαι, καὶ ἤρξαντο λέγειν πρὸς τὸν λαόν, 'ἄνδρες Ἕλληνες, βιβλιοψηλαφηταὶ καὶ

XSCYVO

1 καὶ (1) om. XSCY 1 ἔστην X : ἐστὶν SCY ἔστη V 2 ναῷ V : λαῷ XSCY 3 δαιμόνων : πνεύματων C 3 ἐξῆλθον : -ων S 3 δὲ om. Y 4 ὅτε οὖν : καὶ S 4 συνῆλθον : -ων S 5 διακατέχοντες om. XSY 5 post ἑτοίμους verbum ὄντας hab. S, ἔχοντες hab. Y 5 ἦλθον XY : ἤλθων S εἰσῆλθον καὶ C εἰσῆλθον V 5 post ἱερεῖς verbum αὐτῶν hab. S 6 καὶ εὗρον om. V 7 ὁλολύξαντες : ὁλολύζωντες S 7 καὶ εἰσπηδήσαντες - λέγειν : εἶπον πρὸς ἀλλήλοις C 9 πάνυ post εὐλαβεῖς tr. V 11 ἤμην XYV : ἤμιν SC 11 παρ' XSCY : ὑπ' V 12 ταράττεσθε S : ταράττεσθαι XY ταράττεσθαι, corr. -εσθε C ταράσσεσθαι V 12 ὦ om. XY 12 αὕτη V : ταύτη XSCY 13 ante γέγονεν verba καὶ πῶς hab. S 13 τὸν om. V 13 ὑμῶν XSC : ἡμῶν Y, om. V 14 - 15 καὶ ἤρξαντο XSY : ἤρξαντο C ἤρξαντο δὲ V 15 βιβλιοψηλαφηταὶ : βίβλιον ψηλαφηταὶ S

σοφοί, ἀνακρίνωμεν μήπως κύριος Ἰησοῦς Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ ἀπέσταλκέν τινα τῶν μαθητῶν αὐτοῦ, καὶ τῇ παρουσίᾳ τούτου, οὕτως ἠφάνισται ὁ θεὸς Ἀπόλλων.' τινες δὲ ἐκ τῶν μιαρῶν Ἰουδαίων ἐξῆλθον μέσον τοῦ λαοῦ καὶ ἔκραξαν φωνῇ ἰσχυρᾷ, 'ἄνδρες σοφοί, Μῆδοι πυροφόροι καὶ οἱ τῶν Ἑλλήνων λαοί, ὅδε ἐστιν Μαρκιανὸς ὁ μαθητὴς Σίμωνος Πέτρου. οὗτος καὶ τὸν θεὸν Ἀπόλλωνα ἠδάφισεν καὶ τοὺς παῖδας, οὓς εἴχαμεν τοῖς θεοῖς προσενέγκαι, Χριστῷ, ᾧ οἱ πατέρες ἡμῶν ὡς ἀνθρώπῳ ἐχρήσαντο, ὃν καὶ θεοποιοῦνται, βαπτίσας προσήνεγκεν·' ἤμην γάρ, τέκνον, βαπτίσας ἐν τῇ κολυμβήθρᾳ ταύτῃ παῖδας τῶν Ἑβραίων ὡσεὶ πεντήκοντα τὸν ἀριθμόν, οἳ οὐκ ἀφίστανταί μου, οὐδὲ ἀφ' οὗ ἐβάπτισα αὐτοὺς τοῖς ἰδίοις γονεῦσι προσεκολλήθησαν. ὅμως οὖν, τέκνον, αὐτόπτης ἐγένου τούτοις, οὓς καὶ ὁρᾷς ἐν τῷ μικρῷ κελλίῳ τούτῳ. ἐξῆλθον δέ, τέκνον, καὶ ἐλάλησα παρρησίᾳ ἐν τῷ λαῷ. ὁ δὲ κύριος Ἰησοῦς Χριστὸς κατήνυξεν τοὺς ἄνδρας, καὶ πιστεύσαντες ἐβαπτίσθησαν εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ

XSCYVO

1 ἀνακρίνωμεν XS : -ομεν CV -ομεν, corr. -ωμεν Y 1 post κύριος verba ὁ θεὸς hab. V 1 Χριστὸς verbum ὁ hab. V 2 τινα : τινας S 2 τούτου : αὐτοῦ Y 2-3 οὕτως ἠφάνισται XSCY : οὗτος V 3 post Ἀπόλλων verbum συμπέπτωκεν hab. V 3 ἐξῆλθον XCY : -αν V -εν S 4 ἔκραξαν : -εν S 4 φωνῇ ἰσχυρᾷ XSCY : μεγάλῃ τῇ φωνῇ V 5 ὅδε SC : ὧδε XYV 6 οὗτος : οὕτως S 6 ἠδάφισεν om. V 7 εἴχαμεν XCV : ἤχαμεν SY 7 ᾧ XCY : ὃ SV 8 ὡς ἀνθρώπῳ om. S 8 θεοποιοῦνται : θεοποιούντες Y 9 ἤμην XSV : ἤμιν CY 10 Ἑβραίων : Ἑβραίως C 11 οὐδὲ V: οὔτε CY ὅτε XS 13 ὁρᾷς XSY : ὡρᾶς, corr. ὁρᾷς C ὡρᾶς V 13 ἐξῆλθον : -ων S 14 κατήνυξεν V : κατήνοιξεν XSY κατένυξεν C 15 ἐβαπτίσθησαν SCY : ἐβαπτίσθη XV 15 τὸ om. C 15 τοῦ (1/2) om. C

τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. οἱ δὲ δέσμιοι οἱ ὀφείλοντες πρὸς τὴν θυσίαν δοθῆναι καὶ αὐτοὶ ἐλυτρώθησαν τῶν δεσμῶν τοῦ πικροῦ θανάτου καὶ ἠξιώθησαν τῆς ἀναγεννήσεως διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. οἱ οὖν Ἰουδαῖοι συλλαβόμενοί τινας τῶν ἐπαοιδῶν Μηδικοὺς πάνυ τοῦ Σατανᾶ ἐπισταμένους τὰς μοχθηρίας κατὰ τῆς τοῦ Χριστοῦ διδασκαλίας σὺν Σελεύκῳ καὶ Γορδίῳ τῶν ἀρχόντων τῶν παρόντων, συνήραμεν λόγους πρὸς ἀλλήλους, οἱ μὲν Ἰουδαῖοι τὸν νόμον, φησίν, πρός με διαγγέλλοντες, οἱ δὲ Μῆδοι ὅτι, 'ἰσχυρότεροί εἰσιν οἱ Μηδικοὶ πυρόθεοι,' οἱ δὲ Ἕλληνες ὅτι, 'οἱ σοφοὶ ἡμῶν θεοὶ πλουτοποιοὶ καὶ νικηταὶ ὑπάρχουσιν.' ἐγὼ οὖν, τέκνον Εὐάγριε, σὺν τῶν πεπιστευκότων ἀνδρῶν, εὐηγγελιζόμην αὐτοῖς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν. ἔλεγον δὲ πρὸς αὐτούς, 'ὦ ἄνδρες Ἰουδαῖοι καὶ Μῆδοι καὶ οἱ τῶν Ἑλλήνων παῖδες, ἕκαστος ὑμῶν τοὺς ἰδίους θεοὺς ἐπαινεῖ καὶ τὸν κύριον βασιλέα καὶ σωτῆρα τοῦ παντὸς ἀγνοεῖτε καὶ τοὺς ἀψύχους λίθους προσκυνεῖτε καὶ οὐχὶ τὸν θεὸν τὸν ποιήσαντα τὸν

XSCYVO

(1,2)
1 τοῦ om. C 1 ὀφείλοντες XSV : ὠφείλοντες C ὠφίλοντες Y 1 πρὸς XCY : εἰς SV 2 τῶν δεσμῶν post θανάτου tr. XSCY 7 συνήραμεν SCV : συνείραμεν XY 7 πρὸς ἀλλήλους om. C 7 μὲν V : οὖν XSCY 7 τὸν νόμον : τὸ σύνομον S 8 πρός με post διαγγέλλοντες tr. C 8 εἰσιν XCYV : ἦσαν S 9 θεοὶ : νέοι V 10 post νικηταὶ verba ὑπὲρ πάντας τοὺς θεοὺς hab. CV, fort. recte 10 ὑπάρχουσιν XSY : εἰσίν CY, fort. recte 12 ἔλεγον XSYV : λέγων C 13 θεοὺς om. XSY 14 καὶ σωτῆρα om. S 14 ἀγνοεῖτε XV : ἀγνωεῖτε C ἀγνοῆτε SY

οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς, ὅστις καὶ τὸν ἄνθρωπον ἔπλασεν οἰκείαις χερσίν.' οἱ δὲ Μῆδοι, ὡς ἤκουσάν μου εἰρηκότος ταῦτα, εἶπον πρός με, 'καὶ ἔχεις θεὸν ἰσχυρότερον τῶν θεῶν ἡμῶν, οἳ καὶ πῦρ ἐκπέμπουσιν κατακαῖον ὅπουδ' ἂν βουληθῇ ἡ μεγάλη δύναμις αὐτῶν;' ἐγὼ οὖν, τέκνον, πρὸς αὐτοὺς εἶπον ὅτι, 'ἐστὶν θεὸς ὁ ποιητὴς τοῦ παντός, ὅστις καὶ τὸ πῦρ, ὅπερ λέγετε, σβεννύει καὶ ἕτερον πῦρ ἑτοιμάζει τοῖς παρέχουσι θυσίαν τοῖς ἀκαθάρτοις εἰδώλοις.' λέγουσιν οὖν οἱ Μῆδοι, 'βληθήτω, ὦ Σέλευκε καὶ Γόρδιε, ἐν σκαφίδι μικρᾷ καὶ ἀπολυθήτω ἐν τῇ θαλάσσῃ ὁ λέγων, 'ἰσχυρότερον θεὸν εἶναι τῶν θεῶν ἡμῶν,' καὶ γνώτω ποίαν δύναμιν ἔχει ὁ θεὸς ἡμῶν πυρὸς, ὃς καὶ ἀπολύσας πῦρ κατακαύσει αὐτὸν ἐν τῇ θαλάσσῃ σὺν τῇ σκαφίδι.' οἱ οὖν μιαροὶ Ἰουδαῖοι καὶ αὐτοὶ τὴν συμβουλίαν ἐπεκύρουν, λέγοντες Σελεύκῳ καὶ Γορδίῳ ὅτιπερ, 'ἐὰν μὴ οὗτος ὁ Μαρκιανὸς ἀρθῇ ἐκ μέσου ἡμῶν, πάντας τοὺς θεοὺς ἡμῶν ἐδαφίζει. ἀρεστὸν ὑμῖν γενέσθω, ὦ κράτιστοι ἄρχοντες, τὸν νόμον ἡμῶν ἀποθέσθαι καὶ τοῖς

XSCYVO

1 post γῆν verbum καὶ hab. XCYV 2 δὲ Μῆδοι : Μύδη δὲ S 3 ταῦτα XSYV : οὕτως C 3 εἶπον XCY : -ων S -αν V 3 ἰσχυρότερον : ὑψιλώτερον C 4 ἐκπέμπουσιν CV : ἀναπέμπουσιν XSY 4 κατακαῖον V : κατακαίον, corr. -ων Y κατακαίων XC, om. S 4 βουληθῇ XV : βουληθείη CY βούλοιντο κατακαῦσαι S

4 - 5 ἡ μεγάλη δύναμις αὐτῶν om. S 4 μεγάλη om. XCY 5 εἶπον XCYV (ante πρὸς tr. CV) : εἶπων S 5 ἐστὶν om. C 6 λέγετε CV : λέγεται SY, om. X 6 σβεννύει X : σβαίννει S σβεννύη Y σβεννύων CV 7 ἑτοιμάζει S : ἑτοιμάζη XY ἑτοιμάζων CV 7 θυσίαν XSYV : θυσίας C 8 οὖν om. V 8-9 ἐν σκαφίδι μικρᾷ V : σκαφίδι μικρᾷ XCY σκαφίδη μικρὰν S 10 θεὸν εἶναι τῶν θεῶν ἡμῶν XSCY : τῶν θεῶν ἡμῶν εἶναι θεόν V 11 κατακαύσει XSYV : -ση C 12 ἐπεκύρουν : ἐπεκήρουν S 13 οὗτος XCV : οὕτως SY 14 ἡμῶν XSCY : τῆς πόλεως V 14 πάντας τοὺς θεοὺς ἡμῶν om. X 14 ἐδαφίζει V : ἐδαφίζη XY ἐκδαφιζη S ἐδαφίζεν C 15 κράτιστοι om. X 15 ἡμῶν S : ὑμῖν X ὑμῶν CY ἡμῖν V

θεοῖς ὑμῶν προσεύχεσθαι καὶ μὴ Χριστῷ τῷ Ναζωραίῳ.' ὁ οὖν Σέλευκος καὶ Γόρδιος ἐκέλευσαν τοῖς Μηδικοῖς φαρμακοῖς συλλάβεσθαί με, καὶ ἐνέγκαντες ἐν τῷ μεγάλῳ λιμένι εἰς πλοιαρίδιον ἁλιευτικὸν μικρόν, ἐνέβαλόν με εἰς τὴν θάλασσαν. ἀπελθόντες οὖν ἐν τῷ πύργῳ, ἔνθα καὶ τὰς ἐπαοιδίας ἐποίουν, ὥρα ἦν ὡσεὶ ἑνάτη, καὶ ἤρχετο ἀκτὶς πονηρᾶς ἐπαοιδίας ὡσεὶ πῦρ ἐκπεμπομένη ὑπὸ τῶν δαιμόνων τῶν ὑπηρετῶν τοῦ διαβόλου. ἐγὼ οὖν, τέκνον, τειχίσας ἑαυτὸν τῷ σημείῳ τοῦ ζωοποιοῦ σταυροῦ, ἦλθεν ὁ διαβολικὸς σίφων καὶ τὸ ἥμισυ ἔπεσεν εἰς ὕδωρ, τὸ δὲ ἕτερον ἐποίησεν †βίργαν, ὃ ὑπέστρεψεν ἐν τῷ πύργῳ τῷ Μηδικῷ. τότε ἔσβεσεν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τὰ πεπυρωμένα βέλη τοῦ διαβόλου. οἱ δὲ ἡττηθέντες ἔλεγον πρὸς Σέλευκον καὶ Γόρδιον ὅτι, 'ἡμεῖς πλειοτέραν δύναμιν ταύτης οὐκ ἔχομεν τῆς πυρικῆς.' λαβὼν οὖν ἐγὼ τὰς κώπας, ἐξελάσας ἦλθον ὅλος ἀβλαβής, ὥστε θαυμάσαι τοὺς ὄχλους πῶς οὐχ ἥψατό μου ἡ τῆς ἀκαίρου φαντασίας πλάνη. τότε προσῆλθον ὄχλοι Ἑλλήνων ὡσεὶ

XSCYVO

1 ὑμῶν SCV : ἡμῶν X, corr. ὑμῶν X^1 ἡμῶν Y 1 προσεύχεσθαι XY : εὔχεσθαι S προσέρχεσθαι CV, fort. recte 3 πλοιαρίδιον XY : πλιαρίδιον S πλοιαρίδιν V πλοιάριον C 5 post ἐποίουν verbum ἔτι hab. V 5 ὡσεὶ : ὡς S 6 ἤρχετο : ἤρχοντο S 6 ἀκτὶς V : ἐκ τῆς XSCY, fort. recte 6 ὡσεὶ : ὡς S 6 ὡσεὶ πῦρ] *аки огнь* Usp 6 ἐκπεμπομένη V : -όμενον XSCY, fort. recte 6 - 7 τῶν δαιμόνων om. S 7 post τέκνον verbum *Εὐάγριε* hab. V 8 τῷ σημείῳ CYV : τὸ σημείῳ X τὸ σημεῖον S 8 σίφων XV : σίφον C σίφον, corr. -ων Y σοφονῶν S 9 εἰς XY : ὡσεὶ SV ὡς C 9 ἐποίησεν C : ποιήσαν XSYV 9 βίργαν V : βήργαν XSY βύργαν, corr. βήργαν C 9 ὃ XY : ὡς C, om. SV 11 διαβόλου : πονηροῦ V 11 ἡττηθέντες : οἱ τίθεντες S 12 ὅτι : τί S 13 ἔχομεν : -ωμεν S 13 πυρικῆς : συρικῆς S 13 ἐξελάσας XSY : ἐξελάσα καὶ C ἐξηλάσας V 14 ἦλθον : ἐξήλθων S 14 ὅλος ἀβλαβὴς XCV : ὅλως ἀβλαβὴς Y ἀβλαβὴς ὅλως S 14 ante πῶς verbum τὸ hab. S 14 ἥψατό : ὕψατώ S 15 ἀκαίρου V : ἀκαθάρτου XSCY 15 προσῆλθον : -ων S 15 ὡσεὶ : ὡς S

ἑξάκις χιλίων ἀνδρῶν. ὁ δὲ Σέλευκος ἐνέγκας τοὺς ἄνδρας, οὓς ἤμην βαπτίσας, καὶ ἀνακρίνας ἅπαντα καὶ μαθὼν τὴν ἀλήθειαν παρ' αὐτῶν, τῇ ἕωθεν ἤνεγκε πάντας τοὺς σοφοὺς τῆς πόλεως καὶ ἐκκλησιάσας μετ' αὐτῶν περὶ πάντων, ἤνεγκεν κἀμὲ μέσον τοῦ συναλλάγματος. ἦν δὲ ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπεισελθοῦσα τοῖς πλείοσι τῶν σοφῶν σὺν Σελεύκῳ καὶ Γορδίῳ· ἦσαν γὰρ ἀναγνῶντες βίβλους Ἀθηναίων σοφῶν ἀνδρῶν περὶ τῆς ἁγίας καὶ ὁμοουσίου τριάδος. τότε οὖν εὐηγγελισάμην αὐτοῖς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ ἐπίστευσαν οἱ ἄνδρες σὺν Σελεύκῳ καὶ Γορδίῳ. ἀντέβαλλον δὲ μετὰ τῶν ἀνδρῶν περὶ τοῦ Χριστοῦ. αὐτοὶ δὲ τῶν βιβλίων τῶν Ἀθηναίων καὶ τῇ ἐμῇ διδασκαλίᾳ πειθόμενοι, ἀπεποιήσαντο τοὺς Ἰουδαίους καὶ ἀνεθεμάτισαν οἱ πλεῖστοι τοὺς θεοὺς αὐτῶν, καὶ ἦλθον ἅπαντες ἐν τῇ κολυμβήθρᾳ ταύτῃ καὶ ἐβαπτίσθησαν. ἕτεροι δὲ στασιάσαντες κατὰ τῶν πεπιστευκότων, καὶ τῶν ἀρχόντων Σελεύκου καὶ Γορδίου ἀποσχισθέντες, ποιῆσαι ἤθελον ἑαυτοῖς ἄντικρυς τῆς πόλεως ναὸν

XSCYVO

1 post ἀνδρῶν verbum ἀριθμός hab. XY, ἀριθμοῦ hab. S 1 ἤμην XV : ἤμιν SCY 3 ἤνεγκεν S : ἐνέγκεν XCYV 4β ἤνεγκεν S : ἐνέγκεν XCYV 4 μέσον XSCY : ἔμπροσθεν V 6 ante σὺν verb. καὶ hab. XY, καὶ ἦσαν hab. S 6 ἦσαν γὰρ om. S 7 Ἀθηναίων V : Ἀθηνέων XSY Ἀθηνῶν C 7 ἁγίας om. Y 7 τότε XSCY : ὅτε V 8 καὶ om. C 9 Σελεύκῳ et Γορδίῳ tr. XCYV 9 ἀντέβαλλον S : ἀντέβαλον X ἀντέβαλλων C ἀνέβαλλον Y ἀντέβαλων V 9 δὲ om. V 10 τοῦ om. V 10 Ἀθηναίων S : Ἀθηνέων XY Ἀθινέων Y Ἀθηνῶν V 11 ἐμῇ : ἐμοὶ S 11 πειθόμενοι XSY : πιστεύσαντες V, om. C 12 ἦλθον : -ων S 13 post στασιάσαντες verbum τὰ hab. C 14 Σελεύκου V : Σελεύκῳ XSCY 14 Γορδίου emendavi : Γορδίῳ XSCYV 15 ἀποσχισθέντες om. V 15 ἤθελον XSY : ἔθελον C εἴθελον V

εἰδωλικόν, καὶ ἐπαρξάμενοι τοῦ ἔργου, ἔλαβον λίθους λαξευτοὺς ὁμοίους τοῦ ναοῦ τοῦ ἔνδοθεν τῆς †παλουδικῆς πόλεως, καὶ τὰ ἔξω πλακώσαντες λίθοις γονικοῖς, προεχειρίσαντο ἑαυτοῖς ἄρχοντα πάνυ πονηρότατον, καὶ λαβόντες κόρην ἀκμαίαν, ὠνόμασαν αὐτὴν θεάν, καὶ κατεκόσμησαν αὐτὴν χρυσίῳ καθαρῷ καὶ λίθων πολυτελῶν, καὶ κατέκρυψαν αὐτὴν ἐν τῇ γῇ σὺν τῷ κόσμῳ, ᾧ ἦν περιβεβλημένη, ζῶσαν. ἐγὼ δὲ πρὸς τοὺς πιστοὺς καὶ πρὸς τοὺς ἄρχοντας Γόρδιον καὶ Σέλευκον εἶπον, 'τεκνία μου ἐν κυρίῳ Ἰησοῦ Χριστῷ, οἱ ἄνδρες οἱ νομίσαντες τὴν πόλιν ἡμῶν καταλειπεῖν καὶ ναὸν τῆς θεᾶς Ἀρτέμιδος ἀνοικοδομῆσαι μάτην κοπιῶσιν καὶ μάτην τὸ ἔργον ποιοῦσιν, ἐπεὶ ἡ χάρις καὶ ἡ ἀλήθεια τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπισκοπῇ ἐπισκέψεται καὶ τούτους ὡς καὶ ὑμᾶς ἅπαντας. παρακαλῶ δὲ ὑμᾶς διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μένειν ἐν ᾧ ἐκλήθητε, καὶ δεήσεις καὶ ἐντεύξεις ποιεῖσθαι ὑπὲρ αὐτῶν σὺν ἐμοί, προσκαρτεροῦντες, ἵνα ἐπεσκέψηται αὐτοὺς ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὁ ἀληθινὸς θεὸς

XSCYVO

1 ἔλαβον XSCY : ἔβαλον V 2 post πόλεως verbum οἱ hab. CV 3 ἑαυτοῖς : αὐτοῖς S 4 κόρην SCV : κώριν X κόριν Y 4 ὠνόμασαν V : ὀνόμασαν XSCY 6 ᾧ XCY : ὃ SV 6 περιβεβλημένη XCYV : -μένην S 7 καὶ πρὸς τοὺς om. C 10 ἀνοικοδομῆσαι : οἰκοδομῆσαι S 10 κοπιῶσιν XSCY : κοπιοῦσιν V 10 τὸ om. Y 11 καὶ ἡ ἀλήθεια post Χριστοῦ tr. V 12 ἐπισκέψεται SY : ἐπεσκέψεται X ἐπισκέψητε C ἐπισκέψετε V 12 καὶ ὑμᾶς V : ὑμᾶς C ἡμᾶς XSY, fort. recte 12 ἅπαντας XSCY : πάντας V 13 τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ V : τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν XSCY 13 μένειν YV : μένην C αἰνεῖν XS 14 προσκαρτεροῦντες : καρτεροῦντες C 15 ἐπισκέψηται CV : ἐπεσκέψετε X ἐπισκέψεται SY 15 ἡμῶν om. C

καὶ πατὴρ πάντων, ὁ θέλων πάντας ἀνθρώπους σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν.' ταῦτα λαλήσας, τέκνον, τοῦ εὔχεσθαι ὑπὲρ ἀλλήλων, εἰσῆλθον καὶ ἐτέλεσα τὴν θείαν λειτουργίαν καὶ μετέδωκα πᾶσι τῶν ἀχράντων μυστηρίων τοῦ σώματος καὶ αἵματος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἀπέλυσα πάντας ἐν τοῖς ἰδίοις οἴκοις. συμπαραλαβὼν οὖν ἐγὼ δύο παῖδας τῶν μαθητῶν μου καὶ ἀπελθών, ἔστην ἐν τῇ διαβάσει τοῦ ὕδατος ὑποκάτω τοῦ κτιζομένου εἰδωλικοῦ ναοῦ τῆς θεᾶς Ἀρτέμιδος, καὶ ἐπικαλεσάμενος τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, καὶ ποιήσας εὐχὴν τοῦ μὴ συνεργηθῆναι αὐτοὺς ἐν τῷ ἐγχειρήματι, ἔπεσεν ἀδολεσχία ἐν τοῖς ἀνδράσιν, ὡς καὶ τοῖς μηχανικοῖς τοῦ ἔργου ἐναντίον γενέσθαι τοῦ ἐπιβαλεῖν λίθον κατὰ τὴν ἁρμονίαν αὐτοῦ, ἃ δὲ μὴ γεγονότα, συμπεπτώκασιν. αὐτοὶ δὲ ἐπιβάλλοντες τὴν πεπτωκυίαν λάξευσιν, ὡς ἐχρῆν, πάλιν τῇ νυκτὶ συμπεπτώκασιν. τινὰς δὲ εὑρόντες, ἠρώτουν λέγοντες, 'ὦ ἄνθρωποι, εἴπατε ἡμῖν πῶς ἡ πόλις; πῶς οἱ ἄρχοντες Γόρδιος καὶ Σέλευκος; πῶς

XSCYVO

1 - 2 1 Tim. 2:4

1 πατὴρ V : σωτὴρ XSCY 1 πάντας YV : ἅπαντας XSC 1 ἀνθρώπους om. XSCY 3 ἐτέλεσα XSCY : ἐπετέλεσα V 4 πᾶσι XSCY : ἅπασιν V 5 πάντας SC : ἅπαντας XYV 5 οἴκοις XSCY : τόποις V 7 ἔστην : ἔστιν C 9 συνεργηθῆναι CV : συνεργιθῆναι Y συνεγερθῆναι XS 10 post ἔπεσεν verbum οὖν hab. V 11 λίθον om. XSCY 11 κατὰ CY : κἂν SY, suppl. X[1] 12 ἃ δὲ μὴ V : ἃ μὴ C τὰ μὲν δὲ XY τὰ μὲν S 13 ἐχρῆν S : καὶ χρείην XY καὶ χρίειν C οὐκ ἐχρῆν V 14 συμπεπτώκασιν : πεπτώκασιν V 15 Γόρδιος : Γορδίας C

οἱ Μῆδοι; πῶς ὁ λαός; πῶς οἱ ἱερεῖς; πῶς καὶ τί ποιεῖ ὁ πολὺς ἐν ἐπαοιδίαις Μαρκιανός; τί ἐργάζεται ἐνώπιον τῶν ἀρχόντων; τί πλανᾷ τοὺς λαούς;' οἱ δὲ πρὸς αὐτούς, 'οὗτος πλάνος οὐκ ἔστιν, οὐδὲ ἀπάτην διδάσκει, ἀλλὰ θεὸν ἀληθινὸν κηρύσσει, καὶ λατρεύειν καὶ προσκυνεῖν τοὺς λαοὺς ἅπαντας πεποίηκεν, καὶ Ζεὺς καὶ Σκάμανδρος καὶ Ἡρακλῆς ὁ μιαρὸς καὶ οἱ λοιποὶ πάντες θεοὶ ἀπώλοντο, ἅπαντες δὲ Χριστὸν ὁμολογοῦσι καὶ Χριστιανοὶ γεγόνασιν. ὑμεῖς δέ, ποῖον ὄφελος ἕξετε ἀποχωρισθέντες ἀπ' αὐτῶν;' οἱ δὲ πρὸς αὐτούς, 'πόλιν ἑτέραν καὶ ἕτερον ναὸν θέλομεν ποιῆσαι τῆς θεᾶς Ἀρτέμιδος. τί δὲ πράττει ὁ μάγος ἐν τῇ πόλει;' οἱ δὲ ἀπεκρίθησαν, 'ἑτέραν ἐργασίαν οὐ ποιεῖ, εἰ μὴ Χριστὸν κηρύσσει εἶναι θεὸν ἀληθινόν, δαίμονας ἀπελαύνει, χωλοῖς περιπατεῖν χαρίζεται, τυφλοῖς ἀναβλέπειν ποιεῖ, λεπροὺς καθαρίζει καὶ λοιπὰς νόσους θεραπεύει, ἐπικαλούμενος Ἰησοῦν Χριστὸν θεὸν ἀληθινὸν καὶ ποιητὴν οὐρανοῦ καὶ γῆς καὶ θαλάσσης καὶ πάντων ἐν αὐτοῖς.' ἀκούσαντες δὲ οἱ ὄχλοι ταῦτα παρὰ τῶν ἐλθόντων,

XSCYVO

1 πολῦς : πολλοῖς V 1 ἐν om. Y 2 ἐργάζεται : ἐργάζετε, corr. -εται C 3 ἀπάτην : ἀπάτη C 4 κηρύσσει SYV : κηρύσσει, corr. -η X κηρύσσειν C 4 λατρεύειν XCYV : λατρεύει S 5 ἅπαντας XSY : πάντας V, om. C 5 post Ζεὺς verbum δὲ hab. V 6 Ἡρακλῆς XCY : Ἡρακλῖς, corr. Ἡρακλῆς S Ἡρακλεὺς V 6 πάντες XSCY : ἅπαντες V 8 ἕξετε XYV : -εται SC 8 ἀποχωρισθέντες CYV : ἀποχορισθέντες S ἀποχωρισθέντων X 8 ἀπ' : ἐξ S 8 ἑτέραν XS : ἕτερον CYV 9 θέλομεν XSV : -ωμεν CY 10 post μάγος verbum οὗτος hab. V 10 οἱ δὲ om. XCYV 10 εἰ μὴ om. V 11 κηρύσσει : κηρύσσειν S 12 ποιεῖ om. XSCY 12 καθαρίζει CV : καθαρίζειν XY καθερίζειν S 14 καὶ (1) om. CV 14 - 15 οὐρανοῦ καὶ γῆς καὶ θαλάσσης καὶ πάντων (πᾶσι V, emendavi) ἐν αὐτοῖς V : καὶ σωτῆρα καὶ (καὶ om. XSY) τοῖς ἐν γῇ καὶ τοῖς ἐν θαλάσσῃ καὶ πάσῃ (πάσι SCY) τοῖς ἐν (σὺν S) αὐτοῖς XSCY 15 ταῦτα post δὲ tr. C

ἐγκατέλειπον τὴν οἰκοδομὴν καὶ ἦλθον ἐν τῇ πόλει. μαθὼν οὖν ἐγώ, τέκνον, λαβὼν τὸν τίμιον καὶ ζωοποιὸν σταυρόν, ὑπήντησα αὐτοῖς, καὶ ἰδόντες με, ἔστησαν. ἐβουλεύσαντο δὲ ἀνελεῖν με, δι' ὃ καὶ ὡς θῆρες ἄγριοι ἔβρυχον τοὺς ὀδόντας αὐτῶν κυκλώσαντές με. εἷς δέ τις τῶν μαθητῶν μου δραμὼν πρὸς Σέλευκον καὶ Γόρδιον, εἶπεν αὐτοῖς ὅτι, 'τὸν διδάσκαλον ἡμῶν, οἱ ἔξω τῆς πόλεως συνέλαβον τοῦ ἀνελεῖν.' ἐξῆλθον οὖν ἐν τῇ παραλίᾳ καὶ πιστοὶ πολλοὶ μετ' αὐτῶν, οἳ καὶ ἔμελλον παράταξιν πολέμου ποιῆσαι μετ' ἀλλήλων. σταθεὶς οὖν ἐγὼ καὶ κατασείσας τῇ χειρί, εἶπον πρὸς Σέλευκον καὶ Γόρδιον καὶ τοὺς ἀποσχίστας, 'ἄνδρες σοφοί, τί πρὸς ἀλλήλους διαμαχόμεθα καὶ τῷ δικαίῳ οὐχ ὑποτασσόμεθα; τί ἐγχειροῦμεν τὰς ψυχὰς ἀλλήλων ἀνελεῖν; εἰ δίκαιον, ἡμῖν λέγετε τὸν θεὸν τοῦ οὐρανοῦ καὶ τῆς γῆς καὶ τῆς θαλάσσης καταλειπεῖν, τὸν ποιητὴν καὶ δεσπότην τοῦ παντός, καὶ εἰδώλοις ξοάνοις λατρεύειν, ὃ μὴ γένοιτο, ἀκούσατέ μου τοὺς λόγους. ἐνέγκατε τὰ ἀπεικάσματα, ἃ λέγετε τῶν θεῶν ὑμῶν, περὶ ὧν καὶ

XSCYVO

1 *ἦλθον* : *-ων* S 2 *καὶ ζωοποιὸν* om. XCYV 2 post *σταυρόν* verba *καὶ τὰς τρεῖς εἰκόνας* hab. XSCY, fort. recte 2 *ὑπήντησα* CYV : *ὑπήντισα* X *ἀπήντησα* S 4 post *τις* verbum *ἐκ* hab. CV 5 *δραμὼν* om. S 5 *Γόρδιον* : *Γόργιον* C 6 *ἡμῶν* SCYV : *ὑμῶν* X 6 *συνέλαβον τοῦ* XSC : *συνέλαβον* Y *συνέλαβοντο* V 8 *πολέμου* om. V, fort. recte 9 *κατασείσας τῇ χειρί*] *потрясши рукою* Usp 9 *Σελεύκον* et *Γόρδιον* tr. XCY 10 *ἄνδρες* CV : *ἄνδρας* XSY 10 *διαμαχόμεθα* : *-ώμεθα* S 10 *διαμαχόμεθα*] *секотораемь* Usp 10 - 11 *καὶ τῷ δικαίῳ - ὑποτασσόμεθα* om. YV 10 - 11 *τῷ δικαίῳ* C : *τοῦ δικαίου* XSV 11 post *ἐγχειροῦμεν* verbum *καὶ* hab. V 12 *λέγετε* CYV : *-εται* XS 12 *τὸν θεὸν* post *οὐρανοῦ* tr. S 12-13 *καὶ τῆς θαλάσσης* om. XSY 13 *καταλειπεῖν* XS : *καταλειπὴν* Y *ἐγκαταλειπεῖν* C *ἐγκαταλιπεῖν* V 13 *ποιητὴν καὶ* om. S 14 *ἀκούσετέ* : *-σεταί* S 14 post *λόγους* verbum *τούτους* hab. Y 15 *ἃ* : *ὧν* V 15 *λέγετε* : *-εται* S 15 *τῶν θεῶν* XCY : *τὸν θεὸν* S *θεῶν* V

πολλὴν σπουδὴν ἔχετε ματαιοφρονοῦντες, καὶ στήσωσιν αὐτὰ οἱ ἱερεῖς ὑμῶν ἐν ἐπισήμῳ τόπῳ. ἐνέγκωμεν καὶ ἡμεῖς τὰ ὅπλα τῆς πίστεως ἡμῶν καὶ στήσωμεν αὐτὰ ἄντικρυς ἀλλήλων. ἐνέγκωμεν δὲ τυφλόν, χωλόν, παράλυτον καὶ δαιμονιόντα, καὶ ἐπικαλέσασθε ὑμεῖς τούτους ἰαθῆναι ὑπὸ τῶν θεῶν ὑμῶν. εἰ ὅλως ἰαθῶσιν, πιστεύομεν αὐτοῖς, εἰ δὲ μὴ τοῦτο γένηται ὑπὸ τῶν θεῶν ὑμῶν, ἐπικαλούμεθα καὶ ἡμεῖς τὸν ἀληθινὸν θεὸν ἡμῶν τὸν ἰώμενον πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν, καὶ ἐὰν ἰαθῶσιν, παρακαλῶ, ἀδελφοί, πιστεύσατε εἰς τὸν ἀληθινὸν θεὸν τὸν πλάστην καὶ δημιουργὸν τοῦ παντός.' τότε, τέκνον Εὐάγριε, οἱ πιστοὶ πάντες πρὸς ἐπιστήριξιν τῆς ἀληθείας ἔπεισαν τοὺς ὄχλους, καὶ ἤρεσεν ὁ λόγος μου ἐνώπιον πάντων, καὶ σταθέντες ἐν τῷ παλατίῳ Γορδίου κατὰ δυσμὰς τοῦ ἱπποδρομίου <εἰς> ὀλιγοστόν τι πεδίον, ἐνέγκαντες τὰ εἴδωλα ἔστησαν ἐπὶ τὰς καθέδρας αὐτῶν. λέγω οὖν κἀγὼ τῷ ἐμῷ μαθητῇ, 'τέκνον, ἄπελθε ἐν τῷ κελλίῳ καὶ λαβὼν ἐκ τῶν νέων παῖδας, ἐξένεγκε τὴν εἰκόνα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐκ

XSCYVO

1 ἔχετε XCV : -εται SY 2 ἐπισήμῳ] знаменитъ Usp 2 ἐνέγκωμεν SYV : -ομεν XC 2 post ἐνέγκωμεν verbum δὲ hab. S 3 αὐτὰ om. XYV 3 ἐνέγκωμεν SV : -ομεν XCY 3 post δὲ verbum καὶ hab. C 4 ἐπικαλέσασθε V : -σασθαι XSCY 5 ante εἰ (1) verbum καὶ hab. V 5 πιστεύομεν XCY : πιστεύωμεν S πιστεύσωμεν V 6 γένηται XCV : γένειται S γένοιται Y 7 θεὸν SCYV : δεσπότην X, corr. θεὸν X² 7 μαλακίαν] ѯзѕ Usp 8 post παρακαλῶ verbum δὲ hab. X 10 ἐπιστήριξιν XYV : ἐπειστήριξαν S στήριξιν C 10 ante ἔπεισαν verbum καὶ hab. S 10 ὄχλους XSCY : λαοὺς V 11 πάντων XSCY : αὐτῶν V 11 Γορδίου : Γορδίῳ S 12 ἱπποδρομίου XSCY : ἱπποδρόμου V 12 <εἰς> supplevi 14 κἀγὼ : ἐγὼ S 15 ἐξένεγκε : ἐξένεγκαι S 15 ἡμῶν om. V 15 Ἰησοῦ Χριστοῦ om. XV

τῆς θήκης, ὁμοίως καὶ τὴν τοῦ ἀποστόλου Πέτρου·' τὸν γὰρ σταυρὸν ἐγὼ κατεῖχον. ἀπῆλθεν οὖν ὁ παῖς καὶ ἤνεγκεν ὡς ἐλάλησα αὐτῷ. τότε ἐστήσαμεν καὶ ἡμεῖς τὰ ἡμέτερα ὅπλα ἐν τόπῳ ἀπέναντι τούτων. ὡς δὲ ἑώρακαν οἱ θεοὶ τῶν εἰδωλολατρῶν τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν καὶ τὴν εἰκόνα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τοῦ μακαρίου Πέτρου τοὺς πίνακας, συνέπεσον τὰ εἴδωλα μὴ φέροντα καθορᾶν τὴν δύναμιν τῶν θείων ὅπλων. ταῦτα μὲν οὖν, τέκνον, καὶ ὑμεῖς κατέχετε, ὡς κἀγώ, ἅπερ καὶ παρελάβομεν παρὰ τῶν ἁγίων ἀποστόλων ἐγὼ καὶ ὁ ἀδελφὸς Παγκράτιος. οἱ οὖν ἱερεῖς τῶν εἰδώλων, ὡς κατέπεσον τῶν καθεδρῶν οἱ μιαροὶ θεοί, λέγουσιν ὅτιπερ, 'οἱ δυνατοὶ θεοὶ ὑπερηφανεύσαντο τὰ ὅπλα Μαρκιανοῦ, καὶ διὰ τοῦτο οἱ ἀήττητοι θεοὶ οὐχ ὑπέστησαν στῆναι ἐν ταῖς καθέδραις αὐτῶν.' ἐγὼ οὖν πρὸς αὐτούς, 'ἀλήθειαν εἰρήκατε, ὅτι οὐχ ὑποφέρουσι τὴν δύναμιν τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν· τὰ γὰρ ὅπλα αὐτοῦ τῇ θείᾳ αὐτοῦ δυνάμει τετείχισται. τοῦτο μὲν εἰκὼν τοῦ υἱοῦ τοῦ θεοῦ ἐστιν καθ' ὁμοίωσιν τοῦ ὄντος ἐν μορφῇ

XSCYVO

1 post *θήκης* verbum *ἅμα καὶ τὴν τῆς παναγίας θεοτόκου* hab. XSCY, fort. recte 1 *ὁμοίως* om. XSCY 1 *τὴν* om. S 2 *κατεῖχον* XYV : *κατεῖχων* C *κατέχω* S 2 *ἤνεγκεν* X : *ἔνεγκεν* CYV *ἤνεγκαι* S 2 *ὡς* XSYV : *καθὼς* C 2 *ἐλάλησα αὐτῷ* XCY : *ἐλάλησα αὐτοῦ* S *λελάληκα* V 3 post *ἐν* verbum *δὲ* hab. C 3 *ὡς δὲ* CYV : *καὶ ὡς* S *ὡς* X 5 - 6 *τὴν εἰκόνα - Πέτρου* V : *τὰς τρεῖς εἰκόνας* XSCY, fort. recte 6 *συνέπεσον* : *συνέπεσαν* V 6 *καθορᾶν* : *καθωρᾶν* V 7 *θείων ὅπλων* : *θεῖον ὅπλον*, corr. *θείων ὅπλων* Y 7 *μὲν* om. S 7 *κατέχετε* XC : *κατέχεται* SY *διακατέχετε* V 8 *παρελάβομεν* XCV : *παρελάβωμεν* S *περιλάβομεν* Y, fort. recte 8 *παρὰ τῶν ἁγίων ἀποστόλων* om. XSCV 9 *ἀδελφὸς* XCYV : *ἅγιος* S 9 *κατέπεσον* XCY : *κατέπεσαν* SV 10 *λέγουσιν - θεοὶ* (2) om. S, propter homoeteleuton 11 *ὑπερηφανεύσαντο* : *-σάμενοι* C 11 *τὰ* om. C 11 *καὶ* om. C 12 *ὑπέστησαν* : *ὑπέστεισαν* S 14 *τετείχισται* XCY : *τετύχεισται* S *τετύχισται* V 14 ante *τοῦτο* verbum *καὶ* hab. XSCY 14 *τοῦτο* : *τὸ* S 15 *τοῦ υἱοῦ* om. S 15 351.2 *ἐστιν - θεοῦ* om. S, propter homoeoteleuton 15 *ὄντος* C : *ὄντως* XYV

θεοῦ καὶ μορφὴν δούλου λαβόντος, τὸ δὲ σημεῖον τοῦτό ἐστιν ἐν ᾧ ἐπάγη ὁ αὐτὸς κύριος Ἰησοῦς Χριστὸς διὰ τὴν σωτηρίαν τοῦ γένους τῶν ἀνθρώπων. εἴπατε δὲ καὶ ὑμεῖς οἱ τὰ ἀπεικάσματα σέβοντες, τίνες οἱ χαρακτῆρες, οὓς ἠνέγκατε ἐνώπιον τῶν θείων ὅπλων καὶ ἐστήσατε;' οἱ οὖν ἄνδρες λυττῶντες καὶ βρύχοντες τοὺς ὀδόντας λέγουσι πρός με, 'ἡμεῖς τοῦ καθαροῦ Ἀπόλλωνος καὶ Διὸς καὶ Σκαμάνδρου καὶ λοιπῶν διαφόρων θεῶν, ὧνπερ ἐὰν γνωρίσῃς τὴν δύναμιν, πεισθῇς αὐτοῖς καὶ δοξάσῃς αὐτούς.' ἐγὼ δέ, τέκνον μου, ἀκούσας ταῦτα παρ' αὐτῶν, καὶ γνοὺς ὅτι ἐν πολλῇ πικρίᾳ ψυχῆς αὐτῶν λέγουσιν αἱ μιαραὶ καὶ ἀκάθαρται γλῶσσαι, λέγω πρὸς αὐτούς, 'τί οὕτως ἐμάνητε ἀκαίρως; ὑμεῖς μαρτυρεῖτε, ὅτι ἰσχυροὶ θεοὶ εἰσίν. γνῶμεν τὴν δύναμιν αὐτῶν, καὶ πιστεύσομεν αὐτοῖς, ἐὰν ποιήσωσιν ὡς τὰ τοῦ θεοῦ μου ὅπλα μέλλουσι ποιεῖν, καὶ προσκυνήσω αὐτοῖς.' ὡς δὲ εἶπον αὐτοῖς ταῦτα, κατεπραΰνθησαν τῆς περιεχούσης αὐτοὺς μανίας καὶ λέγουσι πρός με ὀμνύοντες κατὰ τῶν μιαρῶν θεῶν αὐτῶν οὕτως, 'μά τὴν δύναμιν τῶν

XSCYVO

1. Phil. 2:7

1 post λαβόντος verba καὶ τῆς παναχράντου αὐτοῦ μητρὸς hab. XSCY, fort. recte 2 ἐπάγη XSCY : ἐπάγει V 2 ὁ om. V 2 ante διὰ verbum καὶ hab. XY 3 ὑμεῖς : ἡμεῖς Y 3 τίνες XYV : τίνος SC 4 ἠνέγκατε : ἐνέγκατε V 6 ἡμεῖς : ὑμεῖς X 6 καὶ Σκαμάνδρου om. C 7 γνωρίσῃς : -εις S 7 πεισθῇς XY : πισθεῖς S πεισθεῖς CV 8 δοξάσῃς V : δοξάσεις, corr. -σης C δοξάσεις XSY 8 μου XYV (post ἀκούσας tr. V) : μὴ S, om. C 8 ταῦτα om. C 10 ἀκάθαρται γλῶσσα : ἀκάθαρτοι γνώμαι V 10 ἐμάνητε XYV : -ειται S -ηται C 11 μαρτυρεῖτε CYV : -εῖται XS 12 πιστεύσομεν XC : πιστεύσωμεν SY πιστεύσω V 12 ἐὰν om. XSCY 13 ὡς δὲ - ταῦτα : τότε C 13 εἶπον : εἶπων S 14 αὐτοὺς XCY : αὐτῶν S αὐτοῖς V 14 καὶ om. C 15 ὀμνύοντες post αὐτῶν tr. V

μεγάλων θεῶν, ὁ Μαρκιανὸς καλῶς ἀπεφήνατο.' λέγω δέ, τέκνον, πρὸς αὐτούς, 'ἄνδρες, συμπαραλαβόντες τοὺς ἀσθενεῖς, ἀπέλθετε, ἀνεγείρατε τοὺς θεοὺς ὑμῶν καὶ δυσωπήσατε αὐτούς, οὓς λέγετε θεοὺς ἰσχυρούς, εἰ ὑπακούσουσιν ὑμῖν καὶ ἰάσονταί τινα αὐτῶν,' καὶ ἐπήραν ἅπαν τὸ πλῆθος σὺν τῶν ἱερέων τοὺς ἀσθενεῖς, καὶ λαβόμενοι τὰ ἀκάθαρτα εἴδωλα φόβῳ πολλῷ ἔβαλον αὐτὰ εἰς τὰς καθέδρας αὐτῶν. ἐγὼ οὖν, τέκνον, προσελθὼν τῇ εἰκόνι τοῦ Χριστοῦ καὶ ἀσπασάμενος, βέβληκα αὐτὴν ὑπὸ τὴν διπλοΐδα μου καὶ τὸν τίμιον σταυρὸν καὶ τὴν εἰκόνα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τοῦ μακαρίου ἀποστόλου τοὺς πίνακας, ἐπειδὴ οἱ μιαροὶ θεοί, ὡς ἐθεώρουν τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν καὶ τὰς ἁγίας εἰκόνας, ἔπιπτον χαμαί. ἐνέγκαντες οὖν τοὺς ἀσθενεῖς καὶ στήσαντες, ἐπεκαλοῦντο εἷς ἕκαστος αὐτῶν τὸν ἴδιον θεὸν καὶ οὐδαμοῦ ὑπακοὴ εἰς αὐτοὺς καὶ οὐδαμοῦ ἴασις. ἐπικαλεσάμενοι οὖν καὶ μὴ ὑπακουσθέντες, λέγουσι πρός με, 'ὦ Μαρκιανέ, ἡμεῖς ἀπεκάμαμεν καὶ οἱ ἀήττητοι θεοὶ οὐχ ὑπήκουσαν

XSCYVO

1 post μεγάλων verbum ἡμῶν hab. Y 1 καλῶς CYV : καλὸς XS 1 δέ om. S 2 ἀπέλθετε XCY : -ατε SV 3 οὓς SCYV : ὡς X 3 λέγετε XCV : -εται SY 4 ὑπακούσουσιν nos : ὑπακούσωσιν V ὑπακούουσιν XSCY 4 ὑμῖν XSYV : ὑμῶν C 4 ἐπήραν XV : ἐπείραν SY ἐπείραν, corr. ἐπήραν C 5 ἅπαν : πᾶν C 5 σὺν τῶν ἱερέων : τῶν Ἰουδαίων S 5 λαβόμενοι : -όμενα Y 6 ἔβαλον XCY : ἔβαλαν S ἐνέβαλον V 7 Χριστοῦ XSYV : κυρίου C 8 αὐτὴν om. V 8 post μου verba καὶ τῆς παναγίας ἀχράντουδεσποίνης ἡμῶν θεοτόκου ὁμοίως καὶ τοῦ ἀποστόλου Πέτρου hab. XSCY, fort. recte 8 post τίμιον verba καὶ ζωποιὸν hab. XSCY, fort. recte 8 - 9 καὶ τὴν εἰκόνα - πίνακας om. XSCY, fort. recte 13 post θεὸν verbum αὐτοῦ hab. V 14 καὶ om. XSCY 14 ὑπακουσθέντες SCV : εἰσακουσθέντες XY 15 ὑπήκουσαν SC : ὑπήκουσιν XV ὑπακούουσιν Y

ἡμῖν, ὡς μὴ θυσίας δεξάμενοι παρ' ἡμῶν. ἐπικάλεσε δὲ καὶ σὺ τὸν θεόν σου, καὶ εἰ διὰ τῶν ὅπλων τοῦ Χριστοῦ σου ποιήσεις θαυμάσια, ὡς τὴν πρόθεσίν σου ἀποδεξάμενοι, ὡς εἴρηκας ὅτιπερ, 'εἰ θαυματουργήσουσιν οἱ θεοὶ ὑμῶν, πιστεύσομεν εἰς αὐτούς.' πλὴν δὲ λέγομέν σοι, δι' ὧν οὐχ ὑπήκουσαν οἱ θεοὶ ἡμῶν ἡμῖν, ὡς προείπομεν, εἰ δείξεις ἡμῖν τῶν ἀσθενούντων τὴν ἴασιν, πιστεύσομεν εἰς τὸν θεόν σου καὶ ἡμεῖς, ὡς ὁ λοιπὸς ὄχλος.' τότε, τέκνον, λέγω τῷ ὄχλῳ, 'βλέπετε, τέκνα καὶ ἀδελφοί, ἐξ ὅλης καρδίας ὑμῶν τῷ Χριστῷ συντάξασθε, ἵνα φωτίσῃ ὑμῶν τὰς καρδίας.' λέγω οὖν τῷ παιδαρίῳ, 'λάβε τὸ ἐφάπλωμα καὶ στῆσον τὰ ὅπλα ἡμῶν καὶ ἐξ ὅλης καρδίας ἡμῶν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν δυσωπήσωμεν, ἵνα ἐπισκέψηται ἰδίᾳ εὐσπλαγχνίᾳ τὸ ἴδιον πλάσμα.' ὡς οὖν ἑωράκασιν οἱ πιστοὶ ὅτι ἐτέθησαν ἐν τῷ τόπῳ τὰ Χριστιανικὰ ὅπλα, συνῆλθον ἅπαντες ἐνώπιόν μου καὶ προετρεψάμην αὐτοὺς εἰς εὐχήν. πάντες δὲ ἐκτενεῖ ἱκεσίᾳ δυσωπήσαντες τὸν ἀληθινὸν θεὸν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἦχος ἐγένετο εἰς πλήρης καὶ

XSCYVO

1 *θυσίας* XY : *θυσίαν* SCV 1 *δεξάμενοι* : *δοξάμενοι* V 1 *δὲ* om. S 2 *σου* (1) om. C 2 *εἰ* om. S 2 *ποιήσεις* XYV : *ποιείσης* S *ποιήσης* C 3 *ὅτιπερ* V : *ὅπερ* XSCY 3 *θαυματουργήσουσιν* : *-σωσιν* S 4 *οἱ θεοὶ ὑμῶν* om. XSCY 4 *πιστεύσομεν* : *πιστεύσω* V 4 *λέγομεν* Y : *-ωμεν* XSCV 5 *οἱ θεοὶ ἡμῶν* om. XSCY 5 *προεῖπομεν* XCY : *-ωμεν* S *-αμεν* V 5 *εἰ* XSYV : *ἐὰν* C 5 *δείξεις* XV : *δίξης* S *δείξης* CY 6 *πιστεύσομεν* nos : *πιστεύσωμεν* SV *πιστεύομεν* XCY 6 post *σου* verba *καὶ βαπτισθησόμεθα* hab. V, fort. recte 6 post *ἡμεῖς* verba *καὶ βαπτίσθη* hab. C 7 *ὁ λοιπὸς* (*λοιπῶς*, corr. *-ὸς* C) *ὄχλος* XSCY : *οἱ λοιποὶ ὄχλοι* V 8 *συντάξασθε* YV : *-ασθαι* XSC 8 *φωτίσῃ* V : *φωτήσει* X *φωτίσει* SCY 9 *τῷ* om. C 9 *τὸ* om. XSY 9 *ἐφάπλωμα* nos : *ἐπάπλωμα* XSCYV 10 *ἡμῶν* (1) om. V 10 - 11 *κύριον ἡμῶν Ἰησοῦν Χριστὸν* : *Χριστὸν καὶ κύριον ἡμῶν* S 11 *δυσωπήσωμεν* XSYV : *-σομεν* C 11 *ἐπισκέψηται* XCYV : *-ητε* S 11 ante *ἰδίᾳ* verbum *τῇ* hab. V 12 *ἑωράκασιν* : *ἑώρακαν* S 13 *Χριστιανικὰ* : *Χριστιανὰ* S 13 *συνῆλθον* : *-ων* S 14 *ἐκτενεῖ* nos : *ἐκτενὴ* XSCYV 14 *ἱκεσίᾳ* XCYV : *ἱκεσίαν* S

ἐσείσθη ὁ τόπος ὅπου εἱστήκημεν. πάντων δὲ ἐμφόβων γενομένων, καὶ πιστῶν καὶ ἀπίστων, λέγω πρὸς τὸν ὄχλον, 'μὴ φοβηθῆτε τὴν γενομένην εἰς ὑμᾶς ἐπίσκεψιν.' τότε ἐκέλευσα ἀχθῆναι τοὺς ἀσθενεῖς, καὶ ἐλθόντες ἔστησαν ἐνώπιον τῶν θείων ὅπλων, καὶ λαβόμενος τοὺς προσιόντας, δέδωκα αὐτοῖς τὴν ἐν Χριστῷ σφραγῖδα καὶ λέγω αὐτοῖς, 'προσέλθετε καὶ προσκυνήσατε τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν καὶ τὸν τίμιον καὶ φαιδρὸν χαρακτῆρα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.' καὶ προσκυνήσαντες, οἱ τυφλοὶ ἀνέβλεψαν, οἱ χωλοὶ περιεπάτησαν, οἱ παράλυτοι ἐξανέστησαν, οἱ λεπροὶ ὡς ἱμάτιον ἀπεδύσαντο τὴν κακόστικτον αὐτῶν λέπραν, οἱ δαιμονιόντες ἀπ' ἐκείνης τῆς ὥρας ἀπηλλάγησαν τῶν ἀκαθάρτων δαιμόνων. οἱ οὖν ἄνδρες ἰδόντες τὰ τοῦ θεοῦ θαυμάσια τὰ διὰ τῶν θείων ὅπλων ἐπιτελεσθέντα, καὶ τοὺς μιαροὺς αὐτῶν θεοὺς εἰς οὐδὲν ἡγησάμενοι, λέγουσιν ὡς ἐξ ἑνὸς στόματος, 'δόξα σοι, Ἰησοῦ Χριστὲ ὁ ἀληθινὸς θεός. πιστεύομεν, κύριε Ἰησοῦ Χριστέ, εἰς σὲ τὸν ἀληθινὸν καὶ παντοδύναμον θεόν.' καὶ

XSCYVO

1 εἱστήκημεν nos : ἱστήκημεν XS : ἱστίκημεν C ἱστήκαμεν, corr. -ημεν Y ἱστάμεθα V 2 φοβηθῆτε XY : φοβηθεῖτε S φοβεῖσθαι C φοβεῖσθε V, fort. recte 3 γενομένην C : γεναμένην XSYV 3 ὑμᾶς V : ἡμᾶς XSCY, fort. recte 3 ἐκέλευσα : -σεν V 6 προσέλθετε XSCY : -ατε V 6 - 7 καὶ τὸν τίμιον - Χριστοῦ V : καὶ τὰς ἁγίας εἰκόνας XSCY, fort. recte 8 post οἱ (1) verbum μὲν hab. V 9 post οἱ verbum δὲ hab. V 9 ἀπεδύσαντο XCYV : ἀπεθήσαντο S 10 post οἱ verbum δὲ hab. V 11 ἰδόντες SV : ἰδότες XY ἰδῶτες C 12 τὰ om. XCYV 12 ἐπιτελεσθέντα CV : -θέντων XSY 14 Ἰησοῦ om. XSY 14 ἀληθινὸς om. Y 14 πιστεύομεν XSCY : -ωμεν V 15 θεὸν post ἀληθινὸν tr. C

καταπηδήσαντα τὰ πλήθη συνέτριψαν τὰ εἴδωλα καὶ ἐπίστευσαν τῷ Χριστῷ. ἐλθόντες οὖν, τέκνον μου, ἐν τῇ θεοκτίστῳ κολυμβήθρᾳ, ἐβάπτισα ἅπαντας εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. οὕτως λοιπόν, τέκνον μου Εὐάγριε, ἡ πόλις ἅπασα ἐπίστευσε τῷ Χριστῷ, καὶ ἐγένετο μία ποίμνη, εἷς ποιμήν. ἔτι δὲ ὀλίγον ἦν ἐμπνέων ὁ διάβολος κατὰ τῆς τοῦ Χριστοῦ ποίμνης καὶ λαβὼν ὀλιγοστοὺς ἐκ τῶν Ἰουδαίων καὶ Μοντανῶν, ἀπελθόντες ἔθαψαν ὅπου καὶ τὰ τῶν Σκλάβων ἔκειντο σκηνώματα, ἃ καὶ ἀνεγράψαντο οἱ ἱστοριογράφοι, καὶ ἀπελθόντες ἐποίησαν θυσίαν πονηρὰν ἐν τοῖς τάφοις, οἷς καὶ ἤθελον πόλιν καὶ ναὸν οἰκοδομῆσαι. σκεψάμενοι οὖν τοῦ ἐγχειρῆσαι, ἦλθέν μοι ἐκ θείας ἀποκαλύψεως τοῦ ἀπελθεῖν ἐκεῖσε, καὶ ἐπιβὰς τῇ ἰδίᾳ ἡλικίᾳ ἀπῆλθον, καὶ τοὺς λεγεῶνας τῶν ἀκαθάρτων δαιμόνων τῇ χάριτι Χριστοῦ τοῦ θεοῦ καὶ ἀληθινοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ὄντος ἐν ἀρχῇ ἐν πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι, ἀπήλασα ἐκ τοῦ τόπου, καὶ πᾶς ὁ λαὸς ἦν σχολάζων ἀεννάως

XSCYVO

1 post πλήθη verbum καὶ hab. S 2 οὖν om. S 2 τέκνον μου XC : τέκνα μου S τέκνον Y οἱ ὄχλοι V fort. recte 3 ἅπαντας : ἅπαντες, corr. ἅπαντας X 3 τὸ om. XCY 3 τοῦ (1,2,3) om. XCY 3 καὶ τοῦ υἱοῦ om. S 5 ἐπίστευσε XYV : ἐπίστευσαν SC 5β ἐγένετο XCYV : ἐγένοντο S 6 ἐμπνέων : ἐμνέον Y 6 τοῦ om. Y 7 ὀλιγοστοὺς : ὀλίγους τοὺς Y 8 ἔθαψαν om. S 8 ἐκείντο : ἐκείνων S 10 ἤθελον : ἔθελον C 10 πόλιν om. C 10 οἰκοδομῆσαι XY : ἀνοικοδομῆσαι SCV 11 ἐγχειρῆσαι XC : ἐγχειρίσαι SYV 12 ἀπῆλθον : -ων S 13 ἀκαθάρτων om. XY 13 - 14 Χριστοῦ τοῦ θεοῦ καὶ ἀληθινοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ : τοῦ θεοῦ καὶ κυρίου ἡμῶν S 14 Χριστοῦ om. V 14 post Χριστοῦ verba καὶ τῶν ἁγίων ἀποστόλων hab. X (del.) 14 - 356.1 τοῦ ὄντος - Χριστοῦ om. S propter homoeoteleuton 14 ὄντος CY : ὄντως XV 15 ἀπήλασα Y : ἀπηλάσθησαν XC ἀπελάσθησαν V 15 ἀεννάως : ἀενάως V

τοῖς διδάγμασι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τῶν ἁγίων ἀποστόλων καὶ δι' ἡμῶν τῶν ἐλαχίστων δούλων αὐτοῦ. εἰσὶν δέ, τέκνον μου, ἕτεραι διηγήσεις, ἃς πεποιήκασίν μοι οἱ ἀχάριστοι Ἰουδαῖοι, δι' ὃ τοὺς υἱοὺς αὐτῶν ἐβάπτισα καὶ τῷ Χριστῷ προσήνεγκα, οὓς ἀποσυναγώγους ἐποιήσαντο, μηκέτι δεξάμενοι αὐτούς, ἀλλ' ἕως τοῦ παρόντος ἐν ἐμοὶ ὑπάρχουσι πιστοὶ καὶ τὰ Χριστιανικὰ φρονοῦντες καὶ ὁμολογοῦντες τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν εἶναι ἀληθινὸν θεόν. εἰκότως οὖν, τέκνον, ἐντολὴν ἔλαβες παρὰ τοῦ ἀδελφοῦ Παγκρατίου ἀπελθεῖν καὶ ἱστορῆσαι καὶ τὸν ἀδελφὸν Ἐπαφρόδιτον." ἐγὼ δὲ πρὸς τὸν μακάριον εἶπον, "ναί, πάτερ, οὕτως ἐκέλευσέν μοι ὁ κύριός μου Παγκράτιος, ἵνα ἀπέλθω καὶ εἰς αὐτὸν μετὰ τὸ ὀφθῆναί με τῇ σῇ ἁγιωσύνῃ· ἀλλ' οὐκ ἐπίσταμαι τοὺς τόπους καὶ ἐν ποίοις μέρεσιν ὁ ἀδελφὸς Ἐπαφρόδιτος ὑπάρχει." τότε ὁ μακάριος Μαρκιανὸς ταῦτα λαλήσας προσκαλεσάμενος ἕνα τῶν μαθητῶν αὐτοῦ εἰδότα τὰς ἐπαρχίας, ἐπιβάντες τῶν ἡμιόνων, ἐξήλθομεν ἐκ τῆς πόλεως καὶ

XSCYVO

2 αὐτοῦ ante δούλων tr. V 2 - 3 τέκνον μου : ὦ τέκνον V 3 ἃς XSCY : ἅσπερ V 3 πεποιήκασίν V : πεποίηκάν XSCY 3 ἀχάριστοι XSYV : ἄχριστοι C 3 δι' ὃ nos : δι' ὧν XSYV : δι' ὅν, corr. δι' ὧν C 4 post οὓς verbum καὶ hab. V 6 - 7 καὶ ὁμολογοῦντες add. X[1], om. S 7 εἶναι ἀληθινὸν (ἀληθεινὸν S) θεὸν XSCY : θεὸν ἀληθεινόν V 8 εἰκότως XSV : εἰκότος CY 9 καὶ (2) om. V 10 ἐκέλευσέν XSCY : κεκέλευκέν V 10 κύριός μου SV : κύρις XCY 11 ὀφθῆναι XYV : ὠφθῆναι SC 11 με : μοι S 14 εἰδότα C : ἰδότα XY εἰδώτι S ἰδόντα V 15 ante ἐπιβάντες verbum καὶ hab. S 15 ἐξήλθομεν XCY : -ωμεν S -αμεν V 15 - 357.1 καὶ ἠρξάμεθα τῆς ὁδοιπορίας om. XSCY, fort. recte

ἠρξάμεθα τῆς ὁδοιπορίας. ἤλθομεν οὖν ἡμέρας μίας ὁδὸν ἐν τῷ τόπῳ ὅπου ἦν ὁ Ἐπαφρόδιτος, καὶ εἰσελθόντες ὑπὸ τὴν σκηνήν, εὕραμεν αὐτὸν ἐπιτελοῦντα τὸν ἑσπερινὸν κανόνα. ὡς δὲ ἑώρακέν με, ἐχάρη τῇ ψυχῇ καὶ ἠγαλλιάσατο τῷ πνεύματι, καὶ προτρεψάμενός με, ἐποίησα τὴν εὐχὴν τῆς ἀπολύσεως, καὶ πληρώσαντες, συλλαβόμενοι ἠσπασάμεθα ἑαυτοὺς μετὰ δακρύων. καθεσθέντες οὖν ἐν ἑνὶ τόπῳ ἡσυχαστικῷ, διηγήσατό μοι ἅπαντα, ἅπερ καὶ πρώην διηγησάμην περὶ αὐτοῦ ἐν τῷ ἀνωτέρῳ τόπῳ τοῦ βιβλίου. ἅπαντα δέ, ἅπερ ἤκουσα παρὰ τοῦ μακαρίου Μαρκιανοῦ καὶ Ἐπαφροδίτου ἐν χάρταις σημείοις ἐνέθηκα σὺν τῶν τοῦ μακαρίου Παγκρατίου, ἅπερ ἐνέθηκα σὺν αὐτοῖς ἐν τῷ παρόντι βιβλίῳ. διατρίψαντος δέ μου σὺν τῷ ἀδελφῷ Ἐπαφροδίτῳ ἡμέρας ὀκτώ, καὶ ἰδὼν ἅπαντα καὶ ἀκούσας παρ' αὐτοῦ τὰ μεγαλεῖα, ἃ ἐποίησεν κύριος ὁ θεὸς δι' αὐτοῦ, ἑωρακὼς δὲ καὶ τὴν οἰκοδομὴν τῆς ἐκκλησίας, ἣν καὶ ὠνόμασεν 'Οἶκον Εἰρήνης', συνταξάμενος αὐτῷ, ἐξῆλθον. ἦν δὲ ὁ μακάριος Μαρκιανὸς εἰρηκώς

XSCYVO

1 ἤλθομεν XY : -ωμεν SC -αμεν V 1 τῷ om. XS 2 ὅπου XSCY : ὃ V 2 ὁ om. YV 3 ἑσπερινὸν κανόνα (κανόνα corr. κανώνα Y, κανώνα XC) XCY : κανώνα τὸν ἑσπερινόν S ἑσπερινὸν ὕμνον V 6 ἑαυτοὺς : αὐτοὺς C 7 ἅπερ V : ὅσα XSCY 8 ἤκουσα post Ἐπαφροδίτου tr. XSY, om. C 9 παρὰ V : ἐκ XSCY 9 Μαρκιανοῦ : Παγκρατίου C 9 χάρταις XCY : χαρτῴοις S χάρτεσιν V 10 ἐνέθηκα V : ἐπέθηκα XY ἔθηκα SC 10 μακαρίου XSCY : κυρίου μου V 10 Παγκρατίου : Μαρκιανοῦ C 11 βιβλίῳ : βιβλίον S 11 δέ post μου tr. S 12 ἰδὼν S : εἰδὼς XCY ἰδὼς V 13 μεγαλεῖα XCV : μεγαλία SY 13 ὁ θεὸς om. V 14 ἣν XSCY : ἥνπερ V 14 ὠνόμασεν nos : ὀνόμασεν XSCY ὠνόμασαν V, fort. recte 15 ante συνταξάμενος vrbum καὶ hab. V 15 ἐξῆλθον : -ων S 15 post δὲ verbum καὶ hab. V

μοι οὕτως, "τέκνον Εὐάγριε, μετὰ τὸ ὀφθῆναί σε τῷ ἀδελφῷ Ἐπαφροδίτῳ, πάλιν τὴν αὐτὴν ὁδὸν πρὸς ἡμᾶς ὑπόστρεψον, ἵνα σὺν σοὶ παραγενόμεθα ἐν τῇ πόλει ὑμῶν πρὸς τὸν ἅγιον Παγκράτιον καὶ ἡμέτερον συλλειτουργὸν πρὸς τὸ ἀλλήλους θεάσασθαι," καὶ ὑποστρέψαντες, ἤλθομεν ἐν Συρακούσῃ πρὸς τὸν μακάριον Μαρκιανόν, καὶ ἐποιήσαμεν ἔτι ἡμέρας τρεῖς, καὶ διευθετήσας τοὺς μαθητὰς αὐτοῦ ψάλλειν τὸν ἑσπερινὸν καὶ ἑωθινὸν κανόνα ἐν τῷ κελλίῳ (οὔπω γὰρ ἦν κτίσας ἐκκλησίαν ἢ εὐκτήριον) ἀπεπλεύσαμεν. ὥρα δὲ ἦν τῆς νυκτὸς ὡσεὶ τρίτη ὅτε ἐξήλθομεν, καὶ κατευθύναντος ἡμῖν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὥρᾳ ἑνάτῃ τῆς νυκτὸς κατήχθημεν ἐν παραλίᾳ Φάλκονος. ἔγνω δὲ ὁ μακάριος Παγκράτιος τῷ πνεύματι ὅτι ἥκαμεν, καὶ ἐξαναστάς, λαβὼν τὸ σκεῦος τῆς εὐωδίας, ὑπήντησεν ἡμῖν μετὰ τῶν μαθητῶν αὐτοῦ, ἑκάστου κατέχοντος κηρὸν ἅπτοντα. ὡς δὲ ἑώρακεν ὁ μακάριος Μαρκιανὸς τὸν μακάριον Παγκράτιον διακατέχοντα ἐν τῇ χειρὶ αὐτοῦ τὸ σκεῦος τοῦ θυμιάματος, καὶ τοὺς

XSCYVO

1 ὀφθῆναι XYV : ὠφθῆναι SC 2 Ἐπαφροδίτῳ om. XSCY 2 πρὸς ἡμᾶς post ὑπόστρεψον tr. S 3 παραγενόμεθα XCYV : γενόμεθα S 3 ἅγιον XSCY : ἁγιώτατον V 4 ἡμέτερον : ἡμῶν Y 4 πρὸς τὸ XSC : πρὸ Y πρὸς V 4 ἀλλήλους θεάσασθαι XSCY : ἀλλήλοις θεαθῆναι V 5 ὑποστρέψαντες XSCY : ὑποστρέψας V, fort. recte 5 ἤλθομεν XCY : εἴλθωμεν S ἦλθον V, fort. recte 5 Συρακούσῃ : Συρακούσει V 5 μακάριον XSYV : ἁγιότατον C 6 καὶ (2) om. V 8 δὲ post ἀπεπλεύσαμεν tr. V 9 ὡσεὶ : ὡς X 9 ἐξήλθομεν XY : -ωμεν SC -αμεν V 9 κατευθύναντος : -οντας Y 9 ἡμῖν : ἡμῶν S 10 ἑνάτῃ V : ἐννάτῃ XSCY 10 κατήχθημεν XSCY : κατήξαμεν V 11 παραλίᾳ V : τῷ παραλίῳ XSCY 12 καὶ om. C 12 post ἐξαναστάς verbum καὶ hab. V 13 ἅπτοντα : ἅπτοντος C 15 διακατέχοντα : κατέχων S 15 post αὐτοῦ verbum θυμιατοῦ hab. XSY, τοῦ θυμιατοῦ hab. C 15 τὸ σκεῦος : τοῦ σκεύους Y 15 τοῦ θυμιάματος om. XSCY 15 καὶ om. V

παῖδας τοὺς νέους, λέγει πρός με, "τέκνον Εὐάγριε, τίνες οἱ διακατέχοντες τὰς λαμπάδας καὶ τίς ἡ εὐωδία ἡ προϋπαντῶσα ἡμῖν; ὡς ὑπολαμβάνω, ὁ κύρις Παγκράτιός ἐστιν." ὡς δὲ ἠγγίσαμεν ὡσεὶ λίθου βολὴν τοῦ τόπου, δυσορθοῦ ὄντος, λέγω τῷ ἁγίῳ Μαρκιανῷ, "καλῶς εἴρηκας, πάτερ, ὅτι ὁ κύριός μου Παγκράτιός ἐστιν μετὰ τῶν παίδων τῶν μαθητευομένων εἰς τὴν σχολὴν τῶν ἱερῶν γραμμάτων." ὡς δὲ προσηγγίσαμεν καὶ ἐποίησαντο πρὸς ἀλλήλους σέβας, πεσόντες ἐπὶ πρόσωπον ἀμφότεροι, ᾐτήσαντο ἀλλήλοις ἐπεύξασθαι. ὁ δὲ μακάριος Παγκράτιος πρὸς τὸν ἁγιώτατον Μαρκιανόν, "πάτερ, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου." ἐπευξάμενος δὲ ὁ ἁγιώτατος Μαρκιανός, ἀνέστησαν ἐκ τοῦ ἐδάφους, καὶ περιέλαβον ἀλλήλους καὶ ἀσπασάμενοι ἑαυτούς, ἤλθομεν ἔν τινι εὐκτηρίῳ, καὶ εἰσελθὼν ἐν τῷ προαυλίῳ καὶ δι' αὐτοῦ ἐν τῷ εὐκτηρίῳ, ἐπευξάμενος κατὰ τὸ εἰωθώς, πάλιν ἠσπάσαντο ἀλλήλους. ἐνέγκαντες οὖν δίφρους, ἐκαθέσθησαν. ἦν δὲ ὁ μακάριος Παγκράτιος ταχύνας καὶ πεποιηκὼς

XSCYVO

10. Mt. 21:9, etc.

2 προϋπαντῶσα V : προϋπαντόσα XY προσαπαντῶσα SC, fort. recte 3 κύρις XCYV : κύριός μου S 4 βολὴν : βολὴ C 4 ὄντος CV : ὄντως XS ὄντως, corr. ὄντος Y 4 ἁγίῳ XS : ἁγιωτάτῳ CYV 5 - 6 τῶν παίδων om. Y 6 post παίδων verba τῶν νέων hab. C 8 ᾐτήσαντο : ᾐτίσαντο S 8 ἀλλήλοις ἐπεύξασθαι CV : ἀλλήλους προσεύξασθαι XSY 9 μακάριος : ἅγιος S 11 post ἐδάφους verbum ἀμφότεροι hab. V, fort. recte 12 ἑαυτοὺς om. S 12 ἤλθομεν XCY : -ωμεν S - αμεν V 13 προαυλίῳ : προαυλία S 14 κατὰ τὸ om. V 14 ἐνέγκαντες οὖν XSYV : ἐνέγκαντος οὖν μου C, fort. recte 15 δὲ om. S

τὸν κανόνα. ἤρξατο δὲ λέγειν πρὸς τὸν μακάριον Μαρκιανόν, "τί πρὸς ἡμᾶς παρεγένου θεάσασθαι, πάτερ; τί κόπους παρέχομεν τῇ σῇ ἁγιωσύνῃ;" ὁ δὲ ἁγιώτατος Μαρκιανὸς πρὸς αὐτόν, "ἐπειδὴ οἱ ἀσθενεῖς πρὸς τοὺς ἰατροὺς προστρέχουσι θεραπευθῆναι τῆς ἀρρωστίας." ὁ δὲ μακάριος Παγκράτιος πρὸς αὐτόν, "εἴθε, ἁγιώτατε Μαρκιανέ, τὰς ἀσθενείας σου ἡμεῖς, οἱ μὴ δυνάμενοι στῆσαι τῶν παθῶν τὰς ἀφορμάς, εἴχομεν." τότε ἀναστάντες ἐκ τῶν δίφρων, ἦλθον ὀπίσω τοῦ εὐκτηρίου καὶ ἐθεοῦντο τοῦ τόπου τὴν δύναμιν καὶ τὸ ὕψος. ἦν δέ, ἀδελφοί, ἰδεῖν τοὺς μακαρίους ὡς Μωϋσέα καὶ Ἀαρών· ἦσαν γὰρ ἀμφότεροι ἕτερος ἑτέρου μὴ ὑπερέχων τῇ ἡλικίᾳ καὶ ἐν τῇ μορφῇ ἀλλήλοις ἐμφερεῖς, ὡς ὅτ' ἂν ἦλθόν τινες καὶ ἐθεάσαντο αὐτοὺς λέγειν ἐκ φύσεως Μαρκιανοῦ ἀδελφὸν εἶναι. ἦλθεν οὖν Βονιφάτιος καὶ πάντες οἱ δυνάσται τῆς πόλεως, ὡς ἐγένετο ἡμέρα καὶ ἤκουσαν τὸν ἁγιώτατον Μαρκιανὸν πεφθακέναι πρὸς τὸν μακάριον Παγκράτιον, καὶ πεσόντες ἐπὶ πρόσωπον αὐτῶν, ᾐτήσαντο εὐλογηθῆναι ὑπὸ τῶν μακαρίων.

XSCYVO

1 πρὸς (2) om. V 2 παρεγένου : ἐγένου C 2 κόπους] *троды* Usp 2 παρέχομεν XYV : -ωμεν SC 3 πρὸς αὐτόν om. S 4 ἰατροὺς : ἰατρικοὺς S 4 προστρέχουσι] *пририщоуть* Usp 4 - 5 τῆς ἀρρωστίας] ѿ ѥзь Usp 5 Παγκράτιος om. V 5 εἴθε XCY : οἴθε S ἤθοι V 5 ante ἁγιώτατε verbum ὦ hab. CV 6 μὴ om. S 7 τὰς ἀφορμάς CY, add. X[1], om. SV 7 εἴχομεν XCYV : ἤχωμεν S 8 τοῦ τόπου post δύναμιν tr. S 9 ante ἀδελφοί verbum ὦ hab. CV 9 ἰδεῖν CV : ἰδέσθαι XSY 9 Μωϋσέα C : Μωσέα XYV Μοσέα S 10 ἑτέρου : ἑτέρῳ C 10 post ἡλικίᾳ verbum ἀλλὰ hab. V 11 ὅτ' ἄν : ὅτι C 12 post φύσεως verbum σαρκὸς hab. V 12 ἀδελφὸν XSCY : ἀδελφοὺς V, fort. recte 12 ante Βονιφάτιος verbum καὶ hab. V 12 πάντες οἱ δυνάσται τῆς πόλεως] *вси могоутьѥ градьии* Usp 13 τῆς πόλεως om. V 13 ἁγιώτατον : μακάριον C 15 ᾐτήσαντο : ᾐτίσαντο αὐτῷ S 15 εὐλογηθῆναι : εὐλογησθῆναι Y

ποιήσαντες δὲ εὐχὴν ὑπὲρ πάντων ἀνέστησαν, καὶ συνελθόντες ἠσπάσαντο τὸν μακάριον ἅπαντες. τότε ὁ ἁγιώτατος Παγκράτιος πρὸς Βονιφάτιον καὶ τοὺς λοιποὺς ἄρχοντας ἔφη, "ἰδού, τέκνα, καὶ ὁ κύρις Ἐπαφρόδιτος ὁ ἡμέτερος ἀδελφὸς καὶ συνεργὸς ἐν Χριστῷ, διὰ τῆς χάριτος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τῇ πρεσβείᾳ τοῦ πατρὸς ἡμῶν Μαρκιανοῦ ἐν πᾶσι κατευοδοῦται, καὶ πολλὰς εὐχὰς ὑπὲρ πάντων ποιεῖται πρὸς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν ἀληθινὸν θεόν." ἐθαύμαζον δὲ ἅπαντες ἐπὶ τῇ μορφῇ τῶν μακαρίων, Μαρκιανοῦ καὶ Παγκρατίου· ἦν γὰρ ἰδεῖν αὐτούς, ὡς προείρηται, ἀγγελικὴν τάξιν ἔχοντας. ποιησάντες οὖν λόγους οἱ μακάριοι πνευματικοὺς ἐνώπιον τοῦ λαοῦ καὶ ἐπευξάμενοι, ἀπέλυσαν ἅπαντας. ἦν δὲ ἡμέρα Σαββάτου, καὶ μεταστειλάμενος ὁ μακάριος Παγκράτιος Βονιφάτιον, λέγει πρὸς αὐτόν, "τέκνον, σήμερον Σάββατόν ἐστιν καὶ αὔριον Κυριακή, ἤγουν ἡ ἀνάστασις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· τὸν ἁγιώτατον Μαρκιανὸν προτρέψασθαι ἔχομεν τοῦ ἐπιτελέσαι τὴν

XSCYVO

1 δὲ XSCY : οὖν V 2 ἅπαντες XSYV : πάντες C 2 ἁγιώτατος : μακάριος V 3 ἔφη XSY : λέγει V, om. C 4 κύρις XCV : κύριος SY 6 post Μαρκιανοῦ verba τοῦ ἁγιωτάτου ἐπισκόπου hab. V 6 κατευοδοῦται XC : κατευοδοῦτε S κατευοδόνται Y κατευόδωται V 7 ποιεῖται V : ποιῆται XCY ποιῆτε S 8 ἀληθινὸν om. XSY 10 ποιησάντες V : -σάντων XSCY 11 ἀπέλυσαν : ἀπέλυσεν S 12 Παγκράτιος ante ὁ tr. S 13 ante Βονιφάτιον verbum πρὸς hab. S 15 ἔχομεν YV : ἔχωμεν, corr. -ομεν C ἔχωμεν XS

θείαν λειτουργίαν. λάλησον πρὸς τὸν λαὸν καὶ ἀλλαξάτω ἕκαστος τὴν στολὴν αὐτοῦ τὴν πρέπουσαν καὶ ἐν πολλῇ σπουδῇ συνδράμωσιν ἐν τῷ εὐκτηρίῳ, ἵνα εὐλογηθῶσιν ὑπ' αὐτοῦ." ὁ δὲ Βονιφάτιος ἀκούσας παρ' αὐτοῦ ταῦτα διεφήμισεν ἐν τῷ λαῷ, καὶ τῇ ἕωθεν συνῆλθον ἅπαντες οἱ τῆς πόλεως καὶ φησὶν ὁ μακάριος Παγκράτιος πρὸς τὸν ἁγιώτατον Μαρκιανόν, "πάτερ, εἴσελθε, ἁγίασον ἡμᾶς." ὁ δὲ ἁγιώτατος Μαρκιανὸς τὴν ὑπακοὴν ἐπλήρου, καὶ ἀναστάντες ἀμφότεροι, ὅ τε μακάριος Παγκράτιος καὶ ὁ ἁγιώτατος Μαρκιανός, εἰσῆλθον εἰς τὸ προαύλιον τοῦ εὐκτηρίου καὶ ἤλλαξαν τὰς ἱερὰς αὐτῶν στολάς. εἱστήκησαν δὲ τὰ πλήθη θεώμενα καὶ δοξάζοντα τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν. ἤλλαξα δὲ κἀγὼ σὺν αὐτοῖς καὶ ἠρξάμεθα τοῦ θείου ὕμνου. ἅπαντα δὲ τὰ σημεῖα, ἃ ἐπετέλεσεν κύριος Ἰησοῦς Χριστός, ἐπετελέσθησαν ἐν αὐτῷ τῷ τόπῳ, ὅτε καὶ ὁ μακάριος Μαρκιανὸς ἐποίησεν τὴν θείαν λειτουργίαν. πληρωθείσης οὖν ἁπάσης ἀκολουθίας, ἦλθεν ἐπὶ τῇ ὑψώσει τοῦ ἄρτου καὶ ἄφνω πῦρ κατῆλθεν καὶ

XSCYVO

1 ἀλλαξάτω V : ἀλλαξάτωσαν XSCY 2 πολλῇ post σπουδῇ tr. V 2 συνδράμωσιν XSY : -ουσιν CV 3 post αὐτοῦ ~~εἰς~~ verbum λέγει hab. S 4 διεφήμισεν V : διεφήμησεν XSCY 6 εἴσελθε XYV : εἰσῆλθε S, om. C 6 ante ἁγιώτατος verba μακάριος καὶ hab. V 7 ἐπλήρου nos : πληροῖ XCY πληρώσας S ἐπληροῖ V 7 - 8 καὶ - Μαρκιανὸς : ἅμα τῷ ἁγίῳ Παγκράτιῳ S 8 - 9 εἰς τὸ προαύλιον τοῦ εὐκτηρίου V : ἐκ τῶν προαυλίων εἰς τὸ εὐκτήριον XSCY, fort. recte 9 αὐτῶν post στολάς tr. C 10 εἱστήκησαν nos : ἱστήκησαν XSYV ἱστίκησαν C 10 θεώμενα XS : -όμενα CYV 11 ἠρξάμεθα : ἀρξάμεθα X, corr. ἠρξάμεθα X^1 12 ἃ om. XSCY 12 κύριος Ἰησοῦς Χριστὸς : ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς S 13 ἐπετελέσθησαν - λειτουργίαν om. S 13 ἐπετελέσθησαν XYV : ἐπετελέσθη C 13 ~~14~~ ἐν om. X 15 τῇ ὑψώσει τοῦ ἄρτου] *воздвижения святаго хлѣба* Usp

περιεκύκλωσεν τὴν ἐκκλησίαν καὶ πάντας τοὺς πιστούς. φόβος δὲ ἐπέπεσεν ἐπὶ πάντας. ὡς δὲ μετέλαβον οἱ μακαριώτατοι, μετέδωκαν κἀμοί, καὶ ὡς τὸ μελικὸν ᾆσμα ἐψάλλομεν, προσελθεῖν τοὺς ὄχλους εἰρήκασιν οἱ μακάριοι. οὐδεὶς δὲ ἐτόλμα προσελθεῖν, ἐπειδὴ ὡς πῦρ ἦν ἰδεῖν τοὺς μακαρίους Παγκράτιον καὶ Μαρκιανόν. ὁ δὲ μακάριος Παγκράτιος πρὸς τὸν λαόν, "προσέλθετε, τέκνα μου, καὶ φωτίσθητε, καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ· αὕτη γὰρ ἡ μορφὴ ἐν τῷ προφητικῷ λόγῳ κηρύσσεται, 'ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα,' αὕτη οὖν ἡ ἐπισκίασις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἅμα τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματί ἐστιν βεβαιοῦσα ὑμᾶς εἰς κλῆσιν ἁγίαν εἰς κληρονομίαν τῶν μελλόντων ἀγαθῶν." ταῦτα λελαληκότος τοῦ μακαρίου Παγκρατίου, προσῆλθον οἱ ὄχλοι φόβῳ πολλῷ καὶ μετέλαβον τοῦ ἀχράντου σώματος καὶ αἵματος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπιδιδομένου ὑπὸ τοῦ Μαρκιανοῦ τοῦ ἁγιωτάτου ἐπισκόπου τῆς Συρακουσῶν

XSCYVO

8 - 9 Ps. 103:4

2 ἐπέπεσεν XCYV : ἔπεσεν S 3 κἀμοί : κἀμὲ S 3 ἐψάλλομεν : -ωμεν S 4 post μακάριοι verba μετὰ φόβου θεοῦ προσέλθατε hab. S 4 προσελθεῖν XCYV : ἐλθεῖν S 5 - 6 μακάριος Παγκράτιος : Παγκράτιος ὁ μακάριος S 6 προσέλθετε SC : -ατε XYV 10 - 12 ἅμα - πνεύματι om. S 11 ἐστιν post Χριστοῦ tr. C 11 βεβαιοῦσα V : βεβαιῶσα XCY βαιβεῶσαν S 11 ὑμᾶς XCY : ἡμᾶς SV, fort. recte 14 καὶ αἵματος om. S 14 ἐπιδιδομένου : ὑποδιδομένου S 15 τοῦ(2) om. CY

πόλεως. ἅπαντες οὖν μεταλαβόντες, ηὐφράνθη ἡ καρδία αὐτῶν ἐν κυρίῳ καὶ ἡ τοῦ ὑπεναντίου ἐχθροῦ ἀπάτη ὤλετο ὡς σκότος φωτὸς διαλάμψαντος. ἐγένετο δὲ ἡ ἀπόλυσις τῶν ἁγίων καὶ ἀπῆλθον ἅπαντες δοξάζοντες τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, λέγοντες εἷς ἕκαστος, "δόξα σοι, Χριστὲ ὁ θεός. δόξα σοι, λόγε τοῦ θεοῦ καὶ πατρός, ὁ τεχθεὶς ἐκ παρθένου καὶ πνεύματος ἁγίου, μὴ τὴν παρθενίαν ὅλως μολύνας, ἀλλὰ σώαν φυλάξας αὐτήν." πεποιήκαμεν δὲ καὶ ἡμεῖς τὴν κλάσιν τοῦ ἄρτου ἐν τῷ εὐκτηρίῳ. τῇ οὖν ἐπαύριον, ἦλθον καὶ οἱ ἄρχοντες ἅμα Βονιφατίῳ, καὶ λαβόντες εὐλογίας πνευματικὰς ἀπῆλθον ἅπαντες ἀφέντες τοὺς μακαρίους ἐν τῷ εὐκτηρίῳ. ὁ δὲ μακάριος Παγκράτιος πρὸς Βονιφάτιον εἶπεν ὅτιπερ, "τέκνον, μὴ ἐάσῃς τινα ἐκ τοῦ λαοῦ πρὸς ἡμᾶς παραβαλεῖν, ὅτι τὸν ἐκκλησιαστικὸν κανόνα, ὃν παρελάβομεν ὑπὸ Πέτρου τοῦ ἀποστόλου καὶ τὰ ἄχραντα μυστήρια ἀλλήλοις διαγγεῖλαι θέλομεν, καὶ διὰ τοῦτο αἰτούμεθά σε, τέκνον, ἵνα τὰς τρεῖς ἡμέρας ταύτας ἡσυχίαν σχῶμεν." τότε ὁ

XSCYVO

1 μεταλαβόντες : μεταλαμβάνοντες C 2 ὤλετο : -ετω S 2 φωτὸς : φῶς S 3 διαλάμψαντος : -αντας S 3 ἡ om. Y 4 δοξάζοντες om.Y

5 καὶ : τοῦ Y 6 καὶ XSY : εἰ CV 6 ὅλως : ὅλος, corr. ὅλως C 8 κλάσιν : κλήσιν Y 9 post ἄρχοντες verba ἐν τῷ εὐκτηρίῳ hab. S 10 Βονιφατίῳ : Βονιφατίου X 10 ἐν τῷ εὐκτηρίῳ post ἅπαντες tr. S 11 ante Βονιφάτιον verbum τὸν hab. CV 12 ἐάσῃς XYV : ἐάσεις SC 12 τινα XSCY : τινας V 14 θέλομεν V : -ωμεν XSCY

Βονιφάτιος πρὸς τὸν λαὸν διήγγειλεν ποιεῖσθαι ἐν τοῖς ἰδίοις οἴκοις τὰς τρεῖς ἡμέρας καὶ μὴ παραβαλεῖν ἐν τῷ εὐκτηρίῳ πρὸς τοὺς μακαρίους. διαμείναντες οὖν ἄσιτοι, ἔλαβον τοὺς ἑαυτῶν τόμους, καὶ λέγει ὁ μακάριος Παγκράτιος πρὸς τὸν ἁγιώτατον Μαρκιανόν, "λάβε, πάτερ, τοὺς τόμους, τόν τε ἐμὸν καὶ σὸν καὶ διέλθωμεν τοὺς ἀμφοτέρους, ἤγουν ἀπ' ἀρχῆς τῶν παραδόσεων ἕως ὅτου πεπλήρωνται ἅπαντα." διελθόντων οὖν τῶν μακαρίων ἅπαντα τὰ ἐκκλησιαστικὰ καὶ ἀποστολικὰ διδάγματα, καὶ τὴν πιστὴν ὁμοφωνίαν τῆς παραδόσεως τῶν ἄμφω εὑρόντες, τῶν τε μυστηρίων τῆς θείας λειτουργίας, τοῦ βαπτίσματος καὶ ἁπλῶς πασῶν ἀναγνώσεων, ἀλλήλους καὶ πνευματικῶς ἀνακρίναντες, διῆλθον ἄσιτοι, ὡς προεῖπον, τὰς τρεῖς ἡμέρας, εὐφρανθέντες ἐν πνεύματι ἁγίῳ ὁμοῦ ἡμέρας δεκαπέντε. λέγει οὖν ὁ ἁγιώτατος Μαρκιανὸς πρὸς τὸν μακάριον Παγκράτιον, "χαρισάτω μοι ἡ σὴ ἁγιωσύνη τὸν κόπον σου καὶ ἐλθέτω μεθ' ἡμῶν." ὁ δὲ μακάριος Παγκράτιος πρὸς αὐτόν, "ὡς κελεύει ἡ σὴ ἁγιωσύνη,

XSCYVO

4 μακάριος : ἅγιος S 5 διέλθωμεν S : -ομεν XCYV 6 ὅτου XSYV : οὗ C 6 πεπλήρωνται nos : πεπλήρονται V πεπλήρωται XSCY, fort. recte 9 ἄμφω XSV : ἀμφοτέρων CY 9 τε CYV : γε XS 10 ἀλλήλους V : ἀλλὰ μὴν XSCY 11 προεῖπον : -ων S 12 δεκαπέντε V : *IE* CY τε X (supr. lin.) ὀκτῶ S 13 οὖν om. XSCY 13 μακάριον X : ἅγιον Y κύριν SC κύριν μου V 14 χαρισάτω CV : χαρησάτω X χαρισάτο S χαρισάτο, corr. -άτω Y 14 ἐλθέτω XCYV : ἔλθε S 15 ὡς κελεύει V : ὡς κελεύη C εἰ XSY

διαπράξομαι. εἰ σὺ ἀόκνως ἦλθες καὶ ἡμᾶς τοὺς ἀσθενεῖς ἐπεσκέψω, πόσῳ μᾶλλον οὐχὶ καὶ ἡμεῖς ὑπήκοοι γενόμεθα τῇ σῇ ἁγιωσύνῃ;" ἐνέγκας οὖν ὁ μακάριος τοὺς παῖδας τοὺς νέους, παρήγγειλεν τὰς φροντίδας τῶν μαθημάτων ποιεῖσθαι, εἰρηκὼς Βονιφατίῳ ταύτας ὀλίγας ἡμέρας ἐπισκέπτεσθαι αὐτούς, τὸν δὲ Λυκαονίδην ἐκέλευσεν ἐν τῷ εὐκτηρίῳ εἶναι μέχρις ὅτου ὑποστρέψωμεν. τότε εὐθείου ἀνέμου πνεύσαντος, κατήλθομεν ἐν τῇ ὁρμησίᾳ τοῦ Φάλκονος, συγκατήλθοσαν δὲ ἡμῖν ὁ Βονιφάτιος καί τινες τῶν τῆς πόλεως ἀνδρῶν, καὶ ἀσπασάμενοι τὸν μακάριον Μαρκιανὸν καὶ Παγκράτιον, ἐπέβημεν εἰς τὸ πλοιάριον καὶ ἤλθομεν ἐν τῇ πόλει. οὐδεὶς δὲ ἐκ τῶν τῆς πόλεως ἔγνωκεν ὅτι πεφθάκαμεν. ἤλθομεν οὖν ἐν τῷ κελλίῳ, καί τινες τῶν ναυτῶν μεθ' ἡμῶν. ἀκούσαντες δὲ οἱ μαθηταὶ τοῦ ἁγιωτάτου Μαρκιανοῦ τὴν φωνὴν αὐτοῦ ἐξῆλθον, καὶ πεσόντες ἐπὶ πρόσωπον αὐτῶν ἔκλαιον κατασπαζόμενοι τοὺς τιμίους πόδας αὐτοῦ, οἳ καὶ ἔλεγον, "καλῶς ἦλθες ὁ ποιμὴν ὁ καλὸς τῶν λογικῶν προβάτων τοῦ

XSCYVO

1 διαπράξομαι εἰ σὺ σοι V : διαπράξωμεν εἰ σὺ C διαπραξομένη (-ωμένη S) σοι XSY 1 ἀόκνως XSV : ἀόκνος CY 1 ἐπεσκέψω SCYV : ἐπισκέψω X 3 post μακάριος verbum Παγκράτιος hab. V 4 μαθημάτων V : μαθητῶν XSCY 4 εἰρηκὼς Βονιφατίῳ : πρὸς Βονιφάτιον εἰρηκὼς V 6 εὐθείου XCY : εὐθίου SV 7 κατήλθομεν XC : -ωμεν SY -αμεν V 7 ὁρμησίᾳ CYV : ὁρμασίᾳ XS 7 τοῦ om. S 7 Φάλκονος : Φάλκωνος S 8 συγκατήλθοσαν nos : συνκατήλθοσαν XY συνκατήλθωσαν CV συνκατήλθωμεν S 8 post δὲ verbum καὶ hab. S 8 post ὁ verbum τε hab. V 9 ἀνδρῶν : ἄνδρες V 10 ἤλθομεν : -ωμεν S 11 ἔγνωκεν V : ἔγνωσεν XSCY 11 πεφθάκαμεν XSCY : πεφθάκεν V 11 ἤλθομεν XCY : -ωμεν S -αμεν V 11 οὖν XCYV : δὲ S 15 ἦλθες XSY : ἦλθεν CV

Χριστοῦ. καλῶς ἦλθες ὁ τὴν θείαν δόξαν περιβεβλημένος, ὅτι χάριτι Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ τὰ πλήθη τῶν δαιμόνων ἀπήλασας," καὶ ἐνέγκαντες δίφρους, ἐκαθίσαμεν ὑπὸ ὀροφίσκον μικρόν. τότε οἱ νέοι παῖδες ἅμα τῶν μεγάλων ἤρξαντο λέγειν ὅτιπερ, "ὦ πάτερ ἁγιώτατε, ποίας ἀκαίρους φαντασίας ἡμῖν ὁ τῆς ἀληθείας ἐχθρὸς διάβολος πεποίηκεν, ποίους κτύπους, ποίας ἐκφοβήσεις, ποίας ἀκαίρους φαντασίας καὶ φωνάς. ἔλεγον ἡμῖν, 'ἐξέλθετε ἐκ τῶν οἰκημάτων ὑμῶν. ἀπέλθετε ἐντεῦθεν· ἡμεῖς γὰρ τὸν διδάσκαλον ὑμῶν Μαρκιανὸν ἐν τῇ θαλάσσῃ ἐβυθίσαμεν.' " ὁ δὲ ἁγιώτατος Μαρκιανὸς ταῦτα ἀκούσας ὑπὸ τῶν μαθητῶν αὐτοῦ εἶπεν πρὸς αὐτούς, "πόσον ἀφικνοῦντο ἀφ' ὑμῶν αἱ ἐκφοβήσεις καὶ αἱ ἄκαιροι αὐτῶν φαντασίαι;" οἱ δὲ πρὸς αὐτόν, "πάτερ, ὡσεὶ λίθου βολήν." ὁ δὲ μακάριος πρὸς αὐτούς, "καὶ μὴ ἰσχύκασίν τινα ὑμῶν βλάψαι, ἢ κἂν τῆς κέλλης ὑμῶν προεγγίσαι. διὸ μὴ φοβεῖσθε αὐτῶν τὰς ἀκαίρους φαντασίας." ταῦτα λελαληκὼς ὁ ἁγιώτατος Μαρκιανός, τῇ ἕωθεν πέμπει τινα τῶν μαθητῶν αὐτοῦ πρὸς

XSCYVO

1 ἦλθες XSY : ἦλθεν CV 1 θείαν om. XSCY 1 ὅτι XS : ὁ τῇ CYV, fort. recte 2 ante Χριστοῦ verbum τοῦ hab. S 2 ἀπήλασας XY : ἀπελάσας SCV 3 ἐνέγκαντες : ἐνέγκαν S 3 δίφρους om. XSCY 3 ἐκαθίσαμεν XSYV : ἐκαθέσθησαν C 4 ὅτιπερ om. S 5 διάβολος post πεποίηκεν tr. V 5 post διάβολος verbum ἡμῖν hab. S 6 - 7 ποίας ἀκαίρους φαντασίας om. XSY 7 καὶ φωνάς : φωνῶν S 7 post ἔλεγον verbum γὰρ hab. CY 7 ἐξέλθετε XCY : -ατε SV 7 ὑμῶν XS : ἡμῶν CYV, fort. recte 8 ἀπέλθετε XCY : -ατε SV 8 Μαρκιανὸν om. S 9 ἐβυθίσαμεν V : ἐβυθήσαμεν XSCY 10 ὑπὸ XCYV : παρὰ S 12 βολήν XSV : βολή CY 13 ante ὑμῶν (1) verbum ἐξ hab. S 13 ἢ - προεγγίσαι om. S, propter homoeoteleuton 13 κἂν om. V 14 φοβεῖσθε V : φοβῆσθαι XC φοβεῖσθαι SY 15 ἁγιώτατος : μακάριος S 15 πέμπει om. S

Γόρδιον καὶ Σέλευκον εἰρηκὼς ὅτι, "ὁ ἐπίσκοπος ὑμῶν ἦλθεν, καὶ αὐτοὶ ἵνα λαλήσωσιν εἰς τὰ ὦτα τῆς πόλεως, καὶ ὁ κύρις Παγκράτιος ὁ ἡμέτερος ἀδελφὸς καὶ συλλειτουργὸς σὺν ἡμῖν πάρεστιν." ἀπῆλθεν οὖν ὁ μαθητὴς καὶ ἐλάλησεν τῶν ἀρχόντων καὶ οἱ ἄρχοντες τῷ λαῷ, καὶ συνῆλθεν πλῆθος πολὺ λαοῦ ἁπάσης τῆς πόλεως. ὁ δὲ μακάριος Μαρκιανὸς καὶ Παγκράτιος, φορέσαντες τὰς ἱερὰς στολὰς αὐτῶν, ἔστησαν ἐνώπιον τοῦ λαοῦ, καὶ ἔλαμψαν τὰ πρόσωπα αὐτῶν ὡς πῦρ ἀληθῶς θεῖον. οἱ δὲ λαοί, ὡς εἶδον τοὺς ἀποστόλους, μιᾷ βουλῇ καὶ ἑνὶ στόματι ἔκραξαν φωνῇ ἰσχυρᾷ λέγοντες, "δόξα σοι Χριστὲ ὁ θεός, τὸ φῶς τὸ ἀληθινόν, ὁ ἀποστείλας τὸ φῶς σου περιαστράψαι τοὺς σοὺς φωστήρας Μαρκιανὸν καὶ Παγκράτιον." ποιήσαντες οὖν εὐχὴν οἱ μακάριοι ὑπὲρ πάντων, ἐκέλευσεν ὁ μακάριος Μαρκιανὸς ἐλθεῖν τοῖς ποσὶ τοῦ μακαρίου Παγκρατίου τοὺς ἄρχοντας τοῦ λαοῦ καὶ εὐλογηθῆναι ὑπ' αὐτοῦ. ποιήσας οὖν εὐχὴν ὑπὲρ αὐτῶν ὁ μακάριος Παγκράτιος, ἐκέλευσεν αὐτοὺς καθεσθῆναι, καὶ αὐτοὶ δὲ ἐθαύμαζον

XSCYVO

1 post εἰρηκὼς verbum αὐτοῖς hab. V 1 ὑμῶν XSY : ἡμῶν CV, fort. recte 2 κύρις : κύριος S 2 ὁ (2) om. S 4 post μαθητὴς verbum αὐτοῦ hab. C 4 ἐλάλησεν V : λελάληκεν XSCY 4 τῶν ἀρχόντων XSCYV, fort. τοῖς ἄρχουσι emendandum 4 τῷ λαῷ : τῶν λαῶν S 5 συνῆλθεν SCV : συνῆλθον XY 5 πολὺ post λαοῦ tr. XSCY 5 ὁ δὲ μακάριος XSC : οἱ δὲ μακάριοι CV 6 φορέσαντες : φορέσας S 6 στολὰς post αὐτῶν tr. S 7 ἔστησαν om. XSY 7 καὶ om. Y 7 ἔλαμψαν : ἔλλαμπεν V 8 εἶδον C : ἴδον XYV ἴδων S 9 λέγοντες SCYV : κράζοντες X, corr. λέγοντες X¹ 9 post θεός verbum ἡμῶν hab. V 10 σου : σὸς C 10 περιαστράψαι XSYV : περιαστράψασθαι C 10 σοὺς V : σοφοὺς XSCY, fort. recte 11 φωστήρας om. S 12 οἱ μακάριοι post πάντων tr. S 12 ὁ μακάριος om. S 12 post ἐλθεῖν verbum ἐν hab. V 15 αὐτοὺς XY : αὐτοῖς SCV

ἐπὶ τῇ ἐμφερείᾳ τῆς ὁμοίσεως τῶν μακαρίων ἀνδρῶν, οἳ καὶ ἔλεγον ἀδελφοὺς κατὰ σάρκα ὑπάρχειν αὐτούς. εἰρηνεύσαντες οὖν ἅπαντα τὸν λαόν, ἀπέλυσαν αὐτούς. ποίησας δὲ ὁ μακάριος ἑξαήμερον, ἀπεκαλύφθη αὐτῷ περὶ Ἀκυλίνου τοῦ βασιλέως Καλαβρίας τοῦ ἀπογόνου τοῦ ἑτέρου Ἀκυλίνου τοῦ λεγομένου ‘Ἄνθονος’, ἐπειδὴ οὕτως ἦν ἡ προσονυμία αὐτοῦ, δι’ ὃ πάντες οἱ τῶν ἐκεῖ βασιλεῖς Ἀκυλίνου ὄνομα περιῆγον. ὁ οὖν μακάριος Παγκράτιος τὸ ἀποκαλυφθὲν οὐκ ἐφανέρωσέν τινι. ἦν δὲ ἡ ἀποκάλυψις αὕτη, ὡς ὅτι ἑξακόσιαι χιλιάδες ἐκινήθησαν κατὰ τῆς Ταυρομενίας, καὶ λέγει τῷ ἁγιωτάτῳ Μαρκιανῷ, “πάτερ, σπεύδω ἀπελθεῖν ἐν τῇ πόλει μου.” ὁ δὲ μακάριος Μαρκιανὸς πρὸς αὐτόν, “ἤθελον τὸν κόπον σου, ἵνα εἶχες ἡμῖν χαρίσασθαι καὶ ἀπέλθωμεν εἰς τὸν ἡμέτερον ἀδελφὸν Ἐπαφρόδιτον ὅπως ἱστορήσωμεν πῶς καὶ ἐν ποίοις τὰ κατὰ τὸν κλάδον σου τὸν πνευματικὸν εἰσίν.” ὁ δὲ μακάριος Παγκράτιος, “λοιπὸν ἀποστείλωμεν, πάτερ, τινα τῶν συνδούλων μου καὶ ἐλθέτω.”

XSCYVO

1 ἐπὶ : ἐν C 2 ὑπάρχειν post αὐτούς tr. S 2 αὐτούς om. XSCY 4 ante Καλαβρίας verbum τῆς hab. S 5 Ἄνθονος YV : Ἄνθωνος XSC 5 - 6 ἐπειδὴ οὕτως] понеже тако Usp 6 οὕτως XCYV : οὗτος S 6 ἐκεῖ : ἐκεῖσε V 7 περιῆγον SCV : περιήγουν XY 8 ἐφανέρωσέν : ἐφανέρω V 9 τῆς Ταυρομενίας XSY : τῆς Ταυρομενείας C Ταυρομένης V 11 ἤθελον XYV : ἔθελον SC 12 ἀπέλθωμεν emendavi : ἀπῆλθομεν XSCY ἀπῆλθαμεν V 13 ἱστορήσωμεν SYV : ἱστορίσωμεν X ἱστορήσομεν C 13 ἐν om. XSCY 14 - 15 τὸν κλάδον σου τὸν πνευματικὸν XSCY : τῶν κλάδων σου τῶν πνευματικῶν V 15 ἀποστείλωμεν SV : -ομεν XCY 15 μου XSCY : ἡμῶν V

τάχιστα οὖν ἐπιβάς τις τῶν μαθητῶν τῇ ἡμιόνῳ ἀπῆλθεν καὶ εὗρεν τὸν μακάριον Ἐπαφρόδιτον καθεύδοντα καὶ ἐπαναγινώσκοντα τὸν πρῶτον τῆς ποίμνης αὐτοῦ τὸ ἄχραντον εὐαγγέλιον. εἰρηκότος δὲ τοῦ ἀπελθόντος, καὶ ἀκούσας περὶ τοῦ ἁγίου Παγκρατίου, ὅτι ἐν τῇ πόλει Συρακουσῶν ἐστιν ἅμα τῷ ἁγιωτάτῳ Μαρκιανῷ, ἔσπευσεν καὶ ἀναστάς, συμπαραλαβὼν καί τινας τῶν πιστῶν, λαβόντες μέλι καὶ κηροὺς καὶ ὄσπρεα διάφορα καὶ ὄρνεις, ἐπέβησαν ταῖς ἡμιόνοις αὐτῶν καὶ ἦλθον πρὸς ἡμᾶς ἐν τῷ κελλίῳ τοῦ ἁγιωτάτου Μαρκιανοῦ. καὶ ἐλθόντες, ὡς ἑώρακεν Ἐπαφρόδιτος τὸν μακάριον Παγκράτιον καὶ τὸν ἁγιώτατον Μαρκιανόν, ἔπεσεν εἰς τοὺς ἁγίους πόδας αὐτῶν, καὶ ἐπευξάμενοι αὐτῷ, ἐπιθησάντων τὰς χείρας αὐτῶν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, ἀνέστησαν αὐτὸν καὶ κατεφίλησαν. τότε Ἐπαφρόδιτος προσήνεγκε τοὺς ἄνδρας διακατέχοντας τοὺς κηροὺς καὶ τὸ μέλι καὶ τὰ λεπτὰ ὄσπρεα καὶ τοὺς ὄρνεις. χαίρων οὖν ὁ μακάριος Παγκράτιος, λέγει τῷ Ἐπαφροδίτῳ, "τό τέκνον ἡμῶν Ἐπαφρόδιτος καὶ δῶρα ἡμῖν

XSCYVO

1 τάχιστα SCV : ταχεῖον XY 2 καθεύδοντα XCYV : καθήμενον S, fort. recte 2 ἐπαναγινώσκοντα XYV : ἀναγινώσκοντα SC 3 ποίμνης XSV : πόλεως CY 6 μέλι nos : μέλιτα XSCYV 7 ante ταῖς verbum ἐν hab. C 8 ἦλθον SV : ἦλθων C ἦλθεν XY 9 ὡς om. XY 9 ante Ἐπαφρόδιτος verbum ὁ hab. V 9 Ἐπαφρόδιτος om. C 10 ἁγίους om. Y 11 αὐτῷ SV : αὐτοῦ XY αὐτῶν, corr. αὐτὸν C 12 ante Ἐπαφρόδιτος verbum ὁ hab. CV 13 προσήνεγκε : προσένεγκεν V 14 τοὺς : τὰς S

προσήνεγκεν. τί ἀνταποδώσωμέν σοι, τέκνον, ὑπὲρ τοῦ κόπου τούτου, οὗ διὰ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐποίησας εἰς ἡμᾶς; ὑπακούσας ἡμῖν, δώῃ σοι κύριος ἔλεος καὶ εἰρήνην εὑρεῖν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὅταν πάντες παραστῶμεν τῷ βήματι αὐτοῦ." τότε ὁ μακάριος Μαρκιανὸς ἤρξατο καὶ αὐτὸς εὔχεσθαι Ἐπαφροδίτῳ. ὁ οὖν Ἐπαφρόδιτος φησὶν πρὸς τοὺς ἁγιωτάτους ἐπισκόπους, "διὰ τῶν ἁγίων εὐχῶν ὑμῶν καὶ ἡ ἐκκλησία πεπλήρωται τῆς οἰκοδομῆς. δυσωπῶ δὲ τὴν ἁγιωσύνην ὑμῶν τοῦ ἐλθεῖν καὶ εὐλογῆσαι αὐτὴν καὶ ἡμᾶς ἐπιστηρίξαι εἰς αὐτήν." ὁ δὲ ἁγιώτατος Μαρκιανὸς πρὸς τὸν μακάριον Παγκράτιον, "δεῦρο, πάτερ, ἀπέλθωμεν εἰς τὰς ἐπαρχίας, χαρίσας ἡμῖν τὸν κόπον σου." ὁ δὲ μακάριος Παγκράτιος πρὸς αὐτόν, "συγχωρήσατέ μοι διὰ τὸν κύριον, ἐπειδή, πάτερ ἅγιε, ἤκουσας πῶς οἱ μαθηταί σου ἔλεγον διὰ τὰς ἐπιβουλὰς τοῦ ἐχθροῦ, καὶ ἔχομεν μικρὰ παιδάρια, καὶ μήπως, μὴ παρόντος ποιμένος, ὁ ἀπ' ἀρχῆς ἀνθρωποκτόνος διάβολός τινα εἰς τὴν ἀπώλειαν αὐτοῦ καταθλάσει." ὁ δὲ ἁγιώτατος Μαρκιανὸς πρὸς αὐτόν,

XSCYVO

1 προσήνεγκεν XSCY : προσήγαγεν V 1 ἀνταποδώσωμέν XSY : -όσομέν C -όσωμέν V 2 ὑπακούσας ἡμῖν om. V 3 δώῃ V : δόῃ XCY δώει S 3 ὅταν XSYV : ὅτε C 7 δὲ om. V 9 ἁγιώτατος : μακαριώτατος V 9 post Μαρκιανὸς verbum πάλιν hab. SC 9 μακάριον : ἁγιώτατον V 9 δεῦρο V : δεύρω XSCY 10 ἀπέλθωμεν SYV : -ομεν XC 10 χαρίσας nos : χαρήσας XY χάρισαι SC, fort. recte χάρισε V 11 αὐτόν V : αὐτούς XSCY, fort. recte 12 post αὐτόν verbum εἶπεν hab. Y 13 ἅγιε XSCY : ἁγιώτατε V 12 ἤκουσας XSCY : ἤκουσα V, fort. recte 13 ἐπιβουλὰς CV: ἐπιβολὰς S φαντασίας XY, fort. recte 13 ἔχομεν : -ωμεν S

"ὦ πάτερ, καὶ μή τινα ἐπιβουλὴν ἔγνως τοῦ ἐχθροῦ διαβόλου ἐν τῇ πόλει σου." ὁ δὲ μακάριος πρὸς αὐτόν, "οὔκ εἰμι ἄξιος προγνώσεως, ἀλλὰ τὰ σκάνδαλα τοῦ ἐχθροῦ πολλοστὰ εἰσίν, ἀλλ' ἡ δύναμις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καταργεῖ αὐτά·" ὡς γὰρ προεῖπον, προέγνω ὁ μακάριος Παγκράτιος τὴν ἐπιβουλὴν τοῦ διαβόλου, ὅτι ἦν ταράξας τὴν καρδίαν ἀπογόνου τοῦ Ἀκυλίνου εἰς πολεμικὴν παράταξιν τοῦ ἐλθεῖν καὶ ἐκπορθῆσαι τὴν πόλιν Ταυρομενίας, διὰ τῶν ἱστορικῶν ἀκαιροβιβλίων πολέμους ἀρχαίους ὑπομνήσας αὐτόν. ὁ δὲ μακάριος Παγκράτιος, αἰτήσας χαρτίον καὶ μέλαν καὶ λαβὼν διεγράψατο γράμματα συστατικὰ κατὰ τοὺς κανόνας τῶν ἁγίων ἀποστόλων, καὶ ἐπέδωκεν αὐτοῖς. τότε ἀσπασάμενοι ἀλλήλους, ἀπεπλεύσαμεν ἐγώ τε καὶ ὁ μακάριος Παγκράτιος καὶ ἤλθομεν ἐν τῇ πόλει ἡμῶν. πάντες δὲ ἀκούσαντες, ἐξῆλθον εἰς ἀπάντησιν ἡμῶν, καὶ ἀσπασάμενοι τὸν μακάριον, ἀπήλθομεν εἰς τὸ εὐκτήριον. ὁ δὲ Βονιφάτιος οὐκ ἦν ἐν τῇ πόλει, ἀλλ' ἐξελθὼν ἦν πρὸς τὸ θηρεῦσαι. εἷς

XSCYVO

1 ἔγνως XSCY : προέγνως V, fort. recte 2 post μακάριος verbum Παγκράτιος hab. CV 2 post ἄξιος verbum πάτερ hab. V 3 ἀλλ' ἡ : ἀλλὰ ἡ Y 4 καταργεῖ XCYV : καταργήση S 6 ταράξας S : παρατάξας XYV τάξας C 6 Ἀκυλίνου ante ἀπογόνου tr. S 6 πολεμικὴν om. S 7 Ταυρομενίας XSY : Ταυρομενείας C Ταυρομενιτῶν V 8 ἀκαιροβιβλίων XS : ἀκαιρωβιβλίων C ἀκαίρων βιβλίων YV 8 ὑπομνήσας V : ὑπομιμνήσκειν XC ὑπομιμνείσκειν S ὑπομημνήσκων Y, fort. recte (ὑπομιμνήσκων) 8 αὐτόν SV : αὐτούς XCY 9 χαρτίον XCYV : χάρτην S 12 ἤλθομεν XCY : -ωμεν S -αμεν V 13 πάντες XSCY : ἅπαντες V 13 ἀκούσαντες om. C 14 ἀπήλθομεν XSCY : -αμεν V 15 ἀλλ' om. XY

δὲ τῶν παίδων ἐπιβὰς ἵππῳ ἀπῆλθεν πρὸς Βονιφάτιον καὶ εἴρηκεν αὐτῷ ὅτι, "ὁ ἁγιώτατος Παγκράτιος πέφθακεν." ἀκούσας δὲ ὁ Βονιφάτιος, ἐτάχυνεν καὶ ἐλθὼν ἔπεσε τοῖς ποσὶ τοῦ μακαρίου, καὶ δέδωκεν αὐτῷ τὴν ἐν Χριστῷ σφραγῖδα. προσελθόντες οὖν καὶ οἱ παῖδες ηὐλογήθησαν παρ' αὐτοῦ, καὶ ποιήσας τῇ ἕωθεν ὁ μακάριος τὴν θείαν λειτουργίαν, μετέδωκε πᾶσιν. λέγει οὖν ὁ μακάριος τῷ Βονιφατίῳ, "τέκνον, ὁ διάβολος κινεῖται κατὰ τῆς πόλεως καὶ καθ' ἡμῶν, ἀλλ' ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἅπασαν τὴν δύναμιν αὐτοῦ καταργεῖ." ἕτερον δὲ μὴ λαλήλας ὁ μακάριος, λέγει ὁ Βονιφάτιος, "ἡμεῖς, πάτερ, πάντες πιστοὶ ἐσμέν, καὶ Χριστῷ Ἰησῷ πεπιστεύκαμεν καὶ τῇ διδαχῇ σου προσεκολλήθημεν, καὶ οὐ μὴ σκανδαλίσομέν σε ἔν τινι πράγματι, ἀλλὰ κατὰ πάντα, ἃ ἐντελεῖ ἡμῖν, ὑπακουσόμεθά σου." ὁ δὲ μακάριος Παγκράτιος πρὸς Βονιφάτιον, "ἄκουσον, τέκνον, ἐγὼ περὶ τῆς ὑμετέρας πίστεως πεπληροφόρημαι, ὅτι πάντας ὑμᾶς ἡ πίστις Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν περιετείχισεν. τὸ δὲ μυστήριον, ὅπερ

XSCYVO

2 ὁ (2) om. V 3 ἐλθὼν : ἀνῆλθεν V 3 καὶ (2) om. V 4 ante δέδωκεν verba ἁπλώσας δὲ τῇ χειρὶ αὐτοῦ hab. V, fort. recte 4 δέδωκεν XSCV : ἔδωκεν Y 5 ηὐλογήθησαν : εὐλογήθησαν C 5 post μακάριος verbum Παγκράτιος hab. V 9 καταργεῖ : καταργῇ S 9 ἕτερον XCYV : ἑτέρῳ S 10 πάντες post ἡμεῖς tr. V, om. SC 11 σκανδαλίσομέν nos : σκανδαλήσομέν XC σκανδαλήσωμέν SY σκανδαλίσωμεν V, fort. recte 12 ἐντελεῖ nos : ἐντείλαισε X ἐντήλεσαι S ἐντεῖλεσε CY ἐντέλλεσαι V 12 ὑπακουσόμεθά : -άμεθα S 12 post σου verba Περὶ Ταύρου τοποκτίστου hab. C 14 ὑμτέρας XCV : ἡμετέρας SY 14 ὑμᾶς XCYV : ἡμᾶς S 15 τοῦ κυρίου ἡμῶν SC : τοῦ θεοῦ ἡμῶν XY, om. V

ἔχω λαλῆσαί σοι, τέκνον, μὴ εἴπῃς τινι, μηδὲ εἰς τὰ ὦτα τοῦ λαοῦ, καὶ δειλανδρίσωσιν. ἔχει δέ τι ὀλίγον ἀπιστία ἐπεισελθεῖν αὐτοῖς, ἀλλ' ἡ πίστις Χριστοῦ ἡ περιτειχίσασα αὐτοὺς ἐπιστηρίξει αὐτούς. τέκνον, ἔνεγκέ μοι τὸν Βίον Ταύρου, ὃν καὶ ὑπανέγνως ἡμῖν πολλάκις, ὡς ἔχει περὶ Ῥεμάλδου καὶ Μενίας καὶ Ἀκυλίνου βασιλέως Καλαβρίας, καὶ πῶς ἡ πόλις ἐγένετο, καὶ πῶς Ταῦρος σὺν Μενίᾳ ἐνταῦθα παρεγένετο, καὶ πῶς κατεῖχον τὰ συνόρια αὐτῶν, καὶ ἐρῶ σοι, τέκνον, ἐκ τῆς ἀναγνώσεως, ποίῳ τρόπῳ ὁ πολέμιος ἀφορμὴν λαβὼν θέλει παραγενέσθαι ἐνταῦθα, ὁ ἀπόγονος Ἀκυλίνου ζητῆσαι, φησίν, θέλων τοῦ ἀρχαίου πολέμου τὴν ἐκδίκησιν." τάχιστα οὖν πέμψας ὁ Βονιφάτιος, παρηνέχθη ἡ βίβλος, καὶ εἰσελθόντες ἐν τῷ εὐκτηρίῳ ὁ μακάριος Παγκράτιος καὶ Βονιφάτιος, κἀγὼ σὺν αὐτοῖς, προετρέψαντό με ἀναγνῶναι τὸ βιβλίον. σταθεὶς οὖν ἐγώ, ἀνέγνω διαφόρους λόγους καὶ πολεμικὰ πολλά, λόγους μὲν μυθικούς, πολέμους δὲ ἀμυθήτους. λέγει οὖν μοι ὁ μακάριος Παγκράτιος, "περὶ

XSCYVO

1 εἴπῃς : εἴπεις S 1 τινι μηδὲ om. V 2 δειλανδρίσωσιν V : διλανδρίσωσιν C δειλανδρίσουσιν XSY 4 τὸν Βίον XSCV : τὸ βιβλίον Y 4 ὃν SCY : ὧν X ὅνπερ V 4 ὡς : ὃς C 5 Ῥεμάλδου XSCY : Ῥεμίνδου V, hic et alibi 5 Μενίας V : Μενείας XSCY, hic et alibi 6 σὺν Μενίᾳ : καὶ Μενεία S 6 παρεγένετο XCYV : παρεγένοντο S 8 ποίῳ τρόπῳ ὁ πολέμιος (πόλεμος X) XSCY : πῶς καὶ ποίῳ πολέμῳ V 9 παραγένεσθαι XCYV : παραγίνεσθαι S 9 Ἀκυλίνου : Ἀκυλίνῳ S 10 post ὁ verbum τε hab. V 12 ante Βονιφάτιος verbum ὁ hab. C 12 post Βονιφάτιος verba ἤμην δὲ hab. C 12 post αὐτοῖς verbum καὶ hab. SC 13 προετρέψαντό XCYV : -ατο S 13 με V : μοι XSCY 13 post ἐγώ verbum Εὐάγριος hab. V 14 λόγους V : πολέμους XSCY 14 πολλά om. V 14 λόγους μὲν μυθικοὺς om. X 15 δὲ om. XC

Ταύρου καὶ ᾽Ακυλίνου καὶ τοῦ μεγάλου αὐτῶν πολέμου ἀνάγνωθι.” τότε ἦλθον ἐν τῷ κεφαλαίῳ τῶν τερμόνων ᾽Ακυλίνου καὶ ῾Ρεμάλδου, ποίους τόπους διεκατεῖχον ἕκαστος αὐτῶν καὶ ποίους πολέμους κατ᾽ ἀλλήλων ἐκρότουν καὶ φημί, “῾Ρέμαλδος καὶ ᾽Ακυλῖνος ἦσαν ἐν ἐδίκτῳ τῆς ἑαυτῶν ἀρχῆς οὕτως διακατέχοντες ἀπὸ τῆς παραλίας, καὶ κατέρχεσθαι διὰ ῾Ρηγίου, τόπου κρυώδους οὕτω καλουμένου, καὶ Πελλούρου τὸ ἀνανεῦον, καὶ Κάστρου τοῦ παλαιοῦ καὶ Τραφικῆς καὶ Τυρικοῦ ὕδατος, ῾Επταδέλφου δὲ Κάρρου τὰς ὑψηλὰς καὶ ἕως τῆς αὐτῆς παραλίας τῶν Σαλινῶν· ἅπαντα ταῦτα διεκατεῖχεν ὁ ποτὲ ῾Ρέμαλδος. ἦν δὲ τὸ γένος ἔθνους ξανθοῦ, εὐμήκης καὶ πάνυ δυνάστης. ὁ δὲ ᾽Ακυλῖνος ἦν καὶ αὐτὸς πάνυ πλῆθος τόπων καὶ λαῶν διακατέχων καὶ πόλεις ἰσχυράς, ἀπὸ δὲ τῆς παραλίας ἕως Πριονικῶν ὀρέων καὶ Σιλονικῶν καὶ ἕως Τυροπόλεως <καὶ> χειμάρρου Κογχύλου. ὁ δὲ ῾Ρέμαλδος ὀλιγοστὸς ἦν πρὸς ᾽Ακυλῖνον, ὥστε καὶ φόρους αὐτῷ ἐπετέλει. ὁ δὲ ᾽Ακυλῖνος, μὴ προέχων τῶν φόρων ῾Ρεμάλδου, ἤθελεν

XSCYVO

1 *ἀνάγνωθι* : *ἀναγνωθῆ* Y 2 *ἦλθον* SCV : *ἦλθεν* XY 2 post *᾽Ακυλίνου* verba *μὲν οὕτως* hab. V 2 ante *῾Ρεμάλδου* verbum *ὁ* hab. C 3 *διακατεῖχον* SC : *διακατεῖχων* X *διακατέχειν* Y *διεκατῆχον* V 4 *ἐκρότουν* post *πολέμους* tr. C 4 *ἦσαν* : *εἶσαν* C 4 - 5 *ἐν ἐδίκτῳ τῆς ἑαυτῶν ἀρχῆς* V : *ἐν ἰνδίκτῳ τῆς τῶν ἐτῶν ἀρχῆς* XSCY 5 *ἀπὸ τῆς παραλίας* XS : *ἀπὸ πελάγου τῆς παραλίας Καλαβρίας* V *ἀπὸ Σαλίνων* (*Σαλήνων* Y) *καὶ ἀνωτερῶν τῆς Καλαβρίας* CY 6 *῾Ρηγίου* S : *῾Ριγίου* XYV, fort. recte *῾Ρυγίου* C 7 *Κάστρου* SV : *Καστόρου* XCY 8 *Τυρικοῦ* XSCY : *τοῦ ῥοικοῦ* V 8 *Κάρρου* V : *Κάρου* XSCY 9 *Σαλινῶν* SYV : *Σαληνῶν* XC 9 ante *ἅπαντα* verbum *καὶ* hab. V 9 *ταῦτα* om. V 10 *ξανθοῦ* : *ἐξανθοῦ* S 11 *λαῶν* XSC : *λαὸν* YV 12 - 13 *ἀπὸ δὲ τῆς παραλίας - Κογχύλου*] *ϖ Тырьска града потока Когхоула приморіта до Пришньскыхь и ϖ* Usp 12 *παραλίας* : *Καλαβρίας* C 13 *Σιλονικῶν* SV : *Σιλονικὸν*, corr. *-ῶν* XY *Σικονικῶν* C 13 *καὶ* (1) om. XY 13 <*καὶ*> supplevi 13 *Κογχύλου* XSY : *Κογχίλου* C *Κογχύλου καὶ Κονχύλου* S *Κογχύκου καὶ Κογχύλου* V 14 *᾽Ακυλῖνον* : *᾽Ακυλίνων* S 15 *ἐπετέλει* XSCY : *ἔτελει* V 15 *᾽Ακυλῖνος*: *᾽Ακιλίνος* S 15 *προσέχων* XSCY : *προσχῶν* V 15 *τῶν φόρων* SCYV : *τὸν φόρον* X 15 *ἤθελεν* V : *ἔθελεν* XSCY

τοὺς τόπους αὐτοῦ καταρπάσαι καὶ τὸν πλοῦτον καὶ τοὺς ἄνδρας αὐτοῦ σὺν Μενίᾳ τῇ μεγάλῃ, φαιδρᾷ τε καὶ σοφῇ. ἦν δὲ καὶ αὐτὴ Μακεδόνισσα, τὴν ἄνω πρόνοιαν βοήθειαν σεβομένη καὶ εἰς βοήθειαν ἐπικαλουμένη. συχνοτέρους δὲ πολέμους πρὸς ἀλλήλους ἐποίουν καὶ ἀντιπαρατάξεις. ἦν δὲ λοιπὸν καὶ ἡ τοῦ Ταύρου ἔπαρξις οὕτως. Ταῦρος οὗτος ὁ πολὺς ἔν σαρκικῇ δυνάμει ἦν Χανανεύς, ὃς καὶ ἐν τοῖς αὐτοῖς ὁρίοις τοῦ Χὰμ ἐτέχθη, ἀπόγονος Νεβρώδ· ἐκείνου τοῦ Νεβρὼδ λέγω τοῦ ἐν τῇ Γενέσει ἐμφερομένου, ὃν οἱ ἱστοριογράφοι ἐγράψαντο αὐτὸν εἶναι δεκάτην γενεὰν Ταύρου. ἀπῆλθον οὖν πότε οἱ μονόζωνοι Συρίας καὶ ἐπολιόρκησαν μίαν τῶν πόλεων καὶ προκατελάβοντο αὐτὴν καὶ ᾐχμαλώτευσαν αὐτὴν καὶ ἤνεγκαν πάντα τὸν λαὸν εἰς Συρίαν· οὗτος μὲν ὁ Ταῦρος ἦν αὐτὸς ἐν τῇ αἰχμαλωσίᾳ σὺν τῇ μητρὶ αὐτοῦ ὡσεὶ ἐτῶν δεκαπέντε. ὅτε οὖν ἐξῆλθεν ἡ προνομὴ διασπαρῆναι ἐν τοῖς ἄρχουσιν, ἦλθε καὶ Ταῦρος εἰς μέσον. ὁ δὲ †μονοδότης τοῦ ἰσασμοῦ†, ἰδὼν τὸ παιδάριον σὺν τῇ μητρὶ αὐτοῦ, λαβὼν κρυφῇ ἀπέδοτο αὐτὸν τοῖς

XSCYVO

1 αὐτοῦ om. V 2 τῇ om. S 2 post μεγάλῃ verbum τῇ hab. V 2 φαιδρᾷ τε καὶ σοφῇ : σοφῇ τε καὶ φαιδρᾷ S 3 Μακεδόνισσα CV : Μακαιδόνισσα XS Μακαιδόνησσα Y 3 post Μακεδόνισσα verba μὲν τῷ γένει hab. V 3 post τὴν verbum δὲ hab. V 3 βοήθειαν S : βοηθεῖν XCYV 3 σεβομένη καὶ εἰς βοήθειαν ἐπικαλουμένη V : αὐτῇ αἰτουμένη XSCY 5 τοῦ om. C 5 ἔπαρξις XCY : ὕπαρξις S ἔπαλξις V 5 post οὕτως verba Περὶ Ταίρου hab. X, Περὶ Ταύρου καὶ Μενεία hab. Y 6 οὗτος SYV : οὕτως XC 6 σαρκικῇ : σαρκὶ καὶ V 6 Χανανεύς : Χαναναῖος S 7 ὁρίοις τοῦ V : ὁροῖς τοῦ SC, om. X 7 Νεβρώδ nos : Νεβρώθ XSCYV fort. recte 7 ἐκείνου τοῦ Νεβρώδ om. XY, propter homoeteleuton 7 post λέγω verbum δὴ hab. Y 8 ἐμφερομένου XSV : ἐκφερομένου CY 8 ἐγράψαντο : ὑπεγράψαντο V 8 - 9 αὐτὸν εἶναι om. Y 9 post εἶναι verbum δὲ hab. C 9 δεκάτην SYV : κάτην C κατὰ τὴν X 9 ἀπῆλθον XSCY : ἀνῆλθον V 11 καὶ ᾐχμαλώτευσαν αὐτὴν om. XY, propter homoeteleuton 11 πάντα XCYV : ἅπαντα S 11 εἰς Συρίαν SCV : ἐν Συρίᾳ XY 11 οὗτος : οὕτως C 12 post μὲν verbum οὖν hab. V 12 post ἦν verbum καὶ hab. S 13 δεκαπέντε V : ιε' XSCY 14 ἰδὼν nos : εἰδὸς XY εἰδὼς SC ἰδὼς V 15 αὐτὸν CV : αὐτὸ SY αὐτῷ X

ἑαυτοῦ δούλοις. γνοὺς δὲ ὁ ἀρχιάρχων ὅτι τὸ παιδάριον, ὁ †εἰσεύων ἐπῆρεν, ἀειδῶς αὐτὸν ἔσχεν, ὡς πίστιν μὴ φυλάξαντα < ... >. ἦν δέ τις ναύκληρος ἐν τῇ Συρίᾳ ἐκ τῆς μεγαλοπόλεως Ῥώμης ποιούμενος τὰς ἑαυτοῦ πραγματείας. λελαληκὼς οὖν ὁ ναύκληρός τινι τῶν ἀρχόντων δοῦναι τὰς τιμὰς Ταύρου καὶ λαβεῖν αὐτὸν σὺν τῇ μητρὶ αὐτοῦ, ὁ ἄρχων ἀκούσας ἀπέδοτο αὐτόν, λαβὼν παρ' αὐτοῦ τριάκοντα χρυσίνους †χαζευτούς, καὶ ἀπέδωκεν τὸ παιδάριον σὺν τῇ μητρὶ αὐτοῦ, καὶ ποιήσας ὁ ναύκληρος τὰς ἑαυτοῦ πρὸς χρῆσιν πραγματείας, ἐξῆλθεν ἀπὸ Συρίας βουλόμενος ἐλθεῖν ἐν Ῥώμῃ. ὡς δὲ ἔπνευσεν λίψ, οὐκ ἠδύνατο κατὰ τοὺς Ἰταλικοὺς κόλπους διαπλεῦσαι, καὶ κατήχθη ἐν Ῥηγίῳ, ἵνα διὰ τοῦ Στενωποῦ τοῦ Φάρου διαπλεύσῃ· τῶν δύο γὰρ πελάγων τὸ μαχικὸν ἐν αὐτῷ τῷ τόπῳ ἐστιν, ὃ κεκλήκασιν οἱ γεωμέτραι στενωπόν· ὅταν γὰρ ἀνακλύσῃ σάλον αὐτοῦ, τίς ὑποστήσεται τὰς τρικυμίας αὐτοῦ; κατάξας οὖν ὁ ναύκληρος ἐν ἐπισήμῳ τόπῳ, ὁράθη ὑπὸ τῶν περὶ Ῥέμαλδον, καὶ ἰδόντες τὸ κύτος

XSCYVO

1 ἀρχιάρχων V : ἀχειροάρχων X ἀχειρεάρχων Y ἀχὴρ ὁ ἄρχων S ἀχὴρ ὁ ἄρχον (corr. ἄρχων) C 1 ὁ εἰσσεύων V ὁ ἰσεύων XCY ὁ ἰσσεύων S 2 ἐπῆρεν XSV : ἐπεῖρεν CY 2 post ἐπῆρεν XSV : ἐπεῖρεν CY 2 ἀειδῶς XCY : ἀηδὼς S ἀιδὼς V 2 post φυλάξαντα lacunam statui 3 μεγαλοπόλεως XSV : μεγάλης πόλεως CY 4 post ὁ verbum δὲ hab. C 6 τριάκοντα SCV : λ' XY 7 χαζευτοὺς XSCY : ζαχευτοὺς V 7 ἀπέδωκεν XSCY : ἔλαβεν V 8 post ποιήσας verbum οὖν hab. C 8 ὁ ναύκληρος om. V 9 βουλόμενος om. V 9 ἔπνευσεν SY : ἔπλευσεν XCV 9 λίψ XCV : λιλίψ Y, om. S 10 οὐκ ἠδύνατο SV : οὐχ ἱδύνατο X οὐχ ἡδύνατο CY 10 κατήχθη SCV : κατῆλθεν XY 11 Ῥηγίῳ S : Ῥιγίῳ XY, fort. recte Ῥυγίῳ C Ῥιγείῳ V 11 διὰ τοῦ Στενωποῦ τοῦ Φάρου] *до стенопомь Фараань* Usp 11 τοῦ Φάρου S : Φάρου XYV Φόρου C 11 διαπλεύσῃ SCV : -σει XY 12 μαχικὸν V : μαχηκὸν XC μακικὼν S μαχητὸν Y 12 ἐστιν om. XSCY 12 ὃ CYV : ὧ XS 13 ἀνακλύσῃ V : ἀνακλύσει S ἀνακλήσει XY ἀκλύσῃ C 13 σάλον αὐτοῦ om. S 14 post τὰς verbum πικρὰς hab. C 15 ὁράθη CY : ὡράθη SV, om. X 15 ὑπὸ τῶν SCV : ὑπὸ τὸν Y τὸν X 15 ἰδόντες SV : εἰδότες XY ἰδῶτες C 15 κύτος XSV : κῆτος CY

τῆς νηὸς ἐθαύμασαν καὶ πέμψαντες ταχυδρόμους πρὸς Ῥέμαλδον, ἦλθεν καὶ προσεγγίσας τῇ σκάφῃ ἔλεγεν, 'χαῖρε, τύχη τῆς νηός, καλός σου ὁ φόρτος.' ὁ δὲ ναύκληρος σὺν τῶν ναυτικῶν, 'χαίροις, τοπάρχα, καλῶς τὰ κατά σε διοικοῦνται. ἡ πρόνοια τῶν θεῶν φυλάξῃ σε.' ὁ δὲ τοπάρχης Ῥέμαλδος πρὸς αὐτούς, 'καὶ τί ὁ φόρτος τῆς νηός;' οἱ δέ, 'εἴτιδ' ἂν βούλῃ· πάντα γὰρ καλὰ ἔχομεν.' ὁ οὖν Ταῦρος ἦν ζάγρος τῷ πλοίῳ περιπατῶν. ὡς δὲ ἑώρακεν Ῥέμαλδος τὸ παιδάριον ἐν τῷ περιστρώμνῳ τοῦ πλοίου, λέγει πρὸς τὸν ναύκληρον, 'τίς ἐστιν τὸ παιδάριον τοῦτο;' ὁ δὲ εἶπεν, 'ὁ δοῦλός σου ὠνήσατο αὐτόν.' ὁ δὲ Ῥέμαλδος, δεδωκὼς ἑξήκοντα χρυσίνους, φιλοτιμήσας δὲ καὶ τοὺς ναυτικοὺς οἶνον καὶ διατροφάς, ἀπέλυσεν αὐτοὺς ἀποπλεῦσαι ὅταν γένηται εὔθειος ὁ πλοῦς τῆς πολυκυμασίας τοῦ στενωποῦ· ἦν γὰρ πονηρῶς στοιχιζόμενος. γεγονότος δὲ εὐθείου πλοός, διέπλευσαν. ὁ οὖν Ῥέμαλδος λαβὼν τὸν Ταῦρον σὺν τῇ μητρὶ αὐτοῦ ἀπεκόμισεν ἐν τῇ ἐπαρχίᾳ Σαλινῶν εἰς τὸν ἴδιον οἶκον. ἡ οὖν Μενία, ὡς ἑώρακεν τὸ

XSCYVO

1 νηὸς S : ναῦς XCY ναυκληρίας V 2 χαῖρε : χαίρετε X 2 νηός S : νιὸς XCY ναυκληρίας V 3 ναύκληρος] корабельщикъ Usp 3 τῶν ναυτικῶν XCYV : τοῖς ναυτικοῖς S 3 post ναυτικῶν verbum εἶπεν hab. V 4 φυλάξῃ X : φυλάξει YV διαφυλάξαι S διαφυλάξει C 5 Ῥέμαλδος] Ремалдъ Usp 5 αὐτούς XSCY : τοὺς ἅπαντας V 5 τί XYV : τίς SC 5 νηός S : νιός XCY ναυκληρίας V 6 βούλῃ S : βούλει XCYV 6 πάντα XSCY : ἅπαντα V 6 ἔχομεν V : ἔχοιμεν XSCY 6 ζάγρος τῷ πλοίῳ SCYV : πρὸς τὸ πλοῖον X 8 περιστρώμνῳ X : περιστρόμνῳ CYV περιστάμνῳ S 8 ἐστιν om. V 9 ὠνήσατο nos : ὀνήσατο V ὠνησάμην XY ὀνησάμην C ὀνησάμεν S 9 αὐτόν X : αὐτό YV αὐτῷ SC 10 χρυσίνους XY : χρισίνους V χρυσίους SC 11 αὐτοὺς SYV : αὐτοῖς XC 12 εὐθείος XCYV : εὐθὺς S 12 ὁ om. V 12 πολυκυμασίας : πολυκαμασίας V 13 πονηρῶς XS : πονηρὸς CV πονηρὸς, corr -ῶς Y 13 στοιχιζόμενος S : στυχιζόμενος XY στιχιζόμενος C, fort. recte στυχηζόμενος V 13 εὐθείου XCYV : αἰσίου S 14 αὐτοῦ om. V 15 ante Σαλινῶν verbum τῶν hab. V 15 Σαλινῶν SCV : Σαληνῶν XY 15 Σαλινῶν] Салимьскы Usp 15 τὸν ἴδιον : τὰ ἴδια V

παιδάριον εὐφυέστατον, λέγει τῷ Ῥεμάλδῳ, 'οἶδεν ἡ ἄνω πρόνοια ὅτι καλὸν παιδάριον ὠνήσω, κύριε ἄνερ μου.' ἦν δὲ Μενία νέα, ὡσεὶ ἐτῶν δεκαοκτώ, πάνυ δὲ παλαιὰ τῷ φρονήματι καὶ σοφή. ὡς οὖν ἑώρακεν τὴν μητέρα Ταύρου, ζηλώσασα αὐτήν, ἵνα μὴ Ῥέμαλδός τι ἐργάσηται εἰς αὐτήν, ταχύνασα ἔδωκεν αὐτῇ φάρμακον καὶ ἀνεῖλεν αὐτήν. ἑωρακὼς οὖν ὁ Ταῦρος τὴν θνῆσιν τῆς μητρὸς αὐτοῦ, χολωθεὶς πέπτωκε νοσήματι, ὡς λέγειν ἅπαντας ὅτι, 'ὁ παῖς ὁ Χανανεὺς τελευτᾷ καὶ Ῥέμαλδος τέθλιπται δι' αὐτόν.' ἡ οὖν Μενία, λαβοῦσα κλίνην καὶ στρομνὴν ἁπαλήν, ἀνήνεγκε τὸν Ταῦρον ἐν ὑπερῴῳ τινι, ἔχουσα δύο παιδίσκας μετ' αὐτῆς, καὶ συλλαβόμενη τὴν κεφαλὴν τοῦ παιδὸς ἐπὶ τὸν κόλπον, περιεπτύσσετο αὐτὸν καὶ ἔλεγεν, 'μὴ οὕτως, παιδάριον, θλίβου, εἰ καὶ ἡ μήτηρ σου κεκοίμηται. ἐγὼ ἀντὶ μητρός σου γενήσομαι, κἀγὼ νέα καὶ σὺ παῖς, καὶ Ῥέμαλδος προβαίνει ἡμᾶς.' ταῦτα λαλήσασα ἡ Μενία τῷ παιδαρίῳ, ἤρθη ἡ μνήμη τῆς μητρὸς Ταύρου ἐκ τῆς καρδίας αὐτοῦ, καὶ προσεκολλήθη Μενίᾳ, καὶ ᾔτησεν

XSCYVO

1 ante *παιδάριον* verbum *τὸ* hab. S 1 *παιδάριον* : *παῖδα* V 2 ante *ὠνήσω* verbum *ὃ* hab. S 2 *ὠνήσω* XSY : *ὀνήσω* CV 2 *κύριε* SCV : *κύρι* XY 2 *Μενία νέα* : *νέα ἡ Μενεία* C 2 *ὡσεὶ* : *ὡς* Y 3 *δεκαοκτῶ* SCV : *ιη'* XY 4 *αὐτήν* : *αὐτῇ* S 4 post *τι* verbum *ἡδονὴν* hab. XSCY 4 *ἐργάσηται* XSV : *-ειται* CY 5 *ταχύνασα* CYV : *ταχύνας* XS 6 *χολωθεὶς* : *χολεθεὶς* V 7 *Χανανεὺς* XCYV : *Χαναναῖος* S 8 *δι'* om. XCYV, fort. recte 9 *ἁπαλήν* om. XY 9 *ἁπαλήν*] *текькоу* Usp 9 *ἐν* om. C 10 ante *τὴν* verbum *αὐτοῦ* hab. V 10 *τοῦ παιδὸς* om. V 10 *ἐπὶ* XYV : *περὶ* SC 11 - 12 *μὴ οὕτως - κεκοίμηται*] *не толма, wтроче, пещисе, аще и мати ти умрѣ* Usp 12 *σου* (1) om. V 12 *σου*(2) XSCY : *σοι* V 13 *γενήσομαι* XSYV : *γεγένημε* C 13 *προβαίνει ἡμᾶς*] *оуходи насъ* Usp 14 - 15 *ἤρθη - αὐτοῦ*] *взесе мт̃рьнꙗ память из сердца его* Usp 15 *Ταύρου* V : *αὐτοῦ* XSCY 15 *Μενίᾳ* emendavi : *Μενίας* SV *Μενείας* XCY 15 *καὶ* (2) XSCY : *ὁ οὖν Ταῦρος* V

φαγεῖν καὶ πιεῖν. ἡ δὲ Μενία καρύκευμα πάνυ καλὸν τρυφεροῦ ἐρίφου ποιήσασα ἐπέδωκεν αὐτῷ, καὶ λαβὼν ἔφαγεν καὶ ἐνίσχυσεν καὶ ἀνέστη ἀπὸ τῆς ἀρρωστίας αὐτοῦ. ὁ οὖν Ῥέμαλδος, ὁρῶν τὸν παῖδα σχήματα ἀνδρείας περιβεβλημένον, ἀπέδοτο αὐτὸν ἐν τοῖς ἱππισταῖς διδάσκεσθαι μεταποιεῖν τὰς καθέδρας τῶν ἵππων, καὶ εἰς πέντε ἑτέρους χρόνους ἐγένετο Ταῦρος ἀνὴρ εὐμήκης καὶ εὔροστος, πολὺς τῇ ἡλικίᾳ, πάνυ δὲ ἤθη καὶ πράξεις ποιούμενος ἐν πολεμικοῖς τοξεύμασι καὶ λιθοβολίσι, ὡς λέγειν Ῥέμαλδον ἀναψυχὴν εὑρηκέναι τὸν παῖδα τοῦτον ὑπὲρ πάντας τοὺς παίδας αὐτοῦ. ὁ δὲ Ἀκυλῖνος γνοὺς τὴν ἀνδρείαν αὐτοῦ ἐν τοῖς πολέμοις, ἐπυνθάνετο μαθεῖν παρά τινων, πόθεν ὁ εὐφυὴς παῖς, ὁ προπορευόμενος Ῥεμάλδῳ, ὡς δίκην γίγαντος τόξον τείνων καὶ λιθοβολίδι ἐκβάλλων. οἱ δὲ φησίν, 'ἐκ Συρίας ὠνήσατο αὐτόν.' οὗτος μὲν ὁ Ταῦρος παρὰ πᾶσιν ἐθαυμάσθη διὰ τὴν πολλὴν ἰσχὺν αὐτοῦ· τὸ τόξον γὰρ αὐτοῦ, ὁ τεῖναι δυνηθεὶς οὐχ εὑρίσκετο ἢ βαστάσας ἐπ' ὤμων οὕτως χερσὶν ἆραι. οὐ μόνον δὲ τὴν ἰσχὺν εἶχεν,

XSCYVO

1 πιεῖν YV : πισεῖν XC ποιεῖν S 1 τρυφεροῦ XCY : τρυφερὸν SV 2 ἐπέδωκεν XSYV : ἔδωκεν C 2 post ἔφαγεν verba καὶ ἔπιεν hab. S 3 σχήματα : σχῆμα C 4 αὐτὸν : αὐτὸ Y 4 ἱππισταῖς : ἵπποις ταῖς V 5 μεταποιεῖν : μεταποιεῖς C 5 μεταποιεῖν τὰς καθέδρας τῶν ἵππων] *пръτворѧти седла конемъ* Usp 6 εὐμήκης SV : εὐμηκεὶς X ἀμικῆς C ἀμηκεῖς Y 6 καὶ om. XCY 6 εὔροστος om. XSCY 6 πολὺς XSY : πολὺ CV 8 λιθοβολίσι nos : λιθοβολίδες SCYV λίθου βολίδες X 10 ἐπυνθάνετο μαθεῖν XSCY : ἐποίθετο V 11 Ῥεμάλδῳ XCY : Ῥεμίνδῳ V Ῥεμάλδου S 11 - 12 ὡς δίκην γίγαντος τόξον τείνων] *акы Щудовинь лукъ ѿтезае* Usp 12 λιθοβολίδι : λίθον βολίδη V 12 ἐκβάλλων XS : διεμβάλλων C ἐμβάλλων Y, fort. recte ἐμβάλων V 12 οἱ δὲ φησίν om. V 12 ὠνήσατο XY : ὀνήσατο CV ὠνήσω S 13 οὗτος XCYV : οὕτως S 13 ἐθαυμάσθη : ἐθαυμαστόθη Y 14 τὸ om. XCYV 14 ὁ : ὡ C 14 εὑρίσκετο XSCY : ηὑρίσκετο V 15 βαστάσας XSCY : βάσταγμα V, fort. recte 15 ὤμων SCV : ὦμον XY 15 δὲ XCYV : γὰρ S

ἀλλὰ καὶ πάνυ σοφὸς καὶ τροπαιοῦχος ἦν. πολλάκις δὲ συνήθροιστο λαῶν πλήθη εἰς τὰ συμπόσια τῶν θεῶν αὐτῶν, καὶ ποτὲ τὸν ἴσον Ταύρου ἐν ἰσχύϊ ἢ ἐν παραβολαῖς μυθικαῖς οὐχ εὗρισκον, ὥστε ἐν μιᾷ συνῆλθον πλῆθος βοῶν ἐν τῷ ὕδατι τῷ σαλικῷ, καὶ ἦσαν ἐν αὐτοῖς ταῦροι ὡσεὶ ἐτῶν δεκαδύο, πάνυ ἄγριοι, οἷς ποτὲ προσπελάσαι ἄνθρωπος οὐκ ἴσχυσεν. διεγερθεὶς οὖν ἔμπροσθεν πάντων ὁ Ταῦρος, ἐκράτησε τὸν ὑπερμεγεθέστερον καὶ ἀγριώτερον ταῦρον, καὶ ὡς ἀμνὸν οὕτως αὐτὸν συνεπόδισεν, ὡς γενέσθαι καὶ ἐξ ἐκείνου ὁμοναστὸν τὸν 'Ταῦρον', οἷον ἕτερον οὐκ ἦν εὑρεῖν ἐν ταῖς ἡμέραις ἐκείναις. αὕτη οὖν ἡ φήμη τῆς ἀνδρείας Ταύρου. οὐδέποτε δὲ Ἀφροδίσια συνεμίγη οὐδὲ ᾐτήσατο κοίτην γυναικός· τῆς γὰρ αὐτοῦ ἰσχύος, ὁ σοφὸς τὴν λαγνείαν εὗρισκεν ἐπιβουλὴν ἐν τοῖς γραφικοῖς εἶναι. ἐν δὲ ταῖς ἡμέραις ἐκείναις ἦλθεν ὁ Ἀκυλῖνος ἐκπορθῆσαι τοὺς περὶ Ῥέμαλδον, καὶ ἦν ἀγὼν πολὺς ἐν αὐτοῖς, καὶ λαβοῦσα ἡ σοφὴ Μενία τὴν ἑαυτῆς περιουσίαν, ἀπέδρασεν ἐν τόπῳ κρυπτῷ. οἱ οὖν ἄνδρες οἱ περὶ Ῥέμαλδον σὺν αὐτῷ

XSCYVO

3 ἐν παραβολαῖς μυθικαῖς] *притчами кощунными* Usp 3 εὗρισκον XSCY : ηὕρισκον V 4 συνῆλθον V : συνελθεῖν XSCY, fort. recte 4 τῷ ὕδατι τῷ σαλικῷ] *водъ Сальстъй* Usp 4 ἦσαν XSV : εἶσαν CY 5 δεκάδυο : δέκα καὶ δύο S 7 ἀμνὸν XYV : ἀμνὴν S ἀρνὸν C 8 post ἐξ verbum αὐτοῦ hab. V 8 ὀνομαστὸν τὸν Ταῦρον V : ὀνομαστὸς ὁ Ταῦρος XSCY 9 εὑρεῖν om. Y 10 post δὲ verbum εἰς hab. S 10 - 11 οὐδὲ ᾐτήσατο κοίτην γυναικός om. XY 11 κοίτην S : κοίτης CV 11 ὁ XSCY : ὡς V, fort. recte 14 ἑαυτῆς SCV : αὐτῆς XY 15 ἀπέδρασεν SCV : ἀπεδίδρασκεν XY 15 κρυπτῷ] *скровное* Usp

ἐξῆλθον εἰς ἀπάντησιν Ἀκυλίνου. ἦν δὲ καὶ Ταῦρος σὺν Ῥεμάλδῳ. ὅτε οὖν συνῆψαν τὸν πόλεμον, ἀποστραφεὶς ὁ Ταῦρος ἀπὸ Ῥεμάλδου πλῆξαι ὑπεναντίον, ἐπλήγη ὁ Ῥέμαλδος καὶ πέπτωκεν. στραφεὶς δὲ ὁ Ταῦρος, ἑώρακεν τὸν ἑαυτοῦ κύριον πεπληγότα καὶ ἐρριμμένον ἐπὶ τὴν γῆν καὶ συγκαταπατημένον, καὶ κύψας ἐπῆρεν τὸ δακτύλιον ἐκ τῆς χειρὸς αὐτοῦ, καὶ ἐπιβὰς τῷ ταχυτάτῳ ἵππῳ, ἔφυγεν. ἐκολλήθησαν δέ τινες ὄπισθεν αὐτοῦ, καὶ στραφεὶς παρέπληξεν ἐν δόρατι αὐτοῦ ἐξ αὐτῶν ὡσεὶ τριάκοντα, καὶ πτοηθέντες ἔφυγον ἀπὸ προσώπου αὐτοῦ. ἦλθεν οὖν ὁ Ταῦρος ὅπου ἦν Μενία κρυπτομένη καὶ ἀνήγγειλεν αὐτῇ ὅτι, Ῥέμαλδος ὁ κύριός μου ἐν τῷ πολέμῳ πέπτωκεν.' ἀκούσασα δὲ Μενία ὅτι Ῥέμαλδος ὁ ἀνὴρ αὐτῆς ἀπέθανεν, διέρρηξεν τὸν χιτῶνα αὐτῆς ἀπὸ ἄνωθεν ἕως κάτω, καὶ ἐπέβαλε κόνιν ἐπὶ τὴν κεφαλὴν αὐτῆς. ὁ οὖν Ταῦρος πρὸς τὴν κυρίαν αὐτοῦ, 'ὦ κυρία μου σοφή, διὰ τί οὕτως ὀδύνη σε πεπλήρωκεν; οὐχὶ σοῦ ἡ παράκλησις †τοῦ ἐνοχόλου με ἐξάνεστησεν, καὶ μνήμην τῆς μητρός μου τῆς ἐμῆς καρδίας ἀπήλειψεν;

XSCYVO

1 ὅτε : ὃ Y 2 οὖν om. S 2 συνῆψαν SCV : συνήψεν XY, fort. recte 2 τὸν πόλεμον om. XSCY 2 ἀπὸ : σὺν S 3 πλῆξαι : πλήξας Y 3 ἐπλήγη : ἐπλήγει C 4 - 5 ἐπὶ τὴν γῆν XSCY : ἐν τῇ γῇ V 5 συγκαταπατημένον : συγκαταπεπατημένον S 5 κύψας : κύμψας V 5 ἐπῆρεν XYV : ἐπείρεν S ἐπεῖρεν, corr. ἐπῆρεν C 5 δακτύλιον SCV : δακτυλίδιον XY, fort. recte 5 - 6 ἐκ τῆς χειρὸς om. Y 7 παρέπληξεν XSYV : ἔπληξεν C 7 - 8 ἐξ αὐτῶν post τριάκοντα tr. S 8 ὡσεὶ om. Y 9 ὁ om. XY 9 ante Μενία verbum ἡ hab. V 11 ἀπέθανεν ante ὁ ἀνὴρ tr. V 12 ἀπὸ : ἀπ' C 12 τὴν κεφαλὴν XSCY : τῇ κεφαλῇ V 13 αὐτῆς XSCY : ἑαυτῆς V 13 post τὴν (☞) verbum ἑαυτοῦ hab. V 13 αὐτοῦ om. V 13 post σοφή verbum Μενία hab. V 14 post πεπλήρωκεν verba τὴν καρδίαν σου hab. V 15 μνήμην : μνήμη S 15 τῆς (1) om. V

οὐχὶ σὺ εἴρηκάς μοι, 'κἀγὼ νέα εἰμὶ καὶ σὺ παιδάριον;' ἡ δὲ ὑπόμνησιν λαβοῦσα τῶν λαληθέντων ὑπὸ Ταύρου, κατεστάλη ἐκ τῶν περιεχουσῶν αὐτὴν ὀδυνῶν. τότε λέγει πρὸς τὸν Ταῦρον, 'οὕτως ἔχοιεν, ὦ παιδάριον, ὅτι προβεβηκὼς ἡμᾶς ἦν.' ὁ οὖν Ταῦρος πρὸς τὴν ἑαυτοῦ κυρίαν, 'ἐξένεγκέ μοι τὴν σωληνωτὴν ζώνην τοῦ κυρίου μου καὶ τὴν ἁπλῆν μάχαιραν καὶ τὴν ἀσπίδα αὐτοῦ τὴν χυμευτὴν καὶ τὸ δόρυ αὐτοῦ τὸ μαγευτόν.' ἡ δὲ τάχιστα ἐξήνεγκεν αὐτά, καὶ λέγει αὐτῇ, 'ἄσπασαί με, κυρία μου Μενία, ὅτι τὸ αἷμα 'Ρεμάλδου τὸ ἐκχυθὲν σήμερον ἐπὶ τὴν γῆν ἐκδικῆσαι πορεύομαι ἐκ τῶν περὶ 'Ακυλῖνον τὸν κύνα, κἀγὼ συντρίψω αὐτὸν ἐν λιθοβολίδι.' ἡ οὖν Μενία ἀσπασαμένη τὸν Ταῦρον λέγει αὐτῷ, 'ἄπελθε, ἡ ἄνω πρόνοια συμμαχήσει σοι. σκοπῶ τὸν πόλεμον. κρότησον, μὴ καὶ σὲ ἀποκτείνῃ 'Ακυλῖνος.' τότε ἔγνω Ταῦρος φίλημα γυναικός, ὡς μόνον ἐν τῷ στόματι ἤγγισεν. συλλαβόμενος οὖν ἐκ τῶν καταλελημμένων ἀνδρῶν τοῦ πολέμου, ὡσεὶ ἑξακισχιλίους, λέγει αὐτοῖς, 'ἀπέλθωμεν εἰς 'Ακυλῖνον.' οἱ δὲ ἄνδρες

XSCYVO

1 σὺ (2) : σοὶ V 3 αὐτὴν XSCY : αὐτῇ V 3 τὸν om. S 4 ἡμᾶς emendavi (cf. supr. 379.13) : ἡμῖν XCY ἡμῶν S, om. V 5 τὴν σωληνωτὴν] *сьвориты* Usp 6 ἁπλῆν] *простии* Usp 6 χυμευτὴν] *вьлърмитый* Usp 7 μαγευτόν] *Магеутьское* Usp 7 ἐξήνεγκεν S : ἐξένεγκεν XCYV 8 ἄσπασαί με SV : ἄσπασέ μαι X ἄσπασέ με CY 9 περὶ : κατὰ S 10 οὖν XYV : δὲ SC 11 συμμαχήσει XYV : συμμαχήσε, corr. ήσαι S συμμαχήση C, fort. recte 12 ante σκοπῶ verbum καὶ hab. SCY 12 μὴ post καὶ tr. C 13 ante Ταῦρος verbum ὁ hab. YV 13 φίλημα : φιλίαν V 14 οὖν XCYV : δὲ S 14 τοῦ om. X 14 ὡσεὶ : ὡς Y 15 post ἑξακισχιλίους verbum ἄνδρας hab. V 15 ἀπέλθωμεν SY : -ομεν XCV

πρὸς αὐτόν, 'καὶ τί ποιήσωμεν;' ὁ δὲ Ταῦρος πρὸς αὐτούς, 'πολεμήσωμεν,' καὶ οἱ ἄνδρες πρὸς αὐτόν, 'καὶ τί ποιήσωμεν, ἑξακισχίλιοι ἄνδρες πρὸς ὀγδοήκοντα χιλιάδας;' ὁ Ταῦρος πρὸς αὐτούς, 'τοῦτο γὰρ κἀκεῖνοι λογίζονται, ὅτι ὀλιγοστός ἐστιν ὁ λαός, καὶ μάλιστα ὅτι ἀπέθανεν Ῥέμαλδος καὶ ἔφυγεν ὁ λαός, καὶ οὐ μὴ πρὸς ἡμᾶς παραγίνονται ἔτι, καὶ εὑρήσομεν αὐτοὺς ἀναπεσόντας ἐν ἑνὶ τῶν ποικῶν τόπων, καὶ ποιήσομεν εἰς αὐτοὺς εἴτιδ' ἂν βουληθῶμεν.' οἱ δὲ πρὸς αὐτόν, 'οὕτως μὲν ἔχοιεν, Ταῦρε, ἀλλὰ τίς ἄρξει ἡμῖν καὶ τὰ πολεμικὰ τῆς τύχης ἐμβαλεῖ;' ὁ Ταῦρος πρὸς αὐτούς, 'πάντες ὑμεῖς πεῖραν πολέμου ἔχετε. ἐὰν δὲ θέλητε, ἀρχω ὑμῖν καὶ τὴν τύχην τοῦ πολέμου ἐπιδίδω.' οἱ οὖν ἄνδρες πρὸς αὐτόν, 'σύ, ὦ Ταῦρε, εἰ καὶ τῇ ἰσχύϊ ταύτῃ περικεῖσαι, ἐπεὶ παιδάριον εἶ, πεῖραν πολέμου καὶ τύχην μὴ ἐπιστάμενος δοῦναι.' ὁ οὖν Ταῦρος πρὸς αὐτούς, 'πειράσατέ με, κἀγὼ πρόθυμος γενήσομαι ἐν τῷ πολέμῳ, καὶ ὡς διαστήσω ὑμᾶς, οὕτως ποιήσατε, ὃ καὶ εὑρήσεται νίκην ἐκφέρων." τότε ἐξῆλθον οἱ

XSCYVO

1 ποιήσωμεν SYV : -σωμεν, corr. -σομεν C -σομεν X 2 πολεμήσωμεν SYV : πολεμήσομεν C πολεμίσομεν X, fort. πολεμίσωμεν emendandum 2 ποιήσωμεν V : ποιήσωσιν XCY, fort. recte ποιήσουσιν S 3 ante ἑξακισχίλιοι verbum οἱ hab. XSCY, fort. recte 3 post ὁ verbum δὲ hab. CV 4 κἀκεῖνοι post λογίζονται tr. C 6 εὑρήσομεν XS : εὑρίσωμεν CY εὑρήσωμεν V 7 ποιήσομεν XCV : -σωμεν SY 9 τύχης : ψυχῆς S 9 ἐμβαλεῖ XYV : ἐμβάλη C ἐκβαλεῖ S 9 ante ὁ verbum καὶ hab. V 10 δὲ om. V 10 θέλητε S : θέλετε XCYV 10 τὴν om. XY 10 - 11 τοῦ πολέμου : τὸ πολέμω S 11 οὖν XSCY : δὲ V 12 περίκεισαι SV : περίκησαι X περίκεισε CY 12 εἶ XSC : ἦ V, om. Y 13 οὖν XYV : δὲ C, om. S 14 πρόθυμος : προθύμος, corr. -ως Y 15 ὃ : ὦ S 15 εὑρήσεται nos : εὑρίσεται S εὑρήσετε CV εὑρήσηται X εὑρήσειτε Y 15 ἐκφέρων XYV : ἐμφέρων, corr. ἐκφέρων C ἐκφερόντα S

ἄνδρες καὶ ἦλθον ὡς ἀπὸ σταδίου ἑνὸς Ἀκυλίνου, καὶ λέγει τοῖς ἀνδράσιν, 'χωρίσατε ἑαυτοὺς τρισχιλίους ἐν δεξιοῖς καὶ τρισχιλίους ἐξ εὐωνύμων, καὶ οἱ μὲν τὴν ὀρινὴν διακρατεῖτε, οἱ δὲ τὴν παραλίαν. ἀπέλθω δὲ καὶ κατασκοπήσω τί διαπράσσονται οἱ τοῦ Ἀκυλίνου ἄνδρες σὺν αὐτῷ.' καὶ λαβὼν ὁ Ταῦρος ἀπῆλθε μονώτατος, καὶ ἐλθὼν ἐγγὺς τοῦ τόπου ἑώρακε πηγήν, καὶ ἦσαν ἐν αὐτῇ ἄνδρες ἓξ φυλάσσοντες τὴν βάσιν τοῦ πολέμου. λαθραίως οὖν ἐπιβὰς αὐτοῖς ὁ Ταῦρος, σπασάμενος τὴν μάχαιραν αὐτοῦ, ἀπεκεφάλισε τοὺς τρεῖς, τοὺς δὲ ἄλλους τρεῖς δήσας ἤνεγκεν ἐν τοῖς ἑξακισχιλίοις αὐτοῦ ἀνδράσιν· ἐὰν γὰρ οὐκ ἐγένετο τοῦτο, οὐκ ἂν εἶχον πεισθῆναι Ταύρῳ καὶ πολεμῆσαι Ἀκυλῖνον. τότε οἱ τρεῖς ἄνδρες ἅπασαν τὴν δύναμιν Ἀκυλίνου εἰρήκασι τοῖς περὶ Ταῦρον ὅτι, 'καὶ πολλῷ οἴνῳ καρωθέντες εἰσὶν καὶ ἑτέρους φύλακας οὐκ ἔχουσιν.' θαρσοποιηθέντες οὖν, ἀναζεύξαντες τὰ ἅρματα αὐτῶν, τοὺς μὲν ἄνδρας ἀπεκεφάλισαν, οὓς ἦν Ταῦρος θηρεύσας, ἀπελθὼν δὲ ὁ Ταῦρος μέσην ὁδὸν μονώτατος, καὶ οἱ

XSCYVO

2 ἐν δεξιοῖς καὶ τρισχιλίους om. S, propter homoeoteleuton 2 ἐν om. V 2 - 3 ἐξ εὐωνύμων : ἀριστεροὺς V 3 οἱ (1) : ὁ S 3 διακρατῆτε XV διακρατεῖτε SCY 4 κατασκοπήσω : διασκοπήσω S 5 ἄνδρες : ἄνδρας S 6 ἓξ : ἕξο Y 7 οὖν om. S 7 ἐπιβὰς SCV : ἐπιστᾶς XY 9 ἄλλους om. V 9 ἤνεγκεν SYV : ἔνεγκεν XC 9 αὐτοῦ post ἀνδράσιν tr. V 10 Ταύρῳ V : Ταύρου XSCY 11 ἄνδρες om. C 12 ὅτι XSCY : ὅτιπερ V 13 πολλῷ οἴνῳ CYV : πολλῶν οἰνῳ X πολλοῦ ἤνου, (corr. οἴνου) S 13 post οὖν verbum καὶ hab. CV 14 post τὰ verbum ἑαυτῶν hab. S(1) 14 αὐτῶν om. S 14 ἀπεκεφάλισαν XV : -ησαν Y -ησεν SC 15 ante Ταῦρος verbum ὁ hab. V 15 ὁ om. CV

ἄνδρες ἐχώρισαν ἑαυτοὺς δεξιᾷ καὶ ἀριστερᾷ, καὶ ὡς ἦλθεν ἐπάνω, ῥήξας ὁ Ταῦρος τὴν φωνὴν αὐτοῦ, σκότος ἐγένετο τοῖς περὶ Ἀκυλῖνον. ἦν δὲ παρεικᾶσαι φωνὴν Ταύρου ὡς φωνὴν λέοντος. τότε οἱ ἑξακισχίλιοι ἄνδρες ἀπεκτάγκασιν ὡσεὶ πεντήκοντα χιλιάδας. ὁ δὲ Ἀκυλῖνος οὐ τετύχηκε πεσεῖν, ἀλλὰ μετὰ τῶν σωθέντων εἰσῆλθεν ἐν τῇ Μελοδοπόλει. τότε οἱ ἄνδρες οἱ περὶ Ταῦρον ὑπέστρεψαν ἐκ τῆς πολεμικῆς παρατάξεως εὐφημοῦντες τὸν Ταῦρον ὡς ἄξιον τοῦ ἄρχειν αὐτοῖς, καὶ ἐλθόντες χαίροντες πρὸς Μενίαν ἔλεγον, 'κυρία ἡμῶν καὶ σοφὴ Μενία, ἡμεῖς πάντες δοῦλοι ἐσμὲν Ταύρου τοῦ ἄρχοντος ἡμῶν, ὃς ἔδωκεν ἡμῖν σήμερον μεγάλην τύχην πολέμου, οἵαν ποτὲ ἡ καθ' ἡμᾶς ἐπαρχία οὐκ ἔσχεν. δώσωμεν καὶ ἡμεῖς ἅπαντες φιλοτιμίας αὐτῷ. θέλησον δέ, κυρία, προσομιλῆσαι αὐτῷ. γενέσθω εἰς σὲ ὁ κύριος ἡμῶν Ταῦρος, καὶ σὺ πρὸς αὐτόν,' καὶ συλλαβόμενοι οἱ ἄνδρες τὴν Μενίαν καὶ ἅπαντα, ἃ ἦν αὐτῇ ἑτοιμασθέντα ἐν τῷ τόπῳ τῷ κρυπτῷ, ἦλθον ἐν τῷ οἴκῳ αὐτῆς, καὶ ἀνενέγκαντες αὐτὴν ἐν κλίνῃ συνελάβοντο τὸν

XSCYVO

1 ἄνδρες ἐχώρισαν ἑαυτοὺς : ἂν αὐτοῦ Y 1 ἐχώρισαν om. XY 1 ἦλθεν XSY : ἦλθον CV 2 ῥήξας SC : ῥίξας XYV 2 ὁ om. Y 2 τὴν om. SCV 2 αὐτοῦ om. SCV 3 ante φωνὴν (2) verbum τὴν hab. S 4 χιλιάδας : χιλιάδες S 5 τῇ om. V 6 Μελοδοπόλει XY : Μελωδοπόλει CV Μελόδῳ πόλει S 6 Μελοδο-] Μελονь Usp 8 πρὸς : ἐπὶ τὴν Y 8 post ἔλεγον verbum αὐτῇ hab. V 10 σήμερον μεγάλην om. S 10 σήμερον post πολέμου tr. V 11 δώσωμεν SY : δώσομεν CV δοσωποῦμεν, corr. δόσωμεν X 12 δέ om. V 14 ἅπαντα XSCY : πάντα V 14 ἑτοιμασθέντα emendavi : μετασθέντα XSCYV 15 συνελάβοντο : συνέλαβον S 15 τὸν XSCY : καὶ V

Ταῦρον καὶ συνέμιξαν αὐτούς. τότε ἔγνωκεν ὁ Ταῦρος πλήρη φιλίαν γυναικὸς καὶ μόνον εἰς Μενίαν ἠρκέσθη, ἄλλης γυναικὸς ποτὲ μὴ προσομιλήσας ἕνεκεν ἡδονῆς σαρκικῆς. λοιπὸν οὕτως ἡ μίξις Ταύρου καὶ Μενίας ἐγένετο καὶ λήθῃ προσεγένετο Ῥέμαλδος ὁ ξανθός. ὁ δὲ Ἀκυλῖνος ἦν τροπευόμενος τί ἂν ποιήσῃ τοῖς περὶ Ταῦρον. ἀπελθὼν οὖν καὶ στρατολογήσας ἐκ πασῶν τῶν πόλεων Καλαβρίας ὡσεὶ ἑξακοσίας χιλιάδας, ἦλθεν ἐν ἑνὶ τόπῳ, καὶ ζώνην ἐμβαλὼν μαντικήν, εὗρεν Ταῦρον νικᾶν, καὶ παρετηρεῖτο ἡμέραν εὑρεῖν τοῦ τὸν Ταῦρον ἀπολέσαι. κατασκοπήσαντες δὲ οἱ περὶ Ταῦρον τοὺς περὶ Ἀκυλῖνον, καὶ ἑωρακότες τὰ πλήθη τῶν ἑξακοσίων χιλιαδῶν, παρελύθησαν, καὶ εἶπον πρὸς Ταῦρον, 'φύγωμεν ἀπὸ προσώπου Ἀκυλίνου, ὅτι οὐ μὴ δυνηθῶμεν πρὸς αὐτούς τι διαπράξασθαι, ἐπειδὴ πλῆθος πολὺ ἐστίν.' ὁ δὲ Ταῦρος ἀρεσθεὶς τῇ συμβουλίᾳ τῶν ἀνδρῶν αὐτοῦ, λαβὼν νυκτὶ ἔπλησεν τὰς ἑαυτοῦ σκάφεις πάντα τὸν πλοῦτον αὐτοῦ καὶ πάντας τοὺς ἄνδρας αὐτοῦ καὶ διεπέρασεν εὐθέως. ὁ οὖν σοφὸς Ταῦρος, ἀπελθὼν

XSCYVO

1 ἔγνωκεν XSCY : ἔγνω V 1 πλήρη emendavi : πλήρης XSCY πλήρεις V 2 μόνον XSCY : μόνης V 2 εἰς Μενίαν (Μενείαν XCY) XSCY : Μενίας V, fort. recte 3 σαρκικῆς XSCY : σαρκὸς V 4 καὶ λήθῃ προσεγένετο Ῥέμαλδος ὁ ξανθός] вь забытьнь бы Ремалдь русый Usp 4 προσεγένετο SCV : ἐγένετο XY 5 τροπευόμενος XCY : προπευόμενος S τροπαιούμενος V 5 τί : ὅτι Y 5 ποιήσῃ S : ποιήσει XCY ποιήσοιτο V 5 τοῖς om. SC 7 ἐν om. S 7 ἐμβαλὼν SCV : βαλὼν XY 8 παρετηρεῖτο nos : παρετειρήτω X παρετηρεῖτω, corr. -εῖτο C παρετηρήτω Y παρεστηρεῖτο V 10 παρελύθησαν : παρεληλύθασι S 11 εἶπον XSCY : εἶπαν V 11 φύγωμεν XSV : -ομεν CY 12 τι ante πρὸς tr. V 14 καὶ om. Y

ἄντικρυς τοῦ λαοῦ Ἀκυλίνου, ἦψε πλῆθος πυρᾶς πολλῆς, καὶ οὕτως ἐπάραντες, ἀνεχώρησαν, καὶ ἐρχόμενοι τὰ ἴχνη αὐτῶν ἠφάνιζον, ἵνα μὴ τάχιον γνῶτο Ἀκυλῖνος τὸ τί γέγονε Ταῦρος. τότε ἦλθεν Ἀκυλῖνος ἔνθα ἐδόκει εὑρεῖν Ταῦρον, καὶ οὐχ εὗρεν. διεπέρασε δὲ ὁ Ταῦρος σὺν πάντων τῶν ἑαυτοῦ, καὶ σωθεὶς κατῆξεν ἔνθα ἡ πόλις ἡμῶν διάκειται νῦν. ἐνέγκας οὖν τοὺς ἄνδρας καὶ κατασκοπήσας τὸν τόπον καὶ εὐρὼν τὴν ὀχυρότητα αὐτοῦ, ἐποίησαν ἀσφάλειαν καὶ ὑδραγωγοὺς καὶ δεξαμενὰς παμμεγέθεις καὶ ὠχύρωσαν ἑαυτούς. ἀκούσασαι δὲ αἱ πέριξ ἐπαρχίαι, συνυπούργησαν Ταύρῳ καὶ ἔχρισαν αὐτὸν ἡγεμόνα τοῦ ἄρχειν αὐτοῖς. τότε τὸν σύμπαντα λαὸν ἀριθμήσας εὗρεν ὡσεὶ ἑβδομήκοντα χιλιάδας, καὶ λαβὼν χρήματα εἰς πλῆθος, διέδωκεν αὐτοῖς, καὶ ἐνενέγκαντες σῖτον καὶ οἶνον, ἔπλησαν τὴν πόλιν. ὁ δὲ Ἀκυλῖνος ἦλθεν εἰς Ταύρου οἴκους καὶ εὗρεν οὐδέν. δοκῶν δὲ ὅτι ἐν ἑνὶ τῶν κατάλσων ὀρέων ἐστίν, ἀπῆλθεν ἅπαντα τόπον Καλαβρίας ἀναζητῶν Ταῦρον μέχρι μηνὸς ἑνὸς ἀπὸ παραλίας Σαλινῶν ἕως

XSCYVO

2 ἐπάραντες : ἀπάραντες S 2 ἀνεχώρησαν CYV : ἀνεχώρισαν X ἀνεχώρησεν S 3 τὸ τί γέγονεν Ταῦρος SCY, add. X¹ in marg. : ποῦ ἀπέδρασεν Ταῦρος V, fort. recte 3 ante Ἀκυλῖνος verbum ὁ hab. Y 6 εὑρὼν : ἰδὼν S 8 ὠχύρωσαν nos : ὀχύρωσαν XCY ὀχύροσαν S ὠχύρωσεν V 8 ἑαυτούς : ἑαυτὸν V 9 Ταύρῳ : Ταύρου V 9 ἔχρισαν S : ἔχρησαν XCY ἐχρήσαντο V 9 ante ἡγεμόνα verbum εἰς hab. V 12 ἐνενέγκαντες XY : ἐνέγκαντες SCV, fort. recte 13 ante εὗρεν verbum οὐχ hab. V 14 κατάλσων XSV : κατάλσον, corr. -ων Y καταλύσων V 14 ὀρέων XSCY : ὁρίων V 15 ante Ταῦρον verbum τὸν hab. CV, τῶν hab. S 15 ἑνὸς ante μηνὸς tr. V

Κογχύλου χειμάρρου καὶ τέρμονος καὶ τῶν ὀρέων Τυροπόλεως καὶ ἕως τῆς μικρᾶς καὶ ἀλιμενεύτου θαλάσσης, καὶ μὴ εὑρὼν αὐτόν, ὑπέστρεψεν κοπιάσας, πολλοὺς πάνυ ἐκ τοῦ λαοῦ ἀπολέσας. ἡ οὖν πάνσοφος Μενία ἡ Μακεδόνισσα ἐνέγκασα τῶν μάντεων ἕνα αὐτῆς φησίν, 'ὦ μάντι μου, πῶς τὰ μεταλλικὰ εἴδη εὕροιμεν;' ὁ δὲ ἀπελθὼν εὗρεν πάντα, ἃ καὶ αὐτῇ μόνῃ ὑπέδειξεν. ἐπικαλεσαμένη δὲ τὸν τῆς ἄνω προνοίας θεόν, ἐποίησεν χρυσίου καθαροῦ πλῆθος πολὺ καὶ ἀργύριον εἰς πλησμονήν, καὶ χαλκὸν καὶ σίδηρον καὶ μόλιβδον, καὶ κασσίτερον μόνον οὐχ εὗρεν ποιῆσαι. οὕτως λοιπὸν πάνυ πεπλούτηκεν ἅπαντας, ὥστε καὶ τὴν ἀφορμὴν τῆς χυμεύσεως ὑποδεῖξαι πᾶσιν. ἡνίκα δὲ ἅπαντα τὰ κατὰ τὴν πόλιν πεπλήρωντο χρείας, ἤκουσεν Ἀκυλῖνος ὅτι ὁ Ταῦρος πεπέρακε ποιήσας πόλιν ἰσχυράν, καὶ τὰ ἐγχρῄζοντα ἅπαντα, καὶ ἄνδρας πολεμιστὰς ἐκτήσατο βοηθεῖν αὐτῷ, καὶ πλοῦτος πολὺς ἐν τῇ πόλει εὑρέθη· τὸ γὰρ χυμευτικὸν γῄδιον τοῦ μεταλλικοῦ εὑρέθη ἐν τῷ τόπῳ αὐτοῦ, καὶ ἐκ τούτου πεποίηκε πλοῦτον πολύν.

XSCYVO

1 *Κογχύλου* XSY : *Κοκχύλου* C *ὀρίων* V 1 *καὶ* (1) om. S 1 *τέρμονος* CY : *τέρμωνος* XS *Τερεντοῦ* V, fort. recte 1 *ὀρέων* XSCY : *ὁρίων* V 1 *Τυροπόλεως* SYV : *Τύρου πόλεως* X *Ταυροπόλεως* C 3 post *λαοῦ* verbum *αὐτοῦ* hab. V 4 *πάνσοφος* XSCY : *πάνυ σοφὴ* V 4 *τὸ μάντεων ἕνα* XSYV : *τῷ μαντεώνῃ* C 5 *μάντι* nos : *μάντεων* XSCYV 5 *πῶς* XSCY : *ποῦ* V 5 *μεταλλικὰ* XYV : *μελλικὰ* S *μελικὰ* C 6 *ἃ* XSCY : *ἅτινα* V 7 *ἀργύριον* XSY : *ἄργυρον* CV 8 *καὶ* (1) om. XSYV 8 post *μόλιβδον* verbum *τε* hab. XSYV 10 *ὑποδεῖξαι* : *ὑπέδειξε* C 10 *πᾶσιν* XSCY : *ἅπασιν* V 11 post *ἤκουσεν* verbum *δὲ* hab. C 11 ante *Ἀκυλῖνος* verbum *ὁ* hab. SY 12 *πεπέρακε* : *πεπάρακε* S 12 *ἐγχρῄζοντα* : *ἐγχρήζοντα*, corr. *ἐγχρείζοντα* X *ἐχρήζοντα* S *ἐγχειρίζοντα* CYV 13 *ἐκτήσατο* XSV : *ἐκτίσατο* CY 14 *γῄδιον* nos : *γηΐδιον* XSCYV 15 *πολύν* SCYV : *πολύ* X

ἔσπευσεν δὲ Ἀκυλῖνος ποιῆσαι πόλεμον καὶ προκαταλαβέσθαι τὴν πόλιν τοῦ ἀποκτεῖναι Ταῦρον καὶ τοὺς περὶ αὐτὸν μαχητάς, ὡς τρωθεὶς δι' ὃ ἤκουσε μεταλλικὰ εἶναι ἐν τῷ τόπῳ αὐτοῦ, καὶ τοῦ συλλαβέσθαι καὶ τὴν σοφὴν Μενίαν. καθοπλικῶς οὖν τὸ ἄθροισμα τοῦ πολέμου διεπέρασεν νυκτί, καὶ κατῆξεν εἰς τὸ πεδίον καὶ ἐκάλυψεν ἅπασαν τὴν γῆν Ταύρου καὶ ἠλάλαξε φωνῇ ἰσχυρᾷ. ὡς δὲ ἤκουσαν τὴν βοὴν τῆς ἀλαλάξεως, οἱ περὶ Ταῦρον παρελύθησαν καὶ ἔλεγον, 'τίς ἡ βοὴ αὕτη;' γνοὺς δὲ ὁ Ταῦρος ὅτι Ἀκυλῖνος διεπέρασεν, προσκαλεσάμενος τοὺς περὶ αὐτὸν ἄνδρας, λέγει, 'ἀνδρίζεσθε ὑμεῖς· Ἀκυλίνου γὰρ ἡ φωνὴ καὶ τῶν ἀνδρῶν αὐτοῦ.' ἀκούσαντες δὲ πλέον ἐφοβήθησαν. ὁ οὖν Ταῦρος πρὸς αὐτούς, 'κἀγὼ μονώτατος ἀλαλάξω ἐφ' ὑψηλοῦ· οἶδεν γὰρ ἡ ἄνω πρόνοια ὅτι οὐ μὴ ἡττηθῶμεν παρ' αὐτῶν.' καὶ ἀνελθὼν ὁ Ταῦρος ἐφ' ὑψηλοῦ, ἔκραξε φωνὴν ὡσεὶ ἀνδρῶν πολλῶν μονώτατος. 'ὧδε εἰμὶ ἐγὼ Ταῦρος. ὧδε εἰμὶ καὶ ἀπὸ προσώπου Ἀκυλίνου οὐ φύγομαι.' τῇ οὖν ἔωθεν ἦλθεν ὁ καιρὸς τῆς παρατάξεως τοῦ πολέμου. οἱ οὖν ἄνδρες

XSCYVO

1 ἔσπευσεν : ἔπεσεν S 1 δὲ om. SC 1 ante Ἀκυλῖνος verbum ὁ hab. S 1 προκαταλαβέσθαι : καταλαβέσθαι Y 2 αὐτὸν SYV : αὐτῶν, corr. αὐτὸν X αὐτοῦ C 2 μαχητάς : μαχιστάς C 3 δι' ὃ nos : διὰ XSCY δι' οὗ V 3 τοῦ SCV : τῷ X τὸ Y 4 ἄθροισμα S : ἄθρυσμα XC εὔθροισμα Y ἄθυρμα V 5 ante νυκτί verbum ἐν hab. V 5 ἅπασαν τὴν V : τὴν πᾶσαν XSY τὴν C 6 ἠλάλαξεν SC : ἠλάλαξαν XYV 6 φωνῇ ἰσχυρᾷ XCYV : φωνὴν ἰσχυράν S 7 βοὴ : ἀκοὴ S 9 αὐτὸν SYV : αὐτῶν X αὐτοῦ C 9 ἀνδρίζεσθε CV : -εσθαι XSY 9 γὰρ om. XSCY 11 οἶδεν : ἦδεν S 13 post ὑψηλοῦ verbum τόπου hab. V 13 φωνὴν : φωνὴ S 14 φύγομαι XSCY : φοβηθήσομαι V 14 οὖν om. XY 15 ὁ καιρὸς om. V

Ταύρου πρὸς αὐτόν, 'οὐ μὴ ἀντιπαραταξώμεθα, ὦ Ταῦρε, ἡμεῖς πρὸς Ἀκυλῖνον, ἐπειδὴ πλῆθος πολλοστὸν ἔστιν.' ἐβουλεύσαντο δὲ ἀποκτεῖναι Ταῦρον καὶ προνομὴν ἐν φυλακῇ ποιῆσαι καὶ πρὸς Ἀκυλῖνον ῥυῆναι καὶ προδοῦναι τὴν σοφὴν Μενίαν καὶ πάντα τὸν πλοῦτον αὐτῆς, ἵνα γένηται ἓν βασίλειον Καλαβρία καὶ Σικελία. γνοὺς οὖν ὁ Ταῦρος τὴν βουλὴν τῶν ἀνδρῶν καὶ σοβαρῷ τῷ ὄμματι ἐμβλέψας αὐτοῖς εἶπεν, 'ὦ ἄνδρες, τί τὸ βούλευμα ὑμῶν; πῶς ποιήσωμεν τὸν πόλεμον ἡμῶν πρὸς Ἀκυλῖνον;' ταῦτα λαλήσας, μετεποίησεν τὴν βουλὴν τῶν ἀνδρῶν αὐτοῦ. οἱ δὲ πρὸς αὐτόν, 'ὡς ἡ βουλή σου ἔχει;' τότε λέγει πρὸς αὐτούς, 'ἀναζευξάτω ἕκαστος ὑμῶν τὰ ἅρματα αὐτοῦ τὰ πολεμικὰ καὶ κατέλθωμεν εἰς τὸ πεδίον, καὶ εἰ οὐκ ἀνδραγαθήσω εἰς τύχην πολέμου, τότε τὸ βουλευόμενον παρ' ὑμῶν πληρωθήσεται.' ἤρεσεν οὖν ὁ λόγος Ταύρου τοῖς ἀνδράσι καὶ κατῆλθον εἰς τὸ πεδίον, καὶ σταθέντες ἀμφότεροι ἄντικρυς ἀλλήλων, διεπέμψατο ὁ Ταῦρος Ἀκυλίνῳ, 'σὺ εἶ ὁ Ἀκυλῖνος ὁ πολὺς ἐν ἀνδρείᾳ, κἀγὼ Ταῦρος ὁ μικρὸς

XS (6 σοβαρῷ - ~~ἅ~~ ε εἶπρν mutil.) CYVO

1 ἀντιπαραταξώμεθα XCY : ἀντιπαραταξόμεθα S παραταξώμεθα Y 1 - 2 πρὸς Ἀκυλῖνον V : Ἀκυλίνου XSCY 3 ποιῆσαι : ποιήσασθαι S 4 post προδοῦναι verba τὴν πόλιν τοῖς ἐν αὐτοῖς καὶ hab. S 5 Καλαβρία XSYV : Καλαβρίας C 5 Σικελία XSYV : Σικελίας C 6 τῷ om. V 7 ποιήσωμεν XSYV : -σομεν C 9 ἔχει : ἔχη Y 10 ἀναζευξάτω : -άτο Y 11 κατέλθωμεν SYV : -ομεν XC 12 τότε om. V 12 βουλευόμενον XCY : βουλευμένον S βεβουλευμένον Y 12 παρ' om. V 14 ὁ om. XY 15 ante Ἀκυλίνῳ verbum τῷ hab. V 15 ὁ (1) om. XY 15 post ἐν verbum πᾶσι hab. C

καὶ ἀδοκίμαστος ἐν πείρᾳ πολεμικῇ, ὁ δὴ καὶ παιδάριον λογίζομαι. τί ὅτι ἦλθες ἀποκτεῖναι ἀνθρώπους πρόθεσιν ἔχοντας δουλεῦσαί σοι ἵνα πάντα τὰ ἐμά, σά, καὶ ποίησον εἰρήνην καὶ μὴ ἐκπορθήσῃς πόλιν μου καὶ λαόν μου ἀποκτείνῃς ἐν ῥομφαίᾳ σου. θέλησον δὲ ἐν ἐμοὶ τῷ μικρῷ Ταύρῳ, σὺ ὁ παμμεγέθης Ἀκυλῖνος, τὴν ἀνδρείαν σου ἐνδείξασθαι, καὶ ἐξέλθωμεν εἰς τὸ πεδίον, ἐγώ τε καὶ σὺ μονώτατοι, καὶ ἀπόκτεινόν με, καὶ οὕτως, ὦ Ἀκυλῖνε, λαμβάνεις πάντα τὰ τῆς Μενίας εὐφυῶς τὰ κατά σε εὑρηκώς.' ὁ δὲ Ἀκυλῖνος, ἀκούσας ταῦτα, ἀντεδήλωσεν Ταύρῳ, 'ἄκουσον, Ταῦρε παιδάριον Ῥεμάλδου, οὗτινος τοὺς φόρους ἀπῄτησα ὡς δυνατός, ἡ πρόνοια τῶν μεγίστων θεῶν ἡ πολλὰς ἡμῖν νίκας παρασχοῦσα, ὄμνυμί σοι τὴν ἄνω πρόνοιαν, ὡσεὶ ἐπαοιδᾷ καὶ ῥυπαρᾷ Μενίᾳ, ὅτι ἐὰν ἐξέλθωμεν εἰς τὸ πεδίον μονώτατοι, καὶ κατισχύσῃς με, Ταῦρε, κάτεσχε καὶ τὴν βασιλείαν μου καὶ πάντα τὰ κατ' ἐμέ.' ἤρεσέν οὖν καὶ ὁ λόγος Ταύρου πρὸς Ἀκυλῖνον καὶ ὁ λόγος Ἀκυλίνου πρὸς Ταῦρον καὶ ἐξῆλθον εἰς ἀπάντησιν πολεμικήν. ὁ οὖν

XSCYVO

1 πολεμικῇ (-εῖ, corr. ῆ C) XSCY : πολέμου V 1 ὁ : ὃς S 3 ἐκπορθήσῃς CV : -θήσις XSY 3 μου om. C 4 ἀποκτείνῃς XSCY : ἀποκτενεῖς V 4 σου om. V 4 δὲ XCYV : οὖν S 4 τῷ μικρῷ Ταύρῳ S : τοῦ μικροῦ Ταύρου XCYV 5 σου om. S 5 ἐνδείξασθαι XCYV : δείξασθαι S 6 ἐξέλθωμεν XSY : -ομεν CV 7 ὦ om. S 7 λαμβάνεις SCV : λαμβάννης X λαμβάνης Y 7 τὰ (1) om. V 7 εὐφυῶς XSCY : εὐθείως V 9 Ταύρῳ CYV : Ταύρου XS 9 οὗτινος CYV : τίνος X ὅτινος S 10 post δυνατός verbum Ἀκυλῖνος οἶδεν hab. V 11 ante ὄμνυμί verbum οὐκ hab. XSCYV 11–12 ἐπαοιδᾷ nos : ἐπαοιδάς XCV ἐπαοιδὸς S ἐπαοιδῶς Y 11–12 καὶ ῥυπαρᾷ Μενίᾳ XSCY : Μενία ἡ ῥυπαρᾷ V 12 ἐξέλθωμεν SYV : -ομεν XC 13 κατισχύσῃς SYV : κατισχύης, corr. -ις X κατισχύσεις C 12 καὶ om. V 13 κάτεσχε XSV : κατάσχε C κάτεχε Y 14 οὖν XSCY : τε V 14 Ταύρου : Ἀκυλίνου S 14 Ἀκυλῖνον : Ταῦρον S 14 ὁ λόγος om. C 15 Ἀκυλίνου : Ταύρου S 15 Ταῦρον : Ἀκυλῖνον S

γενναῖος Ταῦρος ἀποθέμενος ἅπαντα φόρτον ἄρματος καὶ βαλὼν ἐν τῇ λιθοβολίδι αὐτοῦ λίθον ὡσεὶ λιτρῶν εἴκοσι τεσσάρων, καὶ σφενδονήσας εὐστόχως, δέδωκεν Ἀκυλίνῳ ἐπὶ τὸ στῆθος καὶ συνέτριψεν αὐτὸν ὅλον. ἰδόντες δὲ οἱ περὶ Ἀκυλῖνον ὅτι πέπτωκεν, παρελύθησαν καὶ ἦσαν τρέμοντες ἀπὸ προσώπου Ταύρου. ἀνακράξας οὖν ὁ Ταῦρος τοῖς ἑαυτοῦ ἀνδράσι φωνῇ ἰσχυρᾷ, 'σφάξατε φονεῖς ἄνδρας Ἀκυλίνου· σήμερον γὰρ μεγάλης προνοίας τύχην εὑρήκαμεν, ὡς πάντας ἐχθροὺς ἡμῶν ἡ ἄνω πρόνοια εἰς χείρας ἡμῶν συνέκλεισεν, καὶ ἐξελθοῦσαι αἱ ἑβδομήκοντα χιλιάδες Ταύρου, ἀπεκτάγκασιν χιλιάδας πεντακοσίας πεντήκοντα· ἐν τῇ θαλάσσῃ γὰρ πίπτοντες ἐπληροῦντο, Αἰτνικοῖς τε ὄρεσιν ἀπίησαν, καὶ ὑπὸ ἑτέρων ἐπαρχιῶν μὴ γνωριζόμενοι, ἀπώλοντο ὡς ἄνδρες Ἀκυλίνου φονεῖς καὶ αἱμοχύται. τότε Ταῦρος περικρατὴς ἐγένετο ἐν πᾶσιν, καὶ περιέθηκαν αὐτῷ χλαμύδα ἡγεμονίας καὶ ἱμάτιον ὑπατικόν, καὶ εἶπον αὐτῷ ἅπαντες φωνῇ ἰσχυρᾷ, 'ζῆθι, Ταῦρε τοποκτίστα, ζῆθι ἡγεμὼν καὶ ἀνδρεῖε ὕπατε,' καὶ ἑτέρους ἐπαίνους

XSCYVO

1 βαλὼν XYV : λαβὼν SC 2 ὡσεὶ : ὡς V 2 λιτρῶν post τεσσάρων tr. V 2 σφενδονήσας : -ίσας S 3 Ἀκυλίνῳ SCY : Ἀκυλίνου XV 3 ὅλον SCY : ὅλων, corr. ὅλον X ἅπαν V 4 ἰδόντες : ἰδότες C 4 Ἀκυλῖνον SCY : Ἀκυλίνου XV 4 παρελύθησαν : παρεληλύθησαν S 6 ἑαυτοῦ : αὐτοῦ V 7 πάντας SCV : ἅπαντας XY 8 συνέκλεισεν XYV : συνέκλησεν, corr. -κλεισεν C ἔκλεισεν S 9 ἀπεκτάγκασιν XS : ἀπεκτάνκασιν CYV 10 Αἰτνικοῖς SC : Αἰτνηκοῖς XY Ἐτνηκοῖς V 10 Αἰτνικοῖς] *етимичьскые* Usp 11 ἀπίησαν SV : ἐποίησαν X ἀπείησαν CY 11 ὑπὸ XSCY : ἀπὸ V 11 μὴ om. V 12 καὶ om. C 12 ante Ταῦρος verbum ὁ hab. CV 13 ἐν om. Y 13 πᾶσιν XSCY : ἅπασαν V 14 χλαμύδα XCY : χλαμμίδα S χλανίδα V 14 - 15 χλαμύδα ἡγεμονίας καὶ ἱμάτιον ὑπατικὸν] *въ wкронницю игоуменьскую и въ комыгоу Упатьскую* Usp 14 ἅπαντες post ἰσχυρᾷ tr. XSCY

πλείονας τούτων ἔλεγον αὐτῷ. τότε διεπέρασεν ὁ Ταῦρος καὶ ἐπόρθησαν οἱ ἄνδρες αὐτοῦ πάντα τὸν οἶκον Ἀκυλίνου, καὶ τὰς πόλεις ἠρήμωσαν, ἃς διακατεῖχεν. ἐγένετο δὲ μονοκράτωρ καὶ πολὺς ὁ Ταῦρος ὡς κατὰ τὴν ὁμοιότητα Νεβρὼδ καὶ τῷ ἤθει καὶ τῷ εἴδει φοβερώτατος, εὐμήκες τὸ ἀνάστημα, στέλεχός τε πολὺ †ἀνδρομέρει, βραχίονι ἴσχυεν ὡσεὶ λέων, κοῦφός τε τοῖς ποσὶν ὡσεὶ δορκὰς δρομική. τότε συλλαβόμενος, κτίζει ἐν Καλαβρίᾳ Ταυριάνας τὰς μικράς, καὶ †λιθοπλοΐσας τὰς σκαφεῖς Ἀκυλίνου, ἐκόμισεν ἐκεῖ. ὡς δὲ προεῖπον, καθὼς ἐμφέρεται ἐν τοῖς ἱστορικοῖς βιβλίοις τῶν σοφῶν, δεκάτῃ γενεᾷ φθάζει Ταῦρος τὸν Νεβρώδ. τὸ τόξον δὲ αὐτοῦ διακατέχεται ἐν τῷ πραιτωρίῳ, ὅπερ τινες ποτὲ οὐκ ἠδυνήθησαν τεῖναι, καὶ τὸ ξύλον τοῦ δόρατος αὐτοῦ ὡσεὶ οἴκου δοκὸς ἢ ἀντίον ὑφαίνοντος μεσοδόμου. ἦν δὲ καὶ ἡ ἀσπὶς αὐτοῦ ὡσεὶ κύκλος ὀργυίων τεσσάρων. τὴν δὲ ζώνην αὐτοῦ τις ἠδυνήθη ἐπ᾽ ὤμων ἆραι ποτέ. οὗτος οὖν ὁ πολὺς Ταῦρος ἐγένετο πολεμιστής, ὡς οὐκ ἀντέστη αὐτῷ ἔθνος ἢ βασιλεία ἐθνῶν ποτέ. πολὺς

XSCYVO

1 πλείονας V : πλείωνας C πλείους XY πλείον S 2 post ἐπόρθησαν verba αὐτὸς καὶ hab. V 3 ἠρήμωσαν SV : ἐρήμωσαν XCY 3 ἠρήμωσαν] *исказиль* Usp 4 Νεβρὼδ nos : Νεβρὼθ XSCYV 4 καὶ τῷ ἤθει om. S 4 ἤθει et εἴδει tr. V 5 εὐμήκες nos : εὐμηκὴς S ἀμηκὴς XCYV 5 ἀνάστημα nos : ἀνάνευμα XSCYV 5 τε V : δὲ XSCY 5 πολὺ : πολὺν V 6 βραχίονι V : βραχίονα (-ωνα C) XSCY 6 ὡσεὶ SV : ὡς XCY 7 post Καλαβρίᾳ verbum πόλιν hab. V 8 λιθοπλοΐσας CV : -ήσας XSY 8 δὲ om. V 9 βιβλίοις : βίβλοις V 10 Ταῦρος : Ταύρου Y 10 Ταῦρος post γενεᾷ tr. V 10 τὸν S : τοῦ XCYV 10 Νεβρώδ nos : Νεβρώθ XSCYV 11 τινες ποτὲ οὐκ ἠδυνήθησαν τεῖναι XSCY : τεῖναι οὐκ ἠδυνήθη τις ποτέ ἦν δὲ V 11 post τεῖναι verbum αὐτῷ hab. XSC 12 ὡσεὶ XSY : ὡς CV 12 δοκὸς XSC : δοκοῦ Y, om. V 12 post ἢ verbum ὡς hab. V 12 ἀντίον XSCY : ἀντίου V 12 ὑφαίνοντος om. Y 13 αὐτοῦ om. V 14 ἐπ᾽ : ἐπὶ C 14 οὗτος : οὕτως S 14 οὖν : ἦν Y 15 ὡς XSY : ὃς CV 15 ἀντέστη : ἀντέστι S 15 αὐτῷ om. Y, post ἔθνος tr. V

δὲ πλοῦτος παρηκολούθησε τῇ πόλει. οἱ οὖν σοφοὶ συμμίξαντες τὰς δύο ὀνομασίας ἐπέθηκαν τὴν πόλιν 'Ταυρομενίαν', καὶ ἥνπερ ἐν Σαλίναις ᾠκοδόμησεν Ταῦρος μετὰ τὴν ἀναίρεσιν 'Ακυλίνου, ἐκάλεσεν 'Ταυριάνας'. ἐποίησεν δὲ Ταῦρος τοῖς μεγιστᾶσιν αὐτοῦ οἴκους τερπνοὺς καὶ λουτρὰ καὶ ὕδατα ἀγωγημαία, καὶ ἐποιήσε θρόνον ἐκ χρυσίου καθαροῦ διάλιθον. πᾶσαι δὲ αἱ ἐπαρχίαι ἦλθον καὶ ἐπεδίδουν ἑαυτοὺς Ταύρῳ, καὶ ὑπετάσσοντο αὐτῷ ἅπαντες." οὕτως οὖν πεπλήρωται ὁ περὶ Ταύρου λόγος μέχρι τούτου ἐσχηκώς ὅρον. λέγει οὖν ὁ μακάριος Παγκράτιον πρὸς Βονιφάτιον ὅτιπερ, "τέκνα, τοῦτον τὸν πόλεμον θέλων ἐκδικῆσαι οὕτως εὐτρεπίσθη καὶ τοῦτο τοῦ διαβόλου μηχάνημα· ἀλλὰ μὴ ταραχθήτω ἡ καρδία σου. μηδὲ δειλιάτω. εἰ Ταῦρος τοῦτον ἐτροπώσατο, πολλῷ μᾶλλον ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὁ ἀληθινὸς θεὸς καὶ τοῦτον διασκεδάσει." ὡς δὲ ἐποιήσαμεν τὴν κλάσιν τοῦ ἄρτου, λέγει ὁ μακάριος Βονιφατίῳ, "ἄνελθε εἰς τὸ πραιτώριόν σου, τέκνον, καὶ μὴ εἴπῃς τῷ λαῷ τί·

XSCYVO

2 *Ταυρομενίαν* SV : *Ταυρομενείας*, corr. *-είαν* C *Ταυρομενία* XY 2 *καὶ ἥνπερ* V : *καίπερ* XSCY 2 post *Σαλίναις* verbum *ἦν* hab. S 3 ante *Ταῦρος* verbum *ὁ* hab. C 3 post *'Ακυλίνου* verba *ἐκ τῶν λίθων ὧν διεπέρασεν εἰς τὰς σκάφεις 'Ακυλίνου* hab. C 4 *Ταυριάνας* XSCY : *Ταυριάνης* V

6 *ἦλθον* : *-αν* V 6 *ἐπεδίδουν* XSCY : *ἐπέδωκεν* V 7 *Ταύρῳ* : *Ταύρου* V 7 *οὖν* om. XCV 8 *Ταύρου* SCV : *Ταῦρον* XY 8 *τούτου* SC : *τούτων* XYV 10 *θέλων* XCV : *θέλον*, corr. *-ων* Y *θέλον* S 10 *οὕτως* CV : *οὕτως*, corr. *-ος* X *οὕτος* SY 10 *εὐτρεπίσθη* XSCY : *ηὐτρέπισται* V 11 *ταραχθήτω* XYV : *ταραχθήτο* C *ταραχθὴ* S 12 *τοῦτον* nos : *τοῦτο* V *τούτοις* X *τούτους* SCY 13 *καὶ τοῦτον διασκεδάσει* om. XSCY 14 *ἐποιήσαμεν* : *ἐποίησεν* Y 14 post *μακάριος* verbum *Παγκράτιος* hab. CV 14 ante *Βονιφατίῳ* verbum *τῷ* hab. C 15 *ἄνελθε* V : *ἄπελθε* XSCY, fort. recte

καταργῆσαι γὰρ ἔχει τοῦτον, ὡς προεῖπον, ἡ δύναμις Ἰησοῦ Χριστοῦ." ὁ οὖν Βονιφάτιος ἀνῆλθεν εἰς τὸ πραιτώριον, μὴ εἰρηκώς τινι τὴν τοῦ πράγματος φράσιν. ὁ οὖν Ἀκυλῖνος συναθροίσας τὸν ἑαυτοῦ λαὸν λέγει, "ἀπέλθωμεν, πολεμήσωμεν. ζητήσωμεν τὰ ἐκχυθέντα αἵματα τῶν ἀδελφῶν ἡμῶν, ἃ ἐξέχεε Ταῦρος, μὴ καὶ ἄρτι Ταῦρος ἀπαντήσῃ ἡμῖν ὁ πολύς· Βονιφάτιος γὰρ ἄρχει, οὐδεὶς ὢν ἐν πολέμοις," καὶ συναθροισθέντες ὡσεὶ ἑξακόσιαι χιλίαδες, διεπέρασαν καὶ ἦλθον νυκτὶ καὶ ἔστησαν ἐν τῷ Φιλικῷ Τοπίσκῳ, καὶ ἀνῆλθον καὶ κατεκράτησαν τὰς ἀρχὰς τῶν ὑδάτων καὶ διῆλθον καὶ περιεκύκλωσαν τὴν πόλιν. ἦν δὲ καὶ ὁ ἀριθμὸς τῶν ἀνδρῶν τῶν σπομένων ῥομφαίαν ἐν τῇ πόλει χιλιάδες τεσσαράκοντα. ὡς δὲ ἐσάλπισαν ἄφνω πέριξ τῆς πόλεως οἱ περὶ Ἀκυλῖνον, φόβος ἐπέπεσεν ἐπὶ τὴν πόλιν. σαλπίσας οὖν καὶ Βονιφάτιος, διανέστησαν καὶ περιεκράτησαν τὰ τείχη. ἀκούσας οὖν ὁ μακάριος ὅτι οἱ ὑπεναντίοι τὴν πόλιν περιεκράτησαν, ἐδέετο τοῦ θεοῦ. ἐξελθὼν δὲ καὶ ἑωρακὼς τὰ πλήθη μετὰ δακρύων ἔλεγεν, "κύριε Ἰησοῦ

XSCYVO

1 καταργῆσαι : κατηργῆσαι X 1 τοῦτον nos : τοῦτο XSCY τούτω V 1 Ἰησοῦ XSCY : τοῦ V 2 ἀνῆλθεν V : ἀπῆλθεν XSCY, fort. recte 2 εἰς τὸ πραιτώριον om. XSCY 2 post τινι verbum αὐτῶν hab. XSCY 2 τὴν om. V 3 φράσιν XSCY : ἔκφρασιν V, fort. recte 3 ἑαυτοῦ SCV : αὐτοῦ XY 4 ἀπέλθωμεν SYV : -ομεν XC 4 πολεμήσωμεν om. V 4 ζητήσωμεν SYV : -σομεν XC 5 ἃ : ὧν V 5 ἀπαντήσῃ XV : ἀπαντίσει S ἀπαντήσει CY 6 ἡμῖν post Ταῦρος (2) tr. S 6 γὰρ om. V 6 ὢν : οὖν S 6 ἐν om. Y 8 Φιλικῷ Τοπίσκῳ] Филичьсцѣмъ мѣстѣ Usp 8 ἀνῆλθον V : ἀπῆλθον XSCY, fort. recte 9 διῆλθον XCYV : ἦλθον S 10 τῶν ἀνδρῶν om. XY 11 χιλάδες τεσσαράκοντα (μ' C) XCY : τεσσαράκοντα χιλάδες V χιλιάδες τρεῖς S 12 ἐπέπεσεν XCYV : ἔπεσεν S 12 ἐπὶ om. V 13 ante Βονιφάτιος verbum ὁ hab. Y 13 περιεκράτησαν XYV : περιεκράτισαν S διεκράτησαν C 13 περιεκράτησαν : κράτησαν (post ὑπεναντίοι tr.) C

Χριστὲ ὁ ἀληθινὸς θεός, ῥύσαι τὸν λαόν σου ἐκ χειρὸς τῶν περὶ Ἀκυλῖνον. ὡς ἐρρύσω ἐκ χειρὸς τῶν Ἀσσυρίων τοὺς υἱοὺς Ἰσραήλ, ῥύσαι τὸν λαόν σου, δέσποτα, ὃν περιεποιήσω τῷ τιμίῳ σου αἵματι." τῇ οὖν ἔωθεν θέλων ὁ ἀγαθὸς θεὸς δεῖξαι αὐτοῖς ἵνα μὴ εἴπωσιν, 'ἐν τῷ βραχίονι ἡμῶν ἐλυτρωσάμεθα τὴν πόλιν ἡμῶν,' ἀλλ' ἵνα μάθωσιν ὅτι ὁ βραχίων καὶ ἡ δεξιὰ τοῦ θεοῦ λυτροῦται αὐτοὺς καὶ ὁ φωτισμὸς τοῦ προσώπου κυρίου Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἐσημειώθη ἐπ' αὐτούς, κατίσχυον οἱ ὑπεναντίοι τοὺς τῆς πόλεως. τότε ἤρξαντο κράζειν σκληρὰ πρὸς Βονιφάτιον, "κακῇ ὥρᾳ ἦλθεν ὧδε ὁ μάγος οὗτος· καὶ γὰρ τοὺς μεγίστους θεοὺς ὤλεσεν καὶ ἡμεῖς ἀπολλύμεθα καὶ εἰς προνομὴν ἀπερχόμεθα αἰχμάλωτοι," καὶ ἠβουλήθησαν ἀποκτεῖναι Βονιφάτιον καὶ τὸν μακάριον Παγκράτιον καὶ προδοῦναι τὴν πόλιν τοῖς ἐναντίοις. λέγει οὖν ὁ Βονιφάτιος τοῖς ἀνδράσιν, "μὴ οὕτως, ἀδελφοί, ἀπογινώσκοντες τὴν χάριν τὴν δοθεῖσαν ὑμῖν, ἀθετεῖτε, μὴ πάλιν τοὺς ματαίους καὶ ἀνισχύρους θεοὺς εἰς βοήθειαν ὑμῶν αἰτεῖσθε.

XSCYVO

1 *περὶ* : *μετὰ* S 2 *Ἀκυλῖνον* V : *Ἀκυλίνου* XSCY 3 *περιεποιήσω* : *ἐποιήσω* C 4 *θεὸς* om. C 4 *δείξαι αὐτοῖς* XSCY : *τούτοις δείξαι* V 5 *ἐλυτρωσάμεθα* post *ἡμῶν* tr. V 8 *κατίσχυον* XCYV : *κατίσχυσαν* S 8 *ὑπεναντίοι* XSCY : *ἐναντίοι* V 8 ante *τοὺς* verbum *ὑπὲρ* hab. V 10 *οὗτος* : *οὕτως* X 10 *ὤλεσεν* : *ὤλεσαι* S 10 *καὶ* (3) om. XY 11 *ἀπερχόμεθα* : *ἐρχόμεθα* V 12 *Παγκράτιον* om. C 13 *ἐναντίοις* : *ὑπεναντίοις* Y 13 *ὁ* om. XC 14 *ὑμῖν* : *ἡμῖν* Y 14 *ἀθετεῖτε* CV : *ἀθετήτε* XSY 15 *ματαίους καὶ* om. XY 15 *ὑμῶν* : *ἡμῶν* S 15 *αἰτεῖσθε* XSV : *αἰτεῖσθαι*, corr. *-εῖσθε* C *αἰτεῖσθαι* Y

αἰτησώμεθα τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, κἀκεῖνος λυτρώσεται ἡμᾶς ἐκ τῶν περιεστότων ἐχθρῶν. ἔτι οὖν ὀλίγον, τεκνία καὶ ἀδελφοί μου, καὶ συνέρχονται οἱ τῶν ἐπαρχιῶν ἡμῶν, καὶ τροπούμεθα αὐτούς." ταῦτα ἀκούσαντες οἱ ἄνδρες, ἔασαν Βονιφάτιον, ἐπεὶ συλλαβόμενοι αὐτὸν ἦσαν, ἵνα ἀποκεφαλίσωσιν αὐτὸν καὶ τὸν μακάριον Παγκράτιον. ἦλθεν οὖν ὁ Βονιφάτιος δρομαίως καὶ μετὰ δακρύων ἔλεγεν τῷ μακαρίῳ, "ἅγιε Παγκράτιε, τῇ σῇ πρεσβείᾳ ῥύσαι τὴν πόλιν σου ἐκ τῶν ἐπανισταμένων ἐχθρῶν· ὁ λαὸς γὰρ σφόδρα κάμνει καὶ ἀγωνιᾷ. λοιπὸν καὶ τοὺς ἀκαθάρτους θεοὺς αἰτοῦνται, κἀμὲ καί σε ἀποκτεῖναι θέλουσι, καὶ τὴν πόλιν τοῖς ἐναντίοις προδοῦναι." ἀκούσας ταῦτα ὁ μακάριος, λέγει Βονιφατίῳ, "ὕπαγε, τέκνον, καὶ εἰπὲ εἰς τὰ ὦτα τοῦ λαοῦ, 'τέκνα καὶ κληρονόμοι Χριστοῦ, μὴ φοβηθῆτε τοὺς ἐναντίους· μεγάλου γὰρ βασιλέως στρατιῶται ὑπάρχετε, καὶ εἰ ἐκ τοῦ κόπου συνέχεσθε ἐν ὀλιγωρίᾳ ἐκλελυμένοι, ἀπελθέτω ἕκαστος εἰς τὸ σκήνωμα αὐτοῦ καὶ ἀναπεσάτω καὶ εὐφρανθήτω, καὶ πολεμησάτω ὁ

XSCYVO

1 αἰτησώμεθα SCV : -σόμεθα XY 1 λυτρώσεται XSY : λυτρώσειται C λυτρώσηται V 2 ἐκ om. V 2 τεκνία XSCY : τέκνα V 2 post τεκνία verbum μου hab. S 5 ἦσαν : εἶσαν Y 5 ἀποκεφαλίσωσιν SV : -ήσωσιν XC -ήσουσιν Y 5 Παγκράτιον om. C 5 post Παγκράτιον verbum ἀποκτείνωσιν hab. CV, fort. recte 6 δρομαίως XS : δρομαίος, corr. -ως Y πρός με, corr. ἡμᾶς in marg. C, om. V 7 πρεσβείᾳ : εὐχῇ C 8 σφόδρα post κάμνει tr. S 10 θέλουσι : -ωσι V 11 post μακάριος verbum καὶ hab. Y 12 φοβηθῆτε XCYV : φοβεῖσθαι S 13 γὰρ om. CY 13 κόπου XSCY : τόπου V 14 συνέχεσθε V : -εσθαι XSCY 14 ἀπελθέτω XSC : -έτο Y -άτω V 15 πολεμησάτω S : -ισάτω XV -ησάτο CY

βασιλεὺς ὁ μέγας Ἰησοῦς Χριστὸς ὁ κύριος ἡμῶν, καὶ μήτις ἐξ ὑμῶν ἐν λιθοβολίδι σφενδονησάτω, μήτις δόρυ ἐν τῇ χειρὶ ἀράτω, μήτις τόξον τεινάτω, μήτις μάχαιραν γυμνωσάτω, ἀλλ' ὡς προεῖπον, ἀπέλθῃ ἕκαστος ἐν τῷ ἰδίῳ οἴκῳ καὶ ἐπαναπαυέσθω.''' ἀπελθὼν οὖν ὁ Βονιφάτιος καὶ εἰπὼν εἰς τὸν λαὸν ταῦτα πάντα, ἡσύχασαν ὀλίγον, καὶ ἔτι προσεγγισάντων τῶν ἐναντίων τοῦ τείχους, ἀνέστησαν οἱ ἄνδρες ἐν θυμῷ πρὸς Βονιφάτιον καὶ ἔλεγον αὐτῷ, "σὺ κακοδιδάσκαλε καὶ μὴ ἔχων τύχην, σήμερον ἐν πολέμῳ ἡμεῖς παριστάμεθα ἐν λιθοβολίδι καὶ δόρασι καὶ ἀσπίσι καὶ μαχαίραις ἁπλαῖς καὶ διστόμοις καὶ ἐν δυστήνοις τοξεύμασι, καὶ μόλις ἐκδιώκονται, καὶ σὺ λαλεῖς, 'ἀπέλθωμεν ἐν τοῖς οἴκοις ἡμῶν εὐφρανθῆναι.' τίς ἀκούσας μὴ εἴπῃ ὅτι ὁ Βονιφάτιος, ὃν εἴχομεν σοφὸν καὶ ἀνεξίκακον, σὺν τῷ μάγῳ Παγκρατίῳ τὴν πόλιν προδοῦναι θέλει τοῖς ἐναντίοις;" ἀπελθὼν οὖν ὁ Βονιφάτιος πρὸς τὸν μακάριον, εἶπεν αὐτῷ ὅτιπερ, "πάτερ, οὐδὲ κἂν ἤξαν ἀκοῦσαί μου τοὺς λόγους, ἀλλὰ καὶ δι' ὃ προσήγγισαν τοῦ τείχους

XSCYVO

2 post λιθοβόλιδι verbum σφενδόνη hab. C 2 σφενδονησάτω : -ισάτω V 2 post χειρὶ verbum αὐτοῦ hab. C 3 γυμνωσάτω SC : γυμνασάτω XYV 3 ἀπέλθῃ CYV : ἀπέλθει XS 4 ἐπαναπαυέσθω : ἀναπαυέσθω C 4 οὖν om. S 5 εἰς τὸν λαὸν post πάντα tr. S 5 πάντα XSCY : ἅπαντα V 6 ἐναντίων XSCY : ὑπεναντίων V 6 ante τοῦ τείχους verbum ἐπὶ hab. V 7 αὐτῷ om. C 8 ἐν πολέμῳ XSYV : πολέμου C 9 καὶ ἀσπίσι om. XY 10 λαλεῖς SC : λαλῆς XY λέγεις V, fort. recte 11 ἀπέλθωμεν : ἀπέλθειν C 11 τίς ἀκούσας μὴ V : τίς μὴ ἀκούσας XCY μὴ ἀκούσας S 11 εἴπῃ XC : εἴπει S εἶπι Y εἴποι V 12 εἴχομεν V : -αμεν XSC -ωμεν Y 12 ἀνεξίκακον : ἐπιστήμονα S 14 post μακάριον verbum Παγκράτιον hab. V 14 ὅτιπερ XYV : ὅτι SC 14 πάτερ om. S 15 ἤξαν : εἶξαν S 15 ἀκοῦσαί XCYV : ἀκούσε S 15 δι' ὃ nos : δι' ὃν C δι' ὧν XSYV 15 τοῦ : τοὺς S

ὡσεὶ λίθου βολὴν ὀλίγον, σεσιωπηκότες ἐπανέστησαν ἀποκτεῖναί με. ὦ πάτερ, ὡς κελεύεις, τὴν σωτηρίαν ἡμῶν καὶ τῆς πόλεώς σου φρόντισον, τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν δυσωπῶν." ὁ δὲ μακάριος πάλιν διεπέμψατο τῷ λαῷ, "τὸ κελευόμενον ὑμῖν, ὦ τέκνα, παρ' ἐμοῦ, ποιήσατε, καὶ πάντως ὁ βασιλεὺς ἡμῶν Ἰησοῦς Χριστὸς διαχειρήσεται τοὺς ἐχθροὺς ἡμῶν καὶ ὀλέσει αὐτοὺς τῇ ἰδίᾳ δυνάμει." ἀπελθὼν οὖν ὁ Βονιφάτιος ἐκ τρίτου, ὑπήκουσαν εἰπόντος αὐτοῖς ταῦτα, "ἀκούσατε, ἀδελφοί, ὡς Χριστιανοὶ καραδοκεῖτε τὴν σωτηρίαν ὑμῶν καὶ μὴ ἀπογινώσκετε ἑαυτοὺς διότι κύριος Ἰησοῦς Χριστὸς ὁ θεὸς ἡμῶν καὶ τούτους συντρίψει καὶ ἡμᾶς περιποιήσεται, ὡς ὑπὸ τὴν σκέπην τῶν πτερύγων αὐτοῦ καταφυγόντας." τότε ἦλθεν ὁ Βονιφάτιος πρὸς τὸν μακάριον καὶ λέγει αὐτῷ, "πάτερ ἅγιε, σπεῦσον ὃ κελεύεις ποιῆσαι, ἐπειδὴ ὑπήκουσεν ὁ λαὸς καὶ ἀπῆλθεν ἕκαστος εἰς τὸ ἴδιον σκήνωμα καὶ οἱ ὑπεναντίοι πάρεισιν." ἀναστὰς οὖν ὁ μακάριος καὶ ἀποκείρας ἐν τάχει ἕνα τῶν μαθητῶν αὐτοῦ ὀνόματι Τατιανόν, ἔδωκεν αὐτῷ τὸν

XSCYVO

3 δυσωπῶν XSC : δυσώπησον YV 4 παρ' ἐμοῦ om. S 5 διαχειρήσεται XSY : χειρίσεται C χειρόσηται V, fort. διαχειρίσεται emendandum 6 ὀλέσει SV : ὠλέσει XCY 6 αὐτοὺς : αὐτὸς Y 7 εἰπόντος XSCY : εἰπόντως V 7 αὐτοῖς XSCY : αὐτοῦ V 8 ὑμῶν : ἡμῶν S 9 ἀπογινώσκετε YV : -εται XS -ειτε C 9 καὶ om. V 10 συντρίψει : συντρίψη C 10 περιποιήσεται X : -σαται S -σειται CYV 10 τὴν σκέπην : σκηνὴν C 11 πτερύγων : χειρῶν S 11 καταφύγοντας nos : καταφυγότες XCY καταφύγωντας S καταφεύγοντας V 11 ὁ om. SV 11-12 πρὸς τὸν μακάριον om. XSCY 12 ὃ V : τὸ XSCY 12 ποιῆσαι SCV : ποίησον XY, fort. recte 13 ὑπήκουσεν ὁ λαὸς καὶ ἀπῆλθεν V : ὑπήκουσαν (ἤκουσαν Y) οἱ λαοὶ καὶ ἀπῆλθον XSCY, fort. recte 14 πάρεισιν SV : πάρησαν XCY 15 αὐτοῦ om. V 15 αὐτῷ : αὐτὸ S

κλῆρον τοῦ διακόνου καὶ λέγει πρός με, "ἄγωμεν καὶ ἡμεῖς πολεμήσωμεν, τέκνον, κατέχοντες τὰ ὅπλα ἡμῶν, καὶ ἀπελθόντες τροπωσόμεθα τοὺς ἐναντιουμένους," καὶ φορέσας ὁ μακάριος τὴν ἱερὰν στολὴν αὐτοῦ, καὶ λαβὼν τὸν τίμιον σταυρὸν ἐν τῇ χειρὶ αὐτοῦ καὶ ἐπιδεδωκὼς ἐμοὶ τὴν εἰκόνα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τῷ ἀδελφῷ Τατιανῷ τῷ διακόνῳ τὴν εἰκόνα τοῦ μακαρίου Πέτρου τοῦ ἀποστόλου, ἐξήλθομεν καὶ ἤλθομεν ὅπου ἦν ἡ δύναμις τῶν ἐναντίων, καὶ ἦσαν κατακρατήσαντες τοῦ τείχους, καὶ ἡ πόλις ὅλη ἠρέμα ὡς διδαχθέντες ὑπὸ τοῦ μακαρίου Παγκρατίου. ἀνελθὼν οὖν ὁ μακάριος καὶ σταθεὶς ἐφ' ὑψηλοῦ τόπου καὶ ἁπλώσας τὰς χείρας, προσευξάμενος ἐποίησεν τὴν ἐν Χριστῷ σφραγῖδα ἐν τῇ ἀνατολῇ καὶ ἐν τῇ δύσει καὶ ἄρκτῳ καὶ μεσημβρίᾳ, καὶ φησὶν ὁ μακάριος, "κύριε Ἰησοῦ Χριστέ, ἐξέγειρον τὴν δυναστείαν σου καὶ ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς. μὴ ἐπιλάθῃ τῆς φωνῆς τῶν οἰκετῶν σου, δέσποτα τῶν ἁπάντων, λόγε τοῦ θεοῦ καὶ πατρὸς υἱέ, φῶς ἐκ φωτὸς ὑπάρχων, θεὲ ἀληθινὲ ἐκ θεοῦ ἀληθινοῦ,

XSCYVO

1 ἄγωμεν SV : ἄγωμεν, corr. -ομεν C ἄγομεν XY 2 πολεμήσομεν XCY : -σωμεν SV 2 τέκνον post ἄγωμεν tr. V 3 τροπωσόμεθα CYV : τροποσώμεθα X τροπωσώμεθα S, fort. recte 5 post Χριστοῦ verba καὶ τῆς παναγίας ἀχράντου δεσποίνης ἡμῶν θεοτόκου hab. XSCY, fort. recte 6 τῷ ἀδελφῷ Τατιανῷ τῷ διακόνῳ S : τοῦ ἀδελφοῦ Τατιανοῦ τοῦ διακόνος , corr. τῷ ἀδελφῷ Τατιανῷ τῷ διακόνος C τοῦ ἀδελφοῦ Τατιανοῦ τοῦ διακόνος (διακόνου V) XYV 6 τὴν εἰκόνα post ἀποστόλου tr. XSCY 6 - 7 τοῦ ἀποστόλου om. V 7 ἐξήλθομεν XSY : ἐξήλθαμεν V ἐξῆλθεν C 7 καὶ ἤλθομεν om. Y 7 ἤλθομεν X : -ωμεν SC -αμεν V 7 ἡ om. XC 8 κατακρατήσαντες XSCY : ἐπικρατήσαντες V 8 τοῦ XV : τοὺς SCY 8 ἠρέμα XCY : ἠρέμει S ἔρημος V ἐρήμα emendandum 9 ὑπὸ : κατὰ S 9 ἀνελθὼν XCYV : ἀπελθὼν S 9 post μακάριος verbum Παγκράτιος hab. C 10 τόπου om. V 10 post χείρας verbum καὶ hab. V 11 ἐν (1, 2) om. S 11 τῇ (1, 2) om. S 10 - 11 καὶ ἄρκτῳ καὶ μεσημβρίᾳ (μεσιμβρίᾳ C) XSCY : καὶ τῇ μεσημβρίᾳ καὶ τῇ ἄρκτῳ V 13 ἐπιλάθῃ XSYV : ἐπιλάθης C 14 οἰκετῶν SCY : οἰκετῶν, corr. ἱκετῶν X ἱκετῶν V, fort. recte 14 καὶ : τοῦ Y 15 ἐκ (1) om. V

γεννηθεὶς οὐ ποιηθείς, σὲ δυσωπῶ, τὸν ῥυόμενον πτωχὸν ἐκ χειρὸς στερεωτέρων αὐτοῦ, μὴ διαρπασάτωσαν τὴν πόλιν σου, κύριε, οἱ ἐχθροί σου, μηδὲ προνομευσάτωσαν αὐτήν. δεῖξον εἰς αὐτούς, Ἰησοῦ Χριστέ, τὴν ἀόρατον σου δύναμιν διὰ τοῦ τιμίου καὶ ζωοποιοῦ σου σταυροῦ καὶ τῆς ἀχράντου καὶ προσκυνητῆς σου εἰκόνος, ἧς ἡμῖν δέδωκας, δέσποτα, ὅπλον ἀκαταμάχητον κατὰ τῶν ἐπερχομένων ἡμῖν ἐχθρῶν. δὸς δύναμιν καὶ κραταίωσιν τῷ λαῷ σου, ὡς ἐν ἡμέραις Ἰησοῦ τοῦ Ναυΐ, ὡς ὑψώθη ἡ κιβωτὸς τοῦ μαρτυρίου τῆς σκηνῆς σου, καὶ ἐτροπώσατο πόλιν Ἰεριχώ. δυσωπῶ σε, κύριε Ἰησοῦ Χριστέ, οὕτως γενέσθω καὶ σήμερον ἐνώπιον τοῦ λαοῦ τούτου καὶ εἰς τέλος μὴ ἀποστραφῇς τὸ πλάσμα σου, ἀλλὰ καὶ τὴν πόλιν σου ἐπισκεψάμενος περιποίησαι, καὶ τοῖς ἐναντίοις δείξας τὴν δυναστείαν σου. ἐπίστρεψον αὐτοὺς εἰς τὸν φόβον σου, λυτρωσάμενος τὸ πλάσμα σου ἐκ τῆς περιεχούσης αὐτὸ ἀχλύος, δέσποτα κύριε Ἰησοῦ Χριστὲ ὁ θεός, ὅπως, ὑψουμένου τοῦ τιμίου καὶ ζωοποιοῦ σου σταυροῦ καὶ τῆς ἀχράντου καὶ

XSCYVO

1 *οὐ ποιηθείς* om. S 2 *διαρπασάτωσαν* XSC : *διαρπασάτοσαν* Y *διαρπασάτω* V 2 post *κύριε* verba *Ἰησοῦ Χριστὲ* hab. SC 2 - 3 *οἱ ἐχθροί σου* XSCY : *ὗς ἐκ δρυμοῦ* V 4 post *ἀόρατον* verba *καὶ ὁρατὴν* hab. V 4 *σου* (1) post *δύναμιν* tr. XYV 4 *τιμίου καὶ* om. XSCY 4 *σου* (2) post *σταυροῦ* tr. C, om. V 5 *καὶ τῆς ἀχράντου καὶ προσκυνητῆς σου εἰκόνος ἧς* V : *καὶ τῶν ἀχράντων εἰκόνων ὧν* XSCY, fort. recte 6 *δέδωκας* XSCY : *δεδωκῶς* V 6 *ἀκαταμάχητον* om. V 6 - 7 *τῶν ἐπερχομένων ἡμῖν ἐχθρῶν* XSCY : *παντοίων ἐχθρῶν ἐπερχομένων ἡμῖν* V 7 *ὡς* om. V 8 *τῆς σκηνῆς* S : *καὶ τῆς σκηνῆς* XCY : *τῆς διαθήκης* V, fort. recte 8 *καὶ* om. CV 9 *δυσωπῶ* XYV : *δυσωποῦμεν* SC 11 *πλάσμα* : *πνεῦμα* C 11 ante *τὴν πόλιν* verbum *ταύτην* hab. V 12 *δυναστείαν* SCV : *δόξαν* XY 14 *αὐτὸ* V : *αὐτῷ* XCY *αὐτοῦ* S 14 *ὅπως* V : *ἡμῶν* XSCY 15 *σου* post *σταυροῦ* tr. XY, om. SV 15 - 403.1 *τῆς ἀχράντου καὶ προσκυνητῆς σου εἰκόνος* V : *τῶν ἀχράντων εἰκόνων* XSCY, fort. recte

προσκυνητῆς σου εἰκόνος, εἰρηνευθήτωσαν τὰ πάντα κατὰ τὴν βουλήν σου τὴν ἀληθινὴν. τῷ νεύματι τῆς χειρός σου καταπράϋνον, καὶ ὀλεσθήτω ἀπάντων ἡ ἄγνοια, σκότος καὶ ὀλίσθημα, καὶ ἄγγελος κυρίου ἀποσταλείς, ἐκθλίβων πάντας τοὺς ἐχθρούς σου." καὶ πληρώσας ὁ μακάριος τὴν εὐχήν, ὕψωσε τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν καὶ τὴν ἄχραντον εἰκόνα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τοῦ μακαρίου Πέτρου τοῦ ἀποστόλου. κατέχων μὲν ὁ μακάριος τὸν τίμιον καὶ ζωοποιὸν σταυρόν, ἐγὼ δὲ τὴν εἰκόνα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, Τατιανὸς δὲ τὴν εἰκόνα τοῦ μακαρίου Πέτρου τοῦ ἀποστόλου, καὶ στήσας ἐμὲ μὲν ἐκ δεξιῶν, Τατιανὸν δὲ ἐξ εὐωνύμων, αὐτὸς μέσον εἱστήκει. ὡς οὖν ὑψώσαμεν τὰ ὅπλα τοῦ Χριστοῦ, σκότος ἐγένετο αὐτοῖς καὶ στραφέντες ἀνήλισκον ἀλλήλους. ὁ δὲ μακάριος, ἑωρακὼς τὰς παρεμβολὰς τῶν ἐναντίων, ὅτι ἀλλήλους ἀπέκτανον ἐν στόματι ῥομφαίας, προσηύχετο λέγων, "κύριε Ἰησοῦ Χριστὲ ὁ θεὸς ἡμῶν, δὸς κατάνυξιν ταῖς καρδίαις τῶν ἀνθρώπων τούτων, ἵνα γνῶσιν

XSCYVO

1 τὰ om. S 2 ἀληθινὴν XSCY : ἀληθῆ V 3 ὀλεσθήτω S : ὠλεσθήτω XY ὀλεσθήτο V ἀπολεσθήτω C 3 ἀπάντων : ἀπ' αὐτῶν C 6 - 7 τὴν ἄχραντον - ἀποστόλου V : τὰς ἁγίας εἰκόνας XSCY, fort. recte 7 - 11 κατέχων - εἱστήκει V : στήσας ἐμὲ ἐκ δεξιῶν κατέχοντα τὴν εἰκόνα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τῆς παναγίας θεοτόκου καὶ Τατιανὸν ἐξ εὐονύμων (εὐονύμον, corr. -ων Y) κατέχοντα τὴν εἰκόνα τοῦ μακαρίου Πέτρου καὶ (καὶ om. XCY) αὐτὸς μέσον εἱστήκει (ἱστήκη XY ἱστίκει C, cf. ἱστήκει V) κατέχων (κατέχον S) τὸν τίμιον (τίμιων C) καὶ ζωοποιὸν σταυρόν XSCY, fort. recte 11 εἱστήκει : ἱστήκει V (cf. supr.) 12 οὖν om. XCV 13 ἀπέκτανον nos : ἀπέκταινον X ἀπέκτενον SYV ἀπέκτενον, corr. ἀπέκταινον C 14 ῥομφαίας XCYV : μαχαίρας S 15 γνῶσιν XY : γνώσωσιν SCV

ὅτι ἡ χείρ σου αὕτη καὶ σύ, κύριε, ἔπλασας αὐτούς.'' ἀποστραφεὶς δὲ ὁ μακάριος ὀπισθοφανῶς διακατέχων τὸν σταυρόν, νεύσας ἡμῖν στραφῆναι, ἀποστραφέντων ἡμῶν, ἔγνωσαν οἱ ὑπεναντίοι ὅτι ἀλλήλους ἀπέκτανον καὶ ἔφυγον ἀπὸ προσώπου τῆς πόλεως ὀλολύζοντες. ὡς δὲ ἤκουσαν οἱ ἐν τῇ πόλει ἄνδρες τὸν θόρυβον, οἳ ἦσαν ἐκ τοῦ κόπου τοῦ πολέμου ἐπαναπαυόμενοι ἐν τοῖς ἑαυτῶν οἴκοις, ὡς ἦν κελεύσας αὐτοῖς ὁ ἅγιος, ἐνόμισαν ὅτι οἱ ὑπεναντίοι εἰσῆλθον ἐν τῇ πόλει. ἐξελθόντες οὖν καὶ μὴ ἑωρακότες ἔνδοθεν τοῦ τείχους τινα, ἀλλ' ἔξωθεν ἀνῆλθον ἐν τοῖς ὑψηλοῖς καὶ ἐθεώρουν τὴν θείαν δύναμιν, ὡς τοὺς ἐναντίους ἐτροποῦτο τοὺς δυνατοὺς καταπίπτοντας ἐν τοῖς κρημνοῖς καὶ ἀναλίσκοντας ἀλλήλους, ἐδόξαζον τὸν θεὸν καὶ εὐχαρίστουν ἐπὶ τοῖς γενομένοις θαύμασιν οἷς ἐποίησε κύριος διὰ χειρὸς Παγκρατίου, ὑψωθέντεν τῶν θείων ὅπλων τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. ἀποχωρισθέντες οὖν ἐκ τῶν παρεμβολῶν τῶν ἐναντίων τῶν ἀριθμῶν ὡσεὶ τετρακισχίλιοι ἄνδρες, ἀπορρίψαντες τὰ

XSCYVO

2 post *νεύσας* verbum *καὶ* hab. V 3 post *ἀποστραφέντων* verbum *δὲ* hab. V 4 *ἀπέκτανον* nos : *ἀπέκταινον* X *ἀπαίκτενον* S *ἀπέκτενον*, corr. *ἀπέκταινον* C *ἀπέκτενον* YV 5 *οἳ* om. XSCY 5 post *ἦσαν* verbum *γὰρ* hab. CY 6 *τοῦ κόπου* XSCY : *τῆς κοπῆς* V 6 *ἐπαναπαυόμενοι* post *οἴκοις* tr. V 7 post *ἅγιος* verbum *Παγκράτιος* hab. V 7 post *ἐνόμισαν* verbum *οὖν* hab. C 8 *οὖν* om. V 8 *τινα* V : *τι* XSCY 9 *ἀνῆλθον* V : *ἀπῆλθον* XSCY 9 *ἐθεώρουν* XYV : *ἑώρουν* SC 9 *θείαν* om. C 9 *ὡς* XSCY : *πῶς* V 10 *ἐν* XCYV : *ἐπὶ* S 11 post *ἀλλήλους* verbum *καὶ* hab. SY 11 *ἐδόξαζον* V : *ἐδόξασαν* XSCY 12 *εὐχαρίστουν* S : *ηὐχαρίστουν* XCYV 12 *ἐπὶ* XSCY : *ἐν* V 12 *γενομένοις* XCY : *γινομένοις* S *γεγονόσιν* V, fort. recte 14 *ἀποχωρισθέντες* : *-θέντων* V 15 *τετρακισχίλιοι* : *τετρασχίλιοι* Y

ὅπλα αὐτῶν, ἦλθον καὶ προσήγγισαν τῷ τείχει καὶ ἔκραζον λέγοντες, "ἄνδρες μεγαλόθεοι, ἐλεήσατε ἡμᾶς." ὁ δὲ μακάριος Παγκράτιος ἐκέλευσεν εἰσελθεῖν αὐτούς. εἰσελθόντες οὖν οἱ ἄνδρες καὶ ἑωρακότες τὸν μακάριον Παγκράτιον προσέπεσον τοῖς ποσὶν αὐτοῦ καὶ ἔκραζον λέγοντες, "ἐλέησον ἡμᾶς, μεγαλόθεε, τῶν Ταυρομενιτῶν πρόμαχε." ὁ δὲ μακάριος πρὸς αὐτούς, "ἄνδρες, οὐκ εἰμὶ θεός, ἀλλὰ θεοῦ δυνατοῦ δοῦλος ὑπάρχω καὶ τὸν λόγον αὐτοῦ κηρύσσω." ὁ δὲ μακάριος ἀρξάμενος ἔλεγεν αὐτοῖς ἀπὸ τῶν θείων γραφῶν. λελαληκὼς δὲ αὐτοῖς, καὶ πείσας εἰς τὴν ἀληθινὴν πίστιν, κατηχήσας ἐβάπτισεν ἅπαντας εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, καὶ ἐπιλεξάμενος ἐξ αὐτῶν ἄνδρας εὐλαβεῖς, ἐχειροτόνησε πρεσβυτέρους καὶ διακόνους καὶ ἀπέστειλεν ἐν Καλαβρίᾳ. οὕτως λοιπὸν ὁ μακάριος Παγκράτιος ἦν διδάσκων ἐν Καλαβρίᾳ μέχρις ὅτου καὶ ὁ μακάριος Πέτρος ὁ ἀπόστολος διερχόμενος διὰ Ῥαβέννης ἐχειροτόνησε τὸν μακάριον Στέφανον καὶ ἀπέλυσεν εἰς τὸ Ῥήγιον εἶναι

XSCYVO

1 ἦλθον XCY : -ων S -αν V 1 τῷ τείχει om. Y
4 προσέπεσον XSCY : -αν V 4 αὐτοῦ : αὐτοῖς Y 5 ἔκραζον λέγοντες SCY : ἔλεγον κράζοντες XV 6 πρόμαχε SY : πρόσμαχε XCV 6 post μακάριος verbum Παγκράτιος hab. V 7 θεοῦ post δυνατοῦ tr. C 7 κηρύσσω XCYV : κηρύττω S 8 αὐτοῖς XSCY : πρὸς αὐτοὺς V 9 ἀληθινὴν XSCY : ἀληθὴ V 10 ἅπαντας : πάντας C 12 οὕτως : ὄντως S 13 post διδάσκων verbum καὶ hab. V 13 ὅτου XCYV : οὗ S 14 Ῥαβέννης : Ῥαβαίνης V 15 τὸν μακάριον om. V 15 Ῥήγιον S : Ῥίγιον XY, fort. recte Ῥίγιν C Ῥίγειον V 15 εἶναι om. C

ἐπίσκοπον. ἐκ τούτων οὖν τῶν ἀνδρῶν, πρὶν ἢ περᾶσαι αὐτοὺς ἐν τοῖς ἰδίοις τόποις, εἶπον πρὸς τὸν μακάριον καὶ πρὸς πάντας τοὺς ἐν τῇ πόλει ὅτι, "ἑωράκαμεν, ὅτε τὸ σκότος ἡμῖν προσεγένετο καὶ ἀλλήλους ἀπεκτάγκαμεν, τρεῖς ἡλίους ὑπερφαιδρούς, οἳ ἦσαν φωτεινότεροι ὑπὲρ τὸν ἥλιον τῆς ἡμέρας καὶ τὴν σελήνην τῆς νυκτός." ὡς δὲ εἰρήκασιν οἱ ἄνδρες ταῦτα, ἀκούσας ὁ μακάριος λέγει αὐτοῖς, "θέλετε, τέκνα μου ἀγαπητὰ ἐν κυρίῳ, ὑποδείκνυμι ὑμῖν τοὺς τρεῖς ἡλίους οὓς ἑωράκατε φαίνοντας ἐν τῇ πόλει ἡμῶν;" οἱ δὲ ἄνδρες πρὸς τὸν μακάριον Παγκράτιον, "ὡς κελεύει ἡ σὴ ἁγιωσύνη, πάτερ, ποιησάτω." θᾶττον οὖν ὑπέδειξεν αὐτοῖς ὁ μακάριος τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν καὶ τὴν εἰκόνα τοῦ δεσπότου Χριστοῦ καὶ τοῦ μακαρίου Πέτρου τοῦ ἀποστόλου τὴν εἰκόνα λέγων αὐτοῖς ὅτι, "οὗσπερ ἐθέασασθε τρεῖς ἡλίους ἐν τῇ πόλει, οὗτοι εἰσίν," καὶ ἑωρακότες οἱ ἄνδρες πίστει καὶ φόβῳ πολλῷ, κατησπάσαντο τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν καὶ τὰς τιμίας εἰκόνας. οὕτως λοιπὸν τὸ θαῦμα τοῦτο ἐποίησεν κύριος Ἰησοῦς

XSCYVO

1 πρὶν ἢ nos : πρινὶ XSCYV 2 τόποις om. S 2 εἶπον SCV : εἶπαν XY 2 τοὺς om. Y 3 post ἑωράκαμεν verba πάντας τοὺς ἐν τῇ πόλει hab. C 3 ἡμῖν post προσεγένετο tr. SC 3 προσεγένετο XSCY : ἐγένετο V 4 ἀπεκτάγκαμεν nos : ἀπεκταίναμεν XY ἀπεκτάνκαμεν S ἀπεκτάνκαμεν C ἀπεκτένομεν V 4 τρεῖς V : τέσσαρας XSCY 4 ὑπερφαιδρούς XSCY : ὑπερφαιδρεῖς V 7 post κυρίῳ verbum καὶ hab. V 7 ὑποδείκνυμι CY : ὑποδείκνυμοι X δείκνυμε S ὑποδεικνύω V 7 τρεῖς V : τέσσαρας XC τεσσάρους S τέσσαρη Y 9 σὴ ἁγιωσύνη : ἁγιωσύνη σου V 9 πάτερ post ποιησάτω tr. Y 9 ποιησάτω XSY : ποιησάτο CV 10 καὶ ζωοποιὸν om. V 10 - 12 καὶ τὴν εἰκόνα - τοῦ ἀποστόλου V : καὶ τὰς ἁγίας εἰκόνας XSCY, fort. recte 12 τρεῖς om. XSCY 14 καὶ ζωοποιὸν om. V 15 ἐποίησεν SCV : πεποίηκεν XY

Χριστὸς τῇ χάριτι αὐτοῦ διὰ χειρὸς Παγκρατίου. ἐπευξάμενος οὖν τοῖς ἀνδράσι καὶ διδάξας τηρεῖν πάντα, ἃ ἐνετείλατο ἡμῖν κύριος διὰ τῶν ἁγίων αὐτοῦ ἀποστόλων, ἀπέλυσεν αὐτοὺς ἐν τοῖς ἰδίοις τόποις πεφωτισμένους τῇ χάριτι τοῦ ἁγίου πνεύματος. ὁ οὖν μακάριος πρός με, "τέκνον Εὐάγριε, διαπλεύσας, ἄπελθε πρὸς τὸν ἁγιώτατον Μαρκιανόν, καὶ ταῦτα πάντα εἰπὲ τῇ αὐτοῦ ἁγιωσύνῃ, ἀπολογούμενος ὅτιπερ, 'πάτερ, μὴ σχῇς ὡς κατὰ κενοδοξίαν τινα τὴν θείαν ἀποκάλυψιν οὐ πεφανερώκαμεν τῇ σῇ ἁγιωσύνῃ, ἀλλ' ὡς μὴ θέλοντες ὑμᾶς λυπῆσαι. εἰ γὰρ καιρίαν εἶχες δέξασθαι παρ' ἡμῶν ἀπόκρισιν, λυπεῖσθαι εἶχεν ἡ ἔνθεος ὑμῶν καρδία. ἐν τῷ αὐτῷ δὲ ἀνάκρινον καὶ τὰ κατὰ τὸν ἀδελφὸν Ἐπαφρόδιτον πῶς ἐπράχθη τὰ περὶ αὐτοῦ." *διαπλεύσας οὖν ἦλθον πρὸς τὸν ἅγιον Μαρκιανὸν καὶ διηγησάμην αὐτῷ πάντα τὰ πραχθέντα, καὶ ὅτι καὶ ἐν Καλαβρίᾳ χειροτονίας ἐποίησεν ἐκ τῶν ἀνδρῶν ἐκείνων τῶν προγραφέντων ἐν τῷ πολέμῳ καὶ ἀπέλυσεν ἐν ταῖς πόλεσι Καλαβρίας. ὁ οὖν μακάριος Μαρκιανὸς ἀκούσας ταῦτα*

XSCYVO

1 *χειρὸς* V : *χειρῶν* XSCY 1 *οὖν* om. X, suppl. X^1 2 *τηρεῖν* om. Y 3 *αὐτοὺς* : *αὐτοῖς* V 6 *ταῦτα* post *πάντα* tr. XCV 6 post *ἀπολογούμενος* verbum *αὐτῷ* hab. V 10 *εἶχεν* om. Y 10 *ἡ* : *εἶ* Y 10 *ἔνθεος* : *ἔνθεως* Y 10 *καὶ* om. S 10 *τὰ* om. XY 11 *πῶς* : *ἐν ποίοις* V 12 *ἅγιον* : *ἁγιώτατον* C 13 *καὶ* om. C 13 *χειροτονίας* : *χειροτονήσας* C 14 *προγραφέντων* SCYV : *γραφέντων* X

πάντα εὐχαρίστησεν τῷ θεῷ καὶ ἐπευξάμενος εἶπεν πρός με, "κἀγώ, τέκνον Εὐάγριε, χειροτονήσας δώδεκα πρεσβυτέρους καὶ δώδεκα διακόνους, καὶ ποιήσας ἕτερον ἔγγραφον, πρὸς ᾧ ἦν ποιήσας ἡμῖν ὁ κύρις Παγκράτιος, ἀνῆλθον ἐν τῇ ἐπαρχίᾳ σὺν αὐτοῖς καὶ ἀφιέρωσα τὴν ἐκκλησίαν, ἣν καὶ ὠνόμασεν 'Οἶκον Εἰρήνης'. ἅπαντας δὲ τοὺς πρεσβυτέρους ἐκέλευσα ὑποτάσσεσθαι τῷ ἀδελφῷ Ἐπαφροδίτῳ καὶ δι' αὐτοῦ πρός με πάσας τὰς χρείας ποιεῖσθαι, καὶ ἄρχειν αὐτοῖς κατὰ πάντα." ταῦτα οὖν λαλήσαντες, ἐγώ τε καὶ ὁ ἁγιώτατος Μαρκιανός, λαβὼν παρ' αὐτοῦ εὐχὴν εἰρήνης ὁδοιπορικῆς ἐξῆλθον, καὶ διαπλεύσας ἦλθον πρὸς τὸν κύριόν μου Παγκράτιον καὶ ἀνήγγειλα αὐτῷ πάντα τὰ κελευσθέντα παρ' αὐτῶν τοῖς ἄμφω. καὶ τούτου ἐστιν ἰδεῖν τὴν θεοεπαίνετον προσφορὰν καὶ δοξάσαι τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν δοξάζοντα τοὺς δοξάζοντας αὐτόν. ὡς ἦν ὁ μακάριος Παγκράτιος ἅπαντας τοὺς ἐν τῷ οἴκῳ αὐτοῦ οἰκέτας προσενέγκας τῷ θεῷ σὺν παντὶ τῷ πλούτῳ αὐτοῦ, ἐξ ὧν οἰκετῶν ἔλαβεν ὁ μακάριος

XSCYVO

1 εὐχαρίστησεν CV : ηὐχαρίστισεν X ηὐχαρίστησεν Y εὐχαρίστησαι S 1 τῷ θεῷ V : τὸν θεὸν XSCY 3 ᾧ V : ὃν XSCY, fort. recte 4 κύρις XCYV : κύριος S 4 ἀνῆλθον V : ἀπῆλθεν XSCY 4 τῇ ἐπαρχίᾳ σὺν om. Y 4 ἀφιέρωσα XSYV : ἀφερέωσα C 5 ἦν : ὃν C 5 ἦν καὶ : ἥντινα V 5 ὠνόμασεν V : ὀνόμασεν XSY ὀνομάσαμεν C, fort. recte (ὠνομάσαμεν) 7 δι' αὐτοῦ XCY : δι' αὐτῶ, corr. -οῦ S διὰ τοῦτο V 7 - 8 καὶ ἄρχειν αὐτοῖς κατὰ πάντα om. S 7 ἄρχειν XCV : ἄρχει Y 8 οὖν XSCY : δὲ V 8 λαλήσαντες XSCY : -σαντος V 10 Παγκράτιον om. XSCY 10 ἀνήγγειλα XCY : ἀνήγγειλαν S ἀπήγγειλα V 10 αὐτῷ : αὐτοῦ S 11 τοῖς : τῆς Y 11 ἰδεῖν XCV : εἰδεῖν S, om. Y 12 θεοεπαίνετον XCV : θεοαπαίνετον S θεοπαίνετον Y 13 δοξάζοντα τοὺς om. S 13 δοξάζοντα : δοξάσαντα Y 13 δοξάζοντας : δοξάσαντας Y 14 ante αὐτοῦ verba τοῦ πατρὸς hab. XSCY, fort. recte 14 προσενέγκας post θεῷ tr. V

Μάξιμος ὁ ἐπίσκοπος καὶ διεκόσμησε τὴν ἐκκλησίαν ἔν τε πρεσβυτέροις καὶ διακόνοις, ψάλταις καὶ ἀναγνώσταις σὺν οἰκονόμοις καὶ ἐπιτρόποις. ἀκούσας δὲ ὁ μακάριος Μάξιμος ἐν Σικελίᾳ εἶναι ἐπίσκοπον τὸν ἅγιον Παγκράτιον, πλήσας σκάφην ἔλαιον Κρητικὸν καὶ θυμίαμα διάφορον καὶ στολὰς ἱερὰς τῶν ὑφαντῶν Ἀρμενίας, καὶ ἐπιβιβάσας τοὺς παῖδας τοῦ μακαρίου Παγκρατίου εἰς τὰς σκάφεις, οὓς ἦν τῷ θεῷ προσενέγκας, ἦλθον ἀναζητοῦντες ἡμᾶς κατὰ πάσης τῆς νήσου. εὑρόντες δὲ ἡμᾶς ἐν τῇ πόλει ταύτῃ τῶν Ταυρομενιτῶν, ἀνελθόντες προσέπεσον τοῖς ποσὶ τοῦ ἁγίου Παγκρατίου. ὁ δὲ μακάριος πρὸς αὐτούς, "καλῶς ἤλθετε, παῖδες Χριστοῦ." καὶ ἀσπασάμενος ἕνα ἕκαστον, ὑπεδεξάμεθα αὐτούς. ὁ οὖν μακάριος χαίρων τῇ καθαρᾷ καρδίᾳ, ἐνέγκας τοὺς νέους παῖδας, ἔλεγεν πρὸς αὐτούς, "ἐρωτῶ ὑμᾶς, ὦ παιδάρια, κατέχετε τὸν κύριον ὑμῶν;" καὶ ὁ μὲν ἔλεγεν ὅτι, "ναί, κύριε ἡμῶν." ἕτερος δὲ ἔλεγεν ὅτι, "ὡς δι' ὁράσεως," καὶ οὕτως λοιπὸν ὁ μακάριος εἴτιδ' ἂν καὶ ἐν τῇ πόλει ἡμῶν

XSCYVO

1 *Μάξιμος* : *Μάξημος* C 2 *πρεσβυτέροις* : *πρεσβυτέρους* S 2 *διακόνοις* : *διακόνους* S 2 post *διακόνοις* verbum *καὶ* hab. V 2 *ψάλταις* : *ψάλται* S 2 *ἀναγνώσταις* : *ἀναγνώσται* S 2 *οἰκονόμοις* S : *οἰκονόμων* XCYV 3 *δὲ* XSV : *οὖν* SC 3 *Μάξιμος* : *Μάξημος* C 4 *ἔλαιον Κρητικὸν* XSCY : *δύο ἐλαίων Κρητικῶν* V 5 *Ἀρμενίας* : *-είας* C 7 *ἡμᾶς* : *ἡμεῖς* X, corr. *ἡμᾶς* X^1 9 *προσέπεσον* XSCY : *-αν* V 9 *ἁγίου Παγκρατίου* V : *μακαρίου* XSCY, fort. recte 10 *ἤλθετε* XSY : *-ατε* CV 13 *κύριον* XSCY : *ποτὲ κύριν* V 14 *ναί* XSCY : *μέρος τι* V

ὑπῆρχεν ἀντιφόρτου καὶ ἀπέλυεν πρὸς Μάξιμον τὸν ἁγιώτατον ἐπίσκοπον. τοῦτο δὲ ἐπὶ πολλὰ ἔτη διεπράττοντο εἰς ἑαυτούς, τὴν πνευματικὴν ἀγάπην ἀπονέμοντες ἀλλήλοις. οἱ οὖν παῖδες, ὡς ἔφθασαν ἐν τῇ μάλῃ τοῦ Πόντου, ἔλεγον τοῖς ἑαυτῶν συνδούλοις, "ἡμεῖς ἑωράκαμεν τὸν κύριον ἡμῶν Παγκράτιον," καὶ αὐτοὶ ἔλεγον "ποιήσῃ καὶ ἡμᾶς κύριος ἀξίους γενέσθαι τῆς θέας αὐτοῦ," καὶ οὕτως ἅπαντα ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐβράβευσεν. ὁ οὖν μακάριος Παγκράτιος φωνήσας με καὶ ποιήσας εὐχὴν ἐκράτησεν ἐκ τῆς χειρός, καὶ εἰσήλθομεν ἐν τῷ εὐκτηρίῳ ἀμφότεροι. εἰσελθόντων δὲ ἡμῶν, ἤρξατο λέγειν πρός με, "οἶδας, ὦ τέκνον Εὐάγριε, πῶς ἀπ' ἀρχῆς ἡ ἀναστροφή μου, ἀφ' οὗ καὶ οἱ γεννήτορές μου τὸν ἀνθρώπινον ὑπεξῆλθον βίον, ἐγένετο καὶ τί διεπραξάμην ἐν πᾶσιν, καὶ ἐν τῷ πυργίσκῳ πῶς διετέλεσα, καὶ πῶς ὁ μακάριος Πέτρος ὁ ἀπόστολος ἦλθε καὶ ἐξήλθομεν σὺν αὐτῷ καὶ ἀπέστειλέ με ἐν τῇ πόλει ταύτῃ κηρύξαι τὸν λόγον τοῦ θεοῦ, καὶ ἰδού, ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐν πᾶσι

XSCYVO

1 ἀντιφόρτου nos : ἀντεφόρτου S ἀντεφόρτοι XCYV 1 ἀπέλυενXSYV : ἀπέλυσεν C 1 Μάξιμον SYV : Μάξημον XC 2 διεπράττοντο V : διεπράττετο XSCY, fort. recte 2 ἑαυτούς XSV : αὐτούς CY 3 ἀλλήλοις : ἀλλήλους S 3 ὡς om. S 3 ἔφθασαν XSCY : ἔφθαζον V 4 ante ἔλεγον verbum καὶ hab. S 4 ἑαυτῶν CYV : ἑαυτὸν, corr. -ὧν X αὐτῶν S 5 ἡμῶν om. V 5 Παγκράτιον om. XSCY 5 ποιήσῃ nos : ποιήσει XCYV ποιήσαι S 6 γενέσθαι om. S 7 post ἐβράβευσεν verba Περὶ τῆς τελιώσεως του ἁγίου (add. in marg. περὶ τῆς διαθίκης) hab. C, Περὶ τῆς τελιώσεως τοῦ ἁγίου καὶ περὶ τῆς διαθήκης hab. Y 9 εἰσήλθομεν XSCY : -αμεν V 9 - 10 ἤρξατο λέγειν : λέγει S 10 ἀπ' ἀρχῆς om. XY 11 βίον ante ὑπεξῆλθον tr. XY 12 ante ἐγένετο verbum τί hab. V 12 πᾶσιν XCY : ἅπασιν V πᾶση S 14 ἀπέστειλέ με XSCY : ἀπεστάλει μὲν V 15 ἐν : ἐπὶ S 15 πᾶσι XSY : πᾶση C ἅπασι V

κατευόδωσεν ἡμῖν τῇ αὐτοῦ χάριτι ὡς τῷ ἰδίῳ αἵματι περιποιησάμενος ἡμᾶς, καὶ ταῦτα πάντα, ὡς προείρηται, ἐπίστασαι, διὸ καὶ ὡς παιδάριόν μου ἐκ τοῦ οἴκου τοῦ πατρός μου μόνον σε ἀνειλόμην, καὶ ἰδού, τῇ χάριτι Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν γέγονας ἀνὴρ τέλειος καὶ μεμάθηκας πάντα τὰ ἱερὰ γράμματα, καὶ ἠξιώθης διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν τῆς ἐμῆς ταπεινώσεως τῇ τοῦ πρεσβυτέρου ἀξίᾳ, καὶ πᾶσαν ἐκκλησιαστικὴν κατάστασιν ἐπίστασαι. σὺ οὖν, τέκνον, κατὰ πᾶσαν πρᾶξιν ἡμῶν συνῇς ἡμῖν. ἑτέρῳ διδασκάλῳ, παρ' ᾧ παρέλαβες, μὴ ἀκολουθήσῃς. θέλω δὲ μετὰ τὴν ἐμὴν ἀποβίωσιν σὲ διακατέχειν τὸν θρόνον τῆς ἐπισκοπῆς ταύτης τῆς πόλεως, καὶ τοῦτο, τέκνον, παραγγέλλω σοι ἐνώπιον τοῦ θεοῦ τοῦ ἐφορῶντος τὰ πάντα, οὗ καὶ τῷ φοβερῷ βήματι παραστῆναι ἔχομεν πάντες, μάλιστα δὲ ἡμεῖς οἱ ἐγχειριζόμενοι τὰς ψυχὰς τῶν λογικῶν προβάτων ὡς ποιμένες. φεῦγε, τέκνον, τὰς κραιπάλας καὶ τὰς μέθας καὶ πάσας τὰς κοσμικὰς ἐπιθυμίας. φόβῳ καὶ πόθῳ τίμα τὸν κύριον,

XSCYVO

1 ἡμῖν : ἡμᾶς S 1 αὐτοῦ : αὐτῇ X 2 περιποιησάμενος : -σαμένῳ V 4 ἀνειλόμην SC : ἀνιλάμην X ἀνηλόμην V ἀνελάβην Y 4 post χάριτι verbum τοῦ hab. S 4 θεοῦ post ἡμῶν tr. C 6 τῆς ἐπιθέσεως om. C 6 τῶν χειρῶν - ταπεινώσεως om. S, propter homoeoteleuton 7 πᾶσαν XSCY : ἅπασαν V 8 συνῇς XSCY : συνεῖς V 9 διδασκάλῳ XSCY : διδασκαλίῳ V 9 ἀκολουθήσῃς : -ήσεις C 10 διακατέχειν XSCY : διακατασχεῖν V 12 ἐφορῶντος SV : ἐφοροῦντος X ἐφορόντος C εὐφοροῦντος Y 12 ἔχομεν SYV : ἔχωμεν, corr. -ομεν C ἔχωμεν X 14 κραιπάλας nos : κρεπάλεις XCYV κρεπάλας S 14 κραιπάλας] шумства Usp 14 μέθας S : μέθεις XYV μέθης C

μὴ σήμερον ἐν ἐγκρατείᾳ καὶ αὔριον ἐν κραιπάλῃ καὶ μέθει, μὴ σήμερον ἐν ἁγνείᾳ καὶ αὔριον ἐν λαγνείᾳ, μὴ σήμερον ἐκχέεις δάκρυα μετανοίας καὶ αὔριον γέλωτα διαβολικόν. τέκνον Εὐάγριε, τῆς ἐκκλησίας τοῦ θεοῦ ποτὲ μὴ καταφρονήσῃς. μὴ γένῃ ὀξὺς εἰς ὀργὴν τοῦ ἀποδοῦναι κακὸν ἀντὶ κακοῦ τοῖς ἐμπίπτουσιν ἐν πλημμελείαις. ἄκακος καὶ εὐθὺς ἔσῃ μετὰ τῶν σῶν, ἵνα πληρωθῇ εἰς σὲ τὸ τοῦ προφήτου ῥητόν, 'ἐμοῦ δὲ διὰ τὴν ἀκακίαν ἀντελάβου καὶ ἄκακοι καὶ εὐθεῖς ἐκολλῶντό μοι καὶ ἔλθωσίν σοι πάντα τὰ ἀγαθὰ καὶ εὐθεῖα.' τοῦτο δέ, τέκνον, παραγγέλλω σοι, ὅτε εἰσέρχῃ εἰς οἶκον θεοῦ, λῦσον τὸ ὑπόδημα τῶν ποδῶν σου· ὁ γὰρ τόπος ἐν ᾧ ἕστηκας γῆ ἁγία ἐστίν, μάλιστα εἰς σοροὺς τῶν ἁγίων τῶν διὰ τὸ ὄνομα Ἰησοῦ Χριστοῦ τὸ αἷμα αὐτῶν ἐκχυσάντων, καὶ ἡμεῖς, τέκνον, γῆ ἐσμέν, ἀλλ' ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς δοξάζει τοὺς δοξάζοντας αὐτόν, καὶ τοῦτο σὺν πάντων, ἵνα ποιήσῃς μετὰ τὴν ἐμὴν ἀπὸ τοῦ κόσμου τούτου ἐπανάλυσιν πρὸς τὴν ἑτέραν ζωήν, ἵνα συμπαραλάβῃς Βονιφάτιον καὶ

XSCYVO

7-8. Ps. 40(41):13, 24(25):21
10 cf. Ex. 3:5

1 ἐν (1) om. X 1 ἐγκρατείᾳ : ἁγνείᾳ Y 1 - 2 ἐν κραιπάλῃ - αὔριον om. S, propter homoeoteleuton 1 κραιπάλῃ καὶ μέθει : λαγνείᾳ Y 1 κραιπάλῃ nos : κρεπάλη XC κρεπάλει V 1 μέθει : μέθη XC 2 ἐκχεέις SCYV : ἐκχεῆς X 2 δάκρυα SCV : δάκρυον XY 3 διαβολικόν : σατανικόν C 4 β καταφρονήσῃς SV : -ήσις XY -ήσεις C 4 γενῇ SCV : γενῆς XY 4 εἰς ὀργὴν om. XY 6 ἔσῃ XSYV : ἔσω C 6 εἰς σὲ om. C 6 εἰς XSY : ἐπὶ V 6 τὸ om. S 7 post ἀκακίαν verbum μου hab. S 7 καὶ (2) om. S 8 ἐκολλῶντο S : ἐκολλόντο XCY ἐκολλοῦντο V 8 πάντα XSCY : ἅπαντα V 9 εἰσέρχῃ : εἰσέρχει C 9 ante θεοῦ verbum τοῦ hab. XY 11 σοροὺς V : σορὸν X σωρὸν S σωρῶν C σορῶν Y 11 τῶν (1) om. XSCV 12 ἐκχυσάντων XSCY : μελλόντων ἐκχέαι V 13 αὐτόν : αὐτῶν Y 13 καὶ τοῦτο om. XY 13 - 14 σὺν πάντων : συμπάντων V 14 post πάντων verbum τέκνον hab. V 14 ποιήσῃς XYV : ποιήσεις SC

ἄνδρας ἐκ τῶν πιστῶν εὐλαβεῖς καὶ ἀπέλθῃς ἐν Ῥώμῃ πρὸς τὸν ἀπόστολον Πέτρον, κἀκεῖνος δώσει σοι τὸν κλῆρον τῆς ἐπισκοπῆς ταύτης τῆς πόλεως, καθὼς καὶ ἡμῖν, ἐπειδή, τέκνον, καὶ Πέτρος ὁ ἀπόστολος, διελθὼν ἐν τοῖς μέρεσι τῆς Ἀσίας καὶ ἐν πᾶσι κηρύσσων τὸν λόγον τοῦ θεοῦ, κατελθὼν διὰ Ῥαβέννης, ἦλθεν ἐν Ῥώμῃ·" ἦν γὰρ ὁ μακάριος Παγκράτιος καὶ τοῦτο προγνοὺς κατὰ θείαν ἀποκάλυψιν, καὶ λέγει μοι πάλιν, "τέκνον Εὐάγριε, τὸν Βονιφάτιον, μετὰ τὸ ὑποστρέψαι σε ἀπὸ Ῥώμης λαβόντα τὴν ἐπισκοπήν, βάπτισον αὐτόν, καὶ πάντα τὸν χρόνον σου κάτεχε αὐτὸν παρὰ σεαυτῷ· γενέσθαι γάρ σοι ἔχει εὐχρηστότατος κατὰ πᾶν ἔργον ἀγαθόν. βλέπε, τέκνον, τοὺς κακοὺς ἐργάτας, καὶ μὴ τούτοις ποτὲ συνδυάσῃς, μηδὲ βάλῃς τοὺς μαργαρίτας σου ἔμπροσθεν αὐτῶν, μηδὲ δῷς τὸ ἅγιον τοῖς ἀκαθάρτοις κυσίν. ὅταν, τέκνον, πειρασμός τις ἔλθῃ ἐκ τοῦ τῆς ἀληθείας ἐχθροῦ, μὴ παύσῃ δυσωπῶν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου καὶ καταισχύνῃς τοὺς ἐπανισταμένους ἡμῖν

XSCYVO

10 - 11 Philip. 3:2 11 - 13 Mt. 7:6

1 εὐλαβεῖς : ἀβλαβῆς S 2 δώσει SCV : δώση XY 3 ante ἡμῖν verbum ἐν hab. XSCY 5 Ῥαβέννης SCY : Ῥαβέννις X Ῥαβαίνης V 8 ὑποστρέψαι : ἀποστρέψαι C 9 χρόνον SV : φόβον XCY 9 σεαυτῷ : σεαυτὸν V 10 σοι om. S 10 εὐχρηστότατος XSY : εὐχαριστότατος C εὐχρήστος V 10 post τέκνον verbum μου hab. C 11 συνδυάσῃς X : συνδιάσης, corr. συνδυάσης Y συνενδιάσεις S συνενδιάσης V, fort. recte συνεδριάσεις C 12 δῷς Y : δὸς XV δόσῃς S, fort. recte δόσεις C 13 ἔλθῃ XSCY : ἔλθοι V 14 δυσωπῶν post μὴ tr. XCY, post 15 ἐχθροῦ tr. S 15 καταισχύνῃς SY : καταισχύνη C κατισχύνῃς XV, fort. recte ^

ἐχθρούς. ἡμεῖς, τέκνον Εὐάγριε, σήμερον ἐνώπιον τοῦ θεοῦ ἱστάμενοι, πάντα κατὰ τὴν δύναμιν ἡμῶν εἰρήκαμέν σοι. ἐν σοὶ δὲ ἐστὶν τὸ τηρεῖν, ἵνα ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὅτε ἑκάστου τὸ ἔργον φανερὸν γενήσεται ἐνώπιον τῶν ἀγγέλων καὶ ἀνθρώπων, λάμψωσι καὶ οἱ σοὶ ἔπαινοι ἐνώπιον πάντων. τῇ ποίμνῃ σου καλῶς ἐπιμελοῦ, ἵνα ὅταν τὸ γραμμάτιόν σου ἐπιδιδῷς τῷ δικαίῳ κριτῇ, μὴ σχῇ ὁ ἐχθρὸς τῆς ἀληθείας τί κατηγορεῖν σου. τὸν λαὸν παρακάλει ἀθροίζεσθαι ἐν τῇ ἐκκλησίᾳ καὶ μὴ λογομαχήτωσαν ἐν τῇ πνευματικῇ συνάξει, ἀλλὰ μετὰ φόβου τῶν θείων καὶ φοβερῶν μυστηρίων ἀκουέτωσαν καὶ εἰσδεχέσθωσαν τὸ σῶμα καὶ αἷμα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. μένε σὺ ἐν οἷς ἔμαθες καὶ ἐπιστώθης, καὶ εἰδὼς παρά τινος παρέλαβες, καὶ ὁ θεὸς τῆς εἰρήνης ἔσται μεθ' ὑμῶν, ἀμήν. τέκνον, ταῖς μνήμαις τῶν ἁγίων κοινωνεῖν παράγγελλε τῷ λαῷ, καί, ἁπλῶς εἰπεῖν, πρὸς πᾶν ἔργον ἀγαθὸν ἑτοίμους εἶναι, καὶ σεαυτὸν δόκιμον ἐργάτην παράστησον τῷ θεῷ." ταῦτα λαλήσας ὁ μακάριος, ἔτι λέγει πρός με,

XSCYVO

3 - 4 1 Cor. 3:13

1 ἱστάμενοι : εἱστάμενοι S 2 post πάντα verbum τὰ hab. XY 2 ἐν (ιι) om. XY 2 ἐστὶν om. XSCY 3 ὅτε XSCY : ὅταν V 3 τὸ ἔργον φανερὸν XSY : τὸ ἔγγραφον φανερὸν C τὰ ἔργα φανερὰ V 3 γενήσεται V : ἔσται XY ἔστιν SC 4 ante ἀνθρώπων verbum τῶν hab. C 4 οἱ XSYV : ἐν C 6 σου (σι) om. XY 6 ἐπιδιδῷς XSCY : ἐπιδιδώσῃς V 7 κατηγορεῖν SCY : κατηγορήν X κατηγορῆσαι V, fort. recte 7 σου emendavi : σοι V σε XSCY 7 ante τὸν λαὸν verbum τέκνον hab. V 8 τῇ (σι) : τε Y 11 post σὺ verbum τέκνον hab. V 11 εἰδὼς XCY : ἰδὼς SV 11 παρέλαβες SV : ἔλαβες XCY 12 ὁ om. XCY 12 ἔσται : ἔστε V 12 ὑμῶν : ἡμῶν V 13 κοινωνεῖν om. Y 13 παράγγελλε SY : παράγγελλαι XC παράγγελε V 13 post ἁπλῶς verbum ὡς hab. V

"τέκνον Εὐάγριε, ἰδού, τοῦ Ἄγοντος τόπου τῆς ἐπαρχίας ὁ πρεσβύτερος, ὃν ἐχειροτόνησα, τὸν ἀνθρώπινον ὑπεξῆλθε βίον, καὶ ἄγει σήμερον ἡ ἐπαρχία τρεῖς ἡμέρας χωρὶς ποιμένος τοῦ ὑπομιμνήσκοντος, καὶ ἑτοιμάζονται ἐλθεῖν πρὸς ἡμᾶς. παραλαβὼν οὖν τὸν διάκονον Τατιανόν, ποιήσον διακονίαν καὶ πρόλαβε αὐτοὺς ἐκεῖσε ἐν τῇ ἐπαρχίᾳ καὶ ποίησον αὐτοῖς τὴν ἐπιτέλεσιν τῆς θείας λειτουργίας." ἀναμφιβόλως δὲ ἐγὼ περιπτυξάμενος τοὺς τιμίους πόδας αὐτοῦ, ἀπάραντες ἐπέβημεν ταῖς ἡμιόνοις ἡμῶν καὶ ἀπήλθαμεν ἐν τῇ ἐπαρχίᾳ, ἐάσαντες τοὺς παῖδας τοὺς μικροὺς μονωτάτους εἰς τὴν τῶν μαθημάτων διατριβήν, οὓς εἴχομεν εἰς τὰ ἱερὰ γράμματα, καὶ τὸ παιδάριον τὸ μικρὸν τὸ λειτουργοῦν τῷ μακαρίῳ. ἐξῆλθεν οὖν καὶ ὁ Βονιφάτιος εἰς μίαν τῶν ἐπαρχιῶν εἰς ἕνα τῶν τυράννων πρὸς ἀντιπαράταξιν πολεμικήν. ἀπελθόντων οὖν ἀμφοτέρων ἡμῶν σὺν καὶ Βονιφατίῳ, ἔτρωσεν ὁ διάβολος Ἀρτάγαρον καὶ ἑτέρους ἀνθρώπους πονηροὺς ποιῆσαι ἐπιβουλὴν κατὰ τοῦ δικαίου και μακαρίου

XS (11 *μικρὸν* - 13 *πολεμικήν* mutil.) CYVO

1 *Ἄγοντος* : *Ἄγοντως* Y 3 *ἄγει* SV : *ἔχει* XCY 4 post *ἑτοιμάζονται* verba *οἱ τῶν ἐκεῖ* hab. S 4 ante *ἐλθεῖν* verbum *τοῦ* hab. SY

4 *οὖν* XYV : *τοίνυν* S, om. C 5 *διάκονον* SV : *διάκονα* XCY 5 *ἐκεῖσε* om. C 7 *δὲ* XSCY : *οὖν* V 8 *πόδας* post *αὐτοῦ* tr. S 8 ante *ἀπάραντες* verba *λαβόντες εὐχήν* hab. S 8 *ἀπάραντες* XSCY : *ἐπάραντες* V 8 post *ἡμῶν* verba *ἐγώ τε καὶ Τατιανὸς* hab. V 10 *εἴχομεν* SV : *εἴχαμεν* XY *ἤχαμεν* C 11 *λειτουργοῦν* S : *λειτουργοῦντα* XCYV 11 post *μακαρίῳ* verbum *Παγκρατίῳ* hab. V 11 *οὖν* om. Y 14 *ἑτέρους* om. XCYV 15 *κατὰ* om. XCYV 15 *δικαίου καὶ* om. XCYV

Παγκρατίου. ὡς δὲ ἦν αὐτοῖς ἐν κρυφῇ ὁ πονηρὸς λογισμὸς κατὰ τοῦ μακαρίου, τοῦτον ἔσπευσαν εἰς ἔργον ἀγαγεῖν. ἦν δὲ οὗτος ὁ Ἀρτάγαρος Χανανεὺς τῷ γένει, ἀδελφὸς Αὐριλιανοῦ τοῦ πολιτάρχου, θεῖος Ἐλίδου τοῦ ἀνοσίου. οὗτος ποτὲ οὐκ ἠνέσχετο βαπτισθῆναι, οὐδὲ ἦν φόβος θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτοῦ. ἦν δὲ ἐπιτροπεύων ἐν τοῖς τοῦ πραιτωρίου πράγμασιν. οὗτος ὁ πονηρὸς ἐποιήσατο βουλὴν πονηρὰν μετὰ τῶν συνδούλων αὐτοῦ τοῦ θανατῶσαι τὸν δίκαιον, ἀλλὰ ποτὲ οὐ συνεχωρεῖτο αὐτῷ μέχρις ὅτου ὁ κύριος ἐκέλευσεν. ἦν δὲ κατέχων καὶ ἔχθραν κατὰ τοῦ μακαρίου διὰ Ἔλιδον τὸν ἀνεψιὸν αὐτοῦ, καὶ δι' ὃ ἀπεκτάνθη διὰ τὰς πονηρὰς αὐτοῦ πράξεις, ἀπαρνησάμενος τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἔβρυχεν τε τοὺς ὀδόντας αὐτοῦ, ὡς προείρηται, κατὰ τοῦ ὁσίου. ἐφοβεῖτο δὲ ὁ ἀνόσιος τὸ μέρος Βονιφατίου, ἵνα μὴ ἀποκτανθῇ ὑπ' αὐτοῦ. ὡς οὖν εὔκαιρος εὑρὼν ἡμέραν, μεθυσθεὶς τῷ φόνῳ ὁ ἄθλιος, ἐνέγκας τοὺς συνδούλους αὐτοῦ, λέγει αὐτοῖς, "οἴδατε πῶς καὶ ἐν ποίῳ πλούτῳ ἦμεν ποτὲ ἐν τοῖς

XSCYVO

1 ἐν κρυφῇ om. XCYV 2 τοῦτον ἔσπευσαν εἰς ἔργον ἀγαγεῖν om. XCYV 2 οὗτος SCYV : οὕτως X, corr. -ος X¹ 3 Χανανεὺς XCYV : Χαναναῖος S 3 Αὐριλιανοῦ XSY : Ἀβριλιανοῦ CV 5 θεοῦ om. C 6 τοῦ om. C 7 δίκαιον XSCY : μακάριον V 8 αὐτῷ SC : αὐτοῦ XYV 8 post κύριος verbum ἡμῶν hab. C 9 τὸν ἀνεψιὸν αὐτοῦ XSCY : τὸν Αὐρηλιανοῦ υἱὸν V 10 δι' ὃ nos : δι' ὃν SCV δι' ὧν XY 11 ἔβρυχεν XSCV : ἔβρυχον Y 11 τε om. XCYV 11 - 12 ὡς προείρηται κατὰ τοῦ ὁσίου om. XCYV, fort. recte 13 post ὑπ' αὐτοῦ verba ὁ Ἀρτάγαρος hab. V 13 εὐκαιρὸν εὑρὼν S : ἑώρακεν εὑρὼν X ἑώρακεν CY ἑώρακεν εὔθετον V 14 post ἡμέραν verbum καὶ hab. XY 15 ἦμεν S : ἦμεθα XCYV

πατρώοις ἔθεσιν ἡμῶν, καὶ πῶς ἡ πρόνοια τῶν θεῶν ἡμῶν ἦν πολλοστὴ ἡμῖν συνεργοῦσα, ἀφ' οὗ δὲ ἦλθεν ὁ μάγος οὗτος καὶ ἡ πρόνοια τῶν θεῶν ὤλετο, καὶ αὐτοὶ οἱ μέγιστοι θεοὶ πεσόντες συνετρίβησαν καὶ οὐκέτι συνεργοῦσιν ἡμῖν, οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ αὐτὸν τὸν κύριον ἡμῶν Βονιφάτιον καὶ πᾶσαν τὴν πόλιν πεποίηκεν τῷ θεῷ αὐτοῦ προσκυνεῖν. δεῦτε καὶ ἀποκτείνωμεν αὐτόν, ὡς εὐκαιρίαν ἔχομεν, ἡνίκα οὐ πάρεστιν ὁ κύριος ἡμῶν Βονιφάτιος, οὔτε Εὐάγριος καὶ οὐκ ἔστιν, ὃς θεάσεται ἡμᾶς. τὰ παιδάρια οὐ βλέπουσιν ἡμᾶς. αἱ γυναῖκες, ἃς ἔχει, ἃς καὶ λέγουσιν οἱ Χριστιανοὶ 'ἁγίας', οὐκ ἐξέρχονται· κατάκλειστοι γάρ εἰσιν καὶ οὐ παραβάλλουσιν ἡμᾶς, οὐδὲ γινώσκουσι τὸ πραττόμενον, καὶ ἐὰν ἀποκτείνωμεν αὐτὸν κατακρύπτωμεν εἰς μίαν τῶν ῥαγάδων τῆς γῆς, καὶ οὐ μὴ γνώτω τις τὸ μυστήριον ἡμῶν, ὃ ποιήσωμεν," καὶ ἐξενέγκας οἶνον πολύν, ἐκέρασεν αὐτοῖς καὶ ἐγένοντο οἱ ἄθλιοι ἕτοιμοι πρὸς τὴν τοῦ φόνου μετοχήν. ἦν δὲ ὁ μακάριος ἐν τῷ εὐκτηρίῳ σὺν τῷ μικρῷ παιδαρίῳ καί, γενόμενος ἐν ἐκστάσει, ἤκουσεν

XSCYVO

1 ἔθεσιν CV : ἤθεσιν XSY 1 post θεῶν verbum ἡμῶν hab. C 6 ἀποκτείνωμεν SV : -ομεν XCY 6 ἔχομεν XYV : ἔχωμεν, corr. -ομεν CY ἔχωμεν S 7 πάρεστιν S : παρῆν XCV παρεῖν Y 8 θεάσεται CV : θεάσηται XSY 8 αἱ γυναῖκες V : τὰς γυναίκας XSCY 8 ὃς XSCV : ὅστις Y 9 ἃς XSCY : ἅσπερ V 10 ἡμᾶς S : ἡμῖν XCYV 11 πραττόμενον C : πρασσόμεν XSYV 11 ἐὰν XSCV : ἄν Y 11 ἀποκτείνωμεν V : -ομεν XSCY 11 κατακρύπτωμεν XCY : κατακρύπτομεν V ἀποκρύπτομεν S 12 τὸ μυστήριον ἡμῶν XSYV : πρασσόμενον ἡμῶν μυστήριον ποιήσομεν C 12 ὃ XSCY : ὅπερ V 13 ἐξενέγκας XCYV : ἐξενέγκαντες S 13 αὐτοῖς XSCY : αὐτοὺς V 14 ἕτοιμοι ante οἱ ἄθλιοι tr. V

φωνῆς λεγούσης αὐτῷ, "Παγκράτιε." ὁ δὲ φησίν, "ἰδού, ἐγὼ κύριε." λέγει αὐτῷ ἡ φωνή, "δεῦρο, πιστὲ καὶ φρόνιμε οἰκονόμε, εἰς τὴν ἑτοιμασμένην σοι αἰώνιον ἀνάπαυσιν." ταύτην δὲ τὴν φωνὴν καὶ τὸ παιδάριον ἤκουσεν, ὃ ἦν μετὰ τοῦ μακαρίου, ὃ καὶ εἴρηκέν μοι ταῦτα. οἱ οὖν τὴν βουλὴν πεποιηκότες, ἵνα ἀποκτείνωσιν τὸν μακάριον, διεπέμψαντο αὐτῷ ἕνα φονέα, ἄνδρα ἀπαλολόγον τῷ στόματι, τῇ δὲ καρδίᾳ φονοκτόνον, καὶ ἐλθὼν πρὸς τὸν μακάριον φησὶν πρὸς αὐτόν, "ἄνελθε, πάτερ, καλεῖ σε ὁ ἐπίτροπος Ἀρτάγαρος, ἵνα ποιήσωμεν τὴν κλάσιν τοῦ ἄρτου." ὁ δὲ μακάριος Παγκράτιος, εἰσελθὼν ἐκ τῶν προαυλίων εἰς τὸ εὐκτήριον, μεταλαβὼν τῶν ἀχράντων καὶ ζωοποιῶν μυστηρίων, φορέσας τὴν ἐπωμίδα αὐτοῦ καὶ ἀποθέμενος τὴν διπλοΐδα, ἀνῆλθεν ἐν τῷ πραιτωρίῳ. οἱ δὲ μιαροὶ καὶ ἀκάθαρτοι, οἱ τὴν βουλὴν τὴν πονηρὰν ποιήσαντες κατ' αὐτοῦ, ἰδόντες τὸν μακάριον, ἤθελον ζώντα καταπιεῖν αὐτόν. καθίσαντες οὖν ἐπὶ τῆς μιαρᾶς τραπέζης, ἤρξαντο ἐσθίειν καὶ πίνειν. αὐτὸς δὲ οὐκ ἔφαγεν ἐκ τῶν βρωμάτων

XSCYVO

1 φωνῆς λεγούσης XSY : φωνὴν λεγούσαν CV 1 αὐτῳ XYV : πρὸς αὐτόν SC 2 ante λέγει verbum καὶ hab. C 3 ἑτοιμασμένην SV : ἡτοιμασμένην XCY 3 αἰώνιον ἀνάπαυσιν XSCY : ἀπόλαυσιν V 6 αὐτῷ XSCY : αὐτὸν V 6 post αὐτῷ verba τὸν μακάριον del. in C 6 ἕνα φονέα (φωνέα Y) ἄνδρα XYV : ἕνα φρονέα ἄνδρα S ἄνδρα φονέα C 6 ἀπαλολόγον XSCV : ἀπολόγον Y 6 στόματι XSCV : σώματι Y 7 φησὶν XSCY : λέγει V 10 post εὐκτήριον verbum καὶ hab. Y 10 μεταλαβὼν XSCY : μετέλαβεν V 10 post μεταλαβὼν verbum ἐκ hab. Y 11 post μυστηρίων verbum καὶ hab. V 11 τὴν ἐπωμίδα αὐτοῦ καὶ ἀποθέμενος τὴν διπλοΐδα] *wплещьницоу его и возложивъ на себя сугубую* Usp 12 καὶ om. V 12 - 13 βουλὴν τὴν πονηρὰν XCYV : πονηρὰν βουλὴν S 13 κατ' αὐτοῦ om. XYV 13 post μακάριον verbum Παγκράτιον hab. V 14 καθίσαντες : καθήσαντες Y 15 ἐσθίειν καὶ πίνειν. αὐτὸς δὲ om. XCYV 15 - 419.1 τῶν βρωμάτων αὐτῶν XSCY : τῶν δολίων αὐτῶν βρωμάτων V

αὐτῶν, ἀλλ' ἐκαθέζετο τὸ ὀπτικὸν τῆς διανοίας ἐπὶ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἔχων, ἀποβλέπων εἰς τὴν μακαρίαν ἐλπίδα καὶ ἀπόλαυσιν τῶν αἰωνίων ἀγαθῶν. ὡς οὖν ἐκορέσθησαν τῆς διαβολικῆς τροφῆς, ἐνέγκαντες κιθάραν, ἤρξαντο ἐνώπιον τοῦ μακαρίου ὀρχήσεις καὶ κρότους διαβολικοὺς ποιεῖσθαι. ὁ δὲ μακάριος ἐπιεικῶς πρὸς αὐτοὺς εἶπεν, "μὴ οὕτως, τέκνα, τὰς διαβολικὰς ὀρχήσεις ποιεῖσθε καὶ τὰς ἀτάκτους φωνὰς ἀνακράζετε." ἐξενέγκαντες δὲ οἱ ἀχάριστοι εἴδωλον ἔστησαν ἐνώπιον αὐτῶν, ὃ ἐκάλουν θεὸν Σκάμανδρον, εἰς ὃν ποιοῦντες τὰς ἀτάκτους καὶ διαβολικὰς ὀρχήσεις, πίπτοντες προσεκύνουν. ἔτι οὖν προσθεὶς ὁ μακάριος εἶπεν αὐτοῖς ἐν λόγοις παρακλητικοῖς καὶ οὐκ ἠνέσχοντο ἀκοῦσαι. ποιήσας οὖν τὴν ἐν Χριστῷ σφραγῖδα, συνέπεσε τὸ εἴδωλον εἰς τὸ ἔδαφος καὶ συνετρίβη. οἱ οὖν μιαροὶ καὶ ἀκάθαρτοι ἄνδρες, ἑωρακότες τὸν θεὸν αὐτῶν συντριβέντα καὶ κωλυόμενων ὑπὸ τοῦ μακαρίου τῶν διαβολικῶν εὐωχιῶν, τρίζοντες τοὺς ἑαυτῶν ὀδόντας, συνελάβοντο τὸν μακάριον

XSCYVO

1 post *διανοίας* verbum *ὅμμα* hab. S 4 *τροφῆς* XCY : *τρυφῆς* SV, fort. recte 5 ante *διαβολικοὺς* verba *δαιμονιώδεις καὶ* hab. S 5 post *μακάριος* verbum *Παγκράτιος* hab. V 5 *ἐπιεικῶς* XYV : *ἐπιηκῶς* C *ἐπιεικὸς* S 6 post *τέκνα* verbum *μὴ* hab. V 6 post *ὀρχήσεις* verba *καὶ κρότους* hab. Y 7 *ἀχαρίστοι* V : *ἄχριστοι* XSCY, fort. *ἄχρηστοι* legendum 8 *ἔστησαν* post *αὐτῶν* tr. XY 8 *ὃν* : *οὖν* C 9 *ἀτάκτους* : *ἀδιστάκτους* C 10 - 11 *ἐν λόγοις παρακλητικοῖς* om. XCYV, fort. recte 11 *ἠνέσχοντο ἀκοῦσαι* XCYV : *ἠνέσχον τοῦ ἀκοῦσαι* S 12 ante *συνέπεσε* verbum *εὐθέως* hab. S 12 *συνετρίβη* SYV : *συνετρίβει* XC 13 post *ἄνδρες* verbum *ἐκείνεις* hab. S 13 *αὐτῶν* SYV : *αὐτὸν* XC 14 *κωλυομένων* nos : *κολυομένων* XY *κολυόμενον* SC *κωλυομένον* YV 14 ante *μακαρίου* verba *δικαίου καὶ* hab. S 14 - 15 *τῶν διαβολικῶν εὐωχιῶν* (*εὐοχιῶν* X) XY *τὸ διαβολικὸν εὐωχείον* (*εὐωχίον* V) SCV 15 *τρίζοντες* : *-οντας* S 15 *ἑαυτῶν* post *ὀδόντας* tr. C

καὶ ἤρξαντο τύπτειν τὴν τιμίαν κάραν αὐτοῦ καὶ τὸ πρόσωπον, λέγοντες, "μάγε, μάγε, καὶ ὀλέτα τῶν θεῶν ἡμῶν, τοῖς λόγοις τούτοις πᾶσαν τὴν πόλιν ἡμῶν πεποίηκας τῷ Χριστῷ σου προσκυνεῖν καὶ τοὺς καθαροὺς καὶ εὐαρέστους θεοὺς βδελλύσσεσθαι," καὶ σὺν τῷ λόγῳ, ἁρπάσαντες τὸν ἅγιον, κατήγαγον σύροντες ἐν τῷ ἐδάφει εἰς ῥαγάδα κρυπτήν, ὁ μὲν μαχαίρᾳ ἐκκεντῶν, ἕτερος λίθῳ τύπτων, ἄλλος ξύλῳ καὶ οὕτως ἀπέκτειναν τὸν μακάριον, ἐπικαλούμενον τὸν θεὸν καὶ λέγοντα, "κύριε Ἰησοῦ Χριστέ, εἰς χείρας σου παρατίθημι τὸ πνεῦμά μου." οἱ δὲ μιαροὶ καὶ ἀνόσιοι ἄνδρες ἔλεγον πρὸς τὸν μακάριον, "ἴδωμεν, ὦ μάγε, εἰ ἔλθῃ ὁ Χριστός σου, ὃν ἐπικαλεῖσαι, καὶ βοηθήσῃ σοι." εἷς δέ τις παῖς Χριστιανὸς συμπαρὼν μετ' αὐτῶν ἔκραξε λέγων, "τί ποιεῖτε τὸν δοῦλον τοῦ θεοῦ; τί ἐπράξατε τὸ παράνομον πρᾶγμα τοῦτο; τί ἀπεκτείνατε τὸν ἅγιον Παγκράτιον; ἐγὼ ἀπέλθω καὶ διαφημίσω ἐν τῇ πόλει ὅτι τὸν ἅγιον Παγκράτιον οἱ δοῦλοι τοῦ ἡγεμόνος Βονιφατίου ἀπέκτειναν." οἱ δὲ κατεδίωξαν τὸν παῖδα ἵνα

XS (5 ἁρπάσαντες - 10 ἴδωμεν mutil.) CYVO

1 post ἤρξαντο verba τρίζειν καὶ hab. C 1 κάραν XSYV : κεφαλὴν C 1 αὐτοῦ post τιμίαν tr. C, post πρόσωπον tr. V 2 ὀλέτα SCV : ὠλέτα XY 2 ante θεῶν verbum μεγίστων hab. V 4 εὐαρέστους X : ἀρέστους Y ἀρεύστους SCV, fort. recte 4 βδελύσσεσθαι XS : βδελλύσσεσθαι C βδελλύσεσθαι Y βδελλύττεσθαι V 5 ῥαγάδα : ῥαγάδαν S 6 κρυπτήν XC : κρυπτεῖν SV 6 μαχαίρᾳ : μάχαιραν S 6 λίθῳ : λίθος S 10 ἴδωμεν nos : ἴδομεν XYV εἴδωμεν S εἴδομεν C 10 post ἴδωμεν verbum συ hab. XSY 10 μάγε : Παγκράτιε C 10 ἔλθῃ XC : ἔλθει SV 10 ἐπικαλεῖσαι YV : ἐπικαλῆσαι XS ἐπικαλεῖσε C ἐπικαλεῖσαι YV 10 βοηθήσῃ nos : βοηθήσει XCY βοηθείσει SV 11 μετ' αὐτῶν om. V 12 ποιεῖτε SV : ποιήτε XCY 12 τὸν δοῦλον XY : τοῦ δούλω S τῷ δούλῳ CV, fort. recte 13 ἀπέλθω καὶ XCY : ἀπελθὼν S 14 διαφημίσω SC : διαφημήσω XYV 14 διαφημίσω] *расповѣмь* Usp 15 κατεδίωξαν SV : ἐδίωξαν XCY 15 τὸν παῖδα XCYV : ὀπίσω τοῦ παιδὸς S 15 post ἵνα verbum καὶ hab. V

αὐτὸν ἀποκτείνωσιν. ἐλθόντες οὖν δρομαίως εἰς τὸ ἄκρον τοῦ κρημνοῦ, ἠκόντισεν ἑαυτὸν ὁ παῖς κατὰ τοῦ κρημνοῦ. ὁ οὖν κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ περιπατήσας ἐπὶ θαλάσσης ὡς ἐπὶ ἐδάφους, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων, ὁ φύλασσων πάντας τοὺς εὐθεῖς τῇ καρδίᾳ, ἐξαπέστειλεν τὸν ἄγγελον αὐτοῦ καὶ ἔλαβε τὸν παῖδα ὡς διὰ πτερύγων καὶ κατήνεγκε τοῦ ὕψους τοῦ κρημνοῦ ἀβλαβῆ. ὥρα δὲ ἦν ὡσεὶ πέμπτη τῆς ἡμέρας, ὅτε τὸν μακάριον ἀπέκτειναν. ὁ οὖν παῖς, φόβῳ πολλῷ συσχεθείς, οὐκ ἀνῆλθεν ἐκ τοῦ κρημνοῦ μέχρις ὥρας πρώτης τῆς νυκτός. ἡ δὲ ἁγιωτάτη Παυλῖνα σὺν τῶν μετ' αὐτῆς οὐσῶν παρθένων ἤκουσαν τὴν φωνὴν τοῦ παιδός, ἀλλ' οὐ συνέσχον τὸ πραχθὲν κατὰ τοῦ ἁγίου. ὡς δὲ ἤγγισεν ἡ ἑνδεκάτη ὥρα τῆς ἡμέρας, ἤλθομεν ἐκ τῆς ἐπαρχίας καὶ εἰσήλθομεν ἐν τοῖς προαυλίοις τοῦ εὐκτηρίου καὶ εὕρομεν τὸ παιδάριον τὸ μικρὸν ὑπνοῦν, καὶ διασείσας τῆς χειρὸς αὐτοῦ ἐπιλαβόμενος, διύπνισα αὐτὸν καὶ φημὶ πρὸς αὐτόν, "ποῦ ὁ κύριός μου Παγκράτιος;" τὸ δὲ παιδάριον πρός με, "ὁ ἐπίτροπος Ἀρτάγαρος

XSCY (14 κύριος - 422.2 ἐγὼ mutil.) VO

2 ἑαυτὸν : αὐτὸν C 3 ἐπὶ θαλάσσης XSYV : ἐν τῇ θαλάσσῃ C 3 ὡς : ὃς X, corr. ὡς X¹ 6 τοῦ ὕψους X : τοῦ ὕψος V τὸ ὕψος CY τὸ τοιοῦτον ὕψος S 6 ὡσεὶ om. XSCY 8 ἐκ XCYV : ἀπὸ S 9 Παυλῖνα : Παυλήνα S 9 μετ' αὐτῆς S : σὺν αὐτῇ XCYV 10 συνέσχον XCY : συνέσχων SV 11 ἤγγισεν XSCY : ἤγγικεν V 11 ἤλθομεν XSY : -αμεν CV 12 post ἐπαρχίας verba ἐγώ τε καὶ ὁ διάκονος Τατιανὸς hab. V 12 ἐν τοῖς : ἐκ τῆς Y 12 εὕρομεν : -ωμεν C 13 τὸ παιδάριον τὸ μικρὸν XYV : τὸ μικρὸν παιδάριον S τὸ μικρὸν C 13 ὑπνοῦν emendavi : ὑπνοῦντα XSCYV 14 αὐτὸν (1) nos : αὐτὸ XYV αὐτῷ C, om. S 14 καὶ φημὶ πρὸς αὐτόν om. C 14 αὐτόν (2) S : αὐτό XYV

προσεκαλέσατο αὐτὸν καὶ ἀπὸ ἕωθεν οὐχ ἑώρακα αὐτόν. δοκῶ ἐν τῷ πραιτωρίῳ εἶναι αὐτόν." ἐγὼ δὲ συνέσχον ὅτι ἐν τῷ πραιτωρίῳ Βονιφάτιον ἐκδέχεται, ἢ ὅτι ἐν ἑνὶ ἡσυχαστικῷ τόπῳ καταμόνας πρόσευχεται· οὕτως γὰρ πολλαχῶς ἐποίει. ὀλίγης οὖν ὥρας διελθούσης, ἦλθε καὶ ὁ Βονιφάτιος ἐκ τοῦ πολέμου τροπωσάμενος τὸν τύραννον, καὶ πᾶσα ἡ πόλις συνελθοῦσα, ἐπεφώνουν τοὺς κατὰ συνήθειαν ἐπαίνους τῷ Βονιφατίῳ. σταθέντες οὖν ἐγὼ καὶ Τατιανὸς ἀπεβλέπομεν ἰδεῖν τὸν μακάριον σὺν τῷ λαῷ. ὡς δὲ οὐχ ἑωράκαμεν αὐτόν, ἤλθομεν ἐν τῷ εὐκτηρίῳ καὶ ἐκαθεύδομεν, νομίζοντες εἶναι αὐτὸν ἐν ἑνὶ τόπῳ ἡσυχαστικῷ, ἔνθα πολλαχῶς προσήυχετο. ἀνελθὼν οὖν ὁ Βονιφάτιος ἐν τῷ πραιτωρίῳ, ἐξέπεμψεν ἕνα τῶν παίδων αὐτοῦ πρὸς τὸν μακάριον, ἵνα ἀνέλθῃ ἐν τῷ πραιτωρίῳ καὶ εὐλογήσῃ τὸν λαόν. ἐλθὼν οὖν ὁ παῖς, εὗρεν ἡμᾶς καθεύδοντας, καὶ τὸ παιδάριον. λέγει οὖν πρὸς ἡμᾶς, "ποῦ ἐστιν ὁ ἅγιος Παγκράτιος; καλεῖ αὐτὸν ὁ ἡγεμών, ἵνα ἀνέλθῃ ἐν τῷ πραιτωρίῳ καὶ εὐλογήσῃ τὸν λαόν, ὅτι ἐκ

XSCY (usque ad 2 ἐγὼ mutil.) VO

8 - 9 Luc. 23:46

1 ἀπὸ om. XSCY (cf. infr. 423.3) 1 ἑώρακα : ἑωρακὼς S 2 post δὲ verbum Εὐάγριος hab. V 2 συνέσχον XS : συνέσχον, corr. -ων Y συνέσχων CV 2 ὅτι om. V 2 ante ἐν verbum κατελθὼν hab. V 5 ὁ om. Y 6 συνελθοῦσα XSΨV : ἐλθοῦσα C 7 post Τατιανὸς verba ὁ διάκονος hab. V 8 ἀπεβλέπομεν XSY : ἀπεβλέπαμεν C ἀνεβλέψαμεν V 8 ante ἰδεῖν verbum τοῦ hab. S 9 ἤλθομεν XSCY : -αμεν V 9 ἐκαθεύδομεν : -αμεν C 9 νομίζοντες S : λέγοντες XCYV, fort. recte 10 ἡσυχαστικῷ om. XSCY 10 προσηύχετο CV : ηὔχετο XSY, fort. recte 10 ἀνελθὼν SCV : ἀπελθὼν XY 11 ἐξέπεμψεν - πραιτωρίῳ om. Y, propter homoeoteleuton 12 ἀνέλθῃ XCV : ἔλθῃ S 12 εὐλογήσῃ V : εὐλογήσει XSCY 13 ἐλθὼν XSYV : κατελθὼν C 13 ὁ παῖς om. V 13 post καθεύδοντας verba ἐμέ τε καὶ τὸν διάκονον Τατιανὸν hab. V 14 ἅγιος XSYV : κύριος (corr. ἅγιος in marg.) ἡμῶν C 15 ἵνα XCYV : ὅπως S 15 ἀνέλθῃ SCV : ἔλθῃ XY 15 εὐλογήσῃ V : εὐλογήσει XSCY

τοῦ πολέμου ἥκαμεν." ἐγὼ δὲ πρὸς τὸν παῖδα, "ὦ παιδάριον, κἀγὼ οὐκ ἔχω ὥρας μιᾶς διάστημα ὅτι ἦκα ἐκ τῆς ἐπαρχίας, καὶ οὐκ οἶδα ποῦ ἐστιν, ὡς λέγει τὸ παιδάριον ὅτι ἓν τῷ πραιτωρίῳ ἀνῆλθεν ἀπὸ ἕωθεν. ὅμως οὖν μακροθύμησον, καὶ ὅπου δ' ἄν ἐστιν, ὀφθῆναι ἡμῖν ἔχει." ὡς δὲ ταῦτα ἐλέγομεν ἐγώ τε καὶ ὁ παῖς, ἦλθεν ἕτερος παῖς ζητῶν τὸν μακάριον. ἐγὼ οὖν, ἔτι δοκῶν ὅτι εἰς προσευχήν ἐστιν, λέγω τῷ ἑνὶ παιδί, "ἄπελθε, εἰπὲ Βονιφατίῳ μακροθυμῆσαι." ἀπελθὼν οὖν ὁ παῖς καὶ ἀναγγείλας τῷ Βονιφατίῳ, παρέτεινεν, μακροθυμῶν ἕως μεσονυκτίου. ὡς οὖν οὐκ ἐφαίνετο ὁ μακάριος, τολμήσας ἐγὼ καὶ φορέσας τὴν διπλοΐδα μου ἐξῆλθον καὶ ἀπῆλθον ἐν τοῖς τόποις ἔνθα πολλαχῶς εἶδον αὐτὸν προσευχόμενον, καὶ οὐχ εὗρον. εἰσῆλθεν δὲ Τατιανὸς καὶ εὗρε τὴν διπλοΐδα αὐτοῦ ἐν τῷ εὐκτηρίῳ, καὶ φωνήσας με λέγει πρός με, "ὦ Εὐάγριε, ἐλθὲ καὶ ἴδε τὴν διπλοΐδα τοῦ κυρίου ἡμῶν Παγκρατίου. πότε χωρὶς αὐτῆς εἰς προσευχὴν ἐξῆλθεν;" εἰσῆλθον οὖν καὶ ἑωρακώς, ἐξῆλθον πάλιν καὶ ἀποβλέψας ἄντικρυς ἑώρακα ἐν τῇ

XSCYVO

1 δὲ om. XCYV 2 post δὲ verbum *Εὐάγριος* hab. V 3 post ἔχω verbum ὡς hab. S 3 post ὡς verbum δὲ hab. V 4 ὀφθῆναι SV : ὠφθῆναι XCY 4 ἔχει : ἔχη V 5 post παῖς verbum *Βονιφατίου* hab. V 7 post ἄπελθε verbum καὶ hab. XY 8 τῷ om. SCY 9 ὁ μακάριος om. C 9 post ἐγὼ verbum *Εὐάγριος* hab. V 10 ἔνθα XCYV : ἐν οἷς S 11 πολλαχῶς XCYV : πολλάκις S 11 εἶδον C : ἴδον XSYV 13 τοῦ : αὐτοῦ, corr. τοῦ CY 14 *Παγκρατίου* om. XSCY 14 post αὐτῆς verbum ἦλθεν ἢ ἐξῆλθεν hab. C 14 ἐξῆλθεν om. C 14 εἰσῆλθον XSCY : εἰσηλθὼν V 15 ἐξῆλθον : ἐξήλθων, corr. -ον C 15 ἕωρακα XY : ἑόρακα C ἑώρα S, om. V

ῥαγάδι, καὶ ἦν ὡς ἀστραπὴ φαῖνον τὸ σῶμα τοῦ μακαρίου. κεντρωθεὶς οὖν ἐγὼ Εὐάγριος λέγω ἐν ἑαυτῷ, "τί θέλει εἶναι ἡ ἀστραπὴ ἐκείνη ἐν τῇ ῥαγάδι;" τειχίσας οὖν ἑαυτὸν τῷ σημείῳ τοῦ σταυροῦ ἀνῆλθον, καὶ ἐγγίσας τῇ ῥαγάδι ἑώρακα τὸ σῶμα τοῦ μακαρίου κειμένον, ὅλον συμπεφυρμένον τοῖς αἵμασι καὶ ἄνω τὰς χείρας ἔχοντα, καὶ ἑωρακὼς ἔκραξα φωνῇ μεγάλῃ, καὶ ἐπέβαλον κόνιν ἐπὶ τὴν κεφαλήν μου, καὶ κρατήσας ἤθελον καὶ τὸν χιτῶνά μου διαρρῆξαι. ὡς δὲ ἔκραξα, συνῆλθε καὶ Λυκαονίδης. ἦν γὰρ αὐτὴν τὴν ὥραν ἀνελθὼν πρὸς ἡμᾶς ἀπὸ τοῦ ναυκληρίου. ἦλθεν οὖν καὶ ὁ Τατιανός, καὶ ἠρξάμην περιπτύσσεσθαι τὸ τίμιον αὐτοῦ λείψανον καὶ λέγειν, "οἴμμοι, κύριέ μου Παγκράτιε, τί τὸ παράνομον τοῦτο πρᾶγμα τὸ ἐν σοὶ πραχθέν; τίς τὸ δεινότατον τοῦτο πεποίηκεν ἡμῖν; τίς τὸν ἡμέτερον ποιμένα καὶ διδάσκαλον ἀφ' ἡμῶν ἐχώρισεν; ποῖος ὗς ἐκ δρυμοῦ τὴν ἡμετέραν ἄμπελον κατενεμήσατο; οἴμμοι, κύριέ μου Παγκράτιε, ποῦ ἀκούσομαι τῆς ἡδυτάτης σου φωνῆς; ποῦ θεάσομαι τὸ βάδισμά σου τὸ πρᾶον; τίς

XSCYVO

1 καὶ om. V 1 φαίνον XY : φαίνων CV 1 - 2 φαῖνον - ἀστραπὴ om. S, propter homoeoteleuton 1 κεντρωθεὶς XCY : τρωθεὶς V 2 ἑαυτῷ XCV : αὐτῷ Y 2 post ἐκείνη verbum ἡ hab. V, ἧς hab. S 3 τειχίσας SV : τιχίσας C τειχήσας XY 3 ἀνῆλθον SC : ἀπελθὼν XY ἀπῆλθον V 4 post μακαρίου verbum Παγκρατίου hab. V 4 post κειμένον verbum καὶ hab. V 6 φωνῇ μεγάλῃ : φωνὴν μεγάλην C 6 ἐπέβαλον SC : ἐπέβαλα XYV, fort. recte 6 κόνιν nos : κόνην XCYV κόνις S 7 ἤθελον : ἔθελον C 8 αὐτὴν post τὴν tr. S, om. XYV 8 ἀνελθὼν XCV : ἐλθὼν SY 8 πρὸς ἡμᾶς om. S 9 ναυκληρίου : ναυκλήρου S 9 ἦλθεν οὖν καὶ Τατιανὸς : μαθὼν δὲ καὶ ὁ Τατιανὸς συνῆλθε S, fort. recte 9 ὁ om. V 10 περιπτύσσεσθαι XSC : -ασθαι YV 11 τοῦτο om. XSCY 13 ἐχώρισεν : ἐχώρησαν Y 15 τὸ βάδισμά σου τὸ πρᾶον : τὸ πρᾶον βάδισμα S

φωνήσει μὲ 'τέκνον Εὐάγριε'; ὦ πάτερ Παγκράτιε, οὐκ ᾔδειν ὅτι οὕτως ἔδει πραχθῆναι, ἀλλ' οὐδέποτε ἐν καρδίᾳ μου ἀνέβη. λογίζομαι δὲ ὅτι διὰ τοῦτό με ἐξέπεμψας εἰς τὴν ἐπαρχίαν, ἵνα μὴ ἴδω τὸν θάνατόν σου. διὰ τί, πάτερ, διὰ τί ἐξέπεμψάς με ἐν τῇ ἐπαρχίᾳ, ἵνα μὴ ἤμην παρών, καὶ ἐγένετο ὁ θάνατός μου ἀντὶ τοῦ θανάτου σου, πάτερ; οὐαί μοι, πάτερ, πῶς ὁρῶ τὸν τίμιον καὶ ἅγιόν σου χαρακτῆρα ὅλον τοῖς αἵμασι συμπεφυρμένον; τί ἐμοὶ καὶ τῆς ἐπαρχίας ἵνα ἀπέλθω ἐν αὐτῇ καὶ τὸν ἐμὸν κύριον ἀπολέσω; σὺ οὖν, πάτερ, ταῦτα προέγνως, καὶ διὰ τοῦτό με προέπεμψας. ὦ πάτερ, ποῖος βάρβαρος εἰσῆλθεν ἐν τῇ πόλει ταύτῃ καὶ σὲ μόνον εὑρὼν ἀπέκτεινεν;" ταῦτα δέ μου κατολοφυρομένου, ἦλθεν καὶ ὁ Βονιφάτιος. ὡς οὖν ἑώρακα Βονιφάτιον, δραμὼν μετὰ κλαυθμοῦ ἰσχυροῦ, περιεπλάκην τῷ τραχήλῳ αὐτοῦ καὶ ἐβόων λέγων, "ὦ Βονιφάτιε, ὁρᾷς τὸν κύριον ἡμῶν, πῶς κεῖται ἐν τῷ ἐδάφει τοῖς αἵμασι συμφυραθείς; τί πέπραχεν ἄτοπον ὁ κύριός μου Παγκράτιος, ὅτι ἐφονοκτονήθη;" ὁ οὖν

XSCYVO

1 ᾔδειν nos : ᾔδην XY ᾔδει S εἴδην C εἶδεν V 2 οὕτως : οὗτος S 2 ἔδει XCYV : μέλλεις S 2 ἐν XY : ἐπὶ SCV 2 καρδίᾳ XSY : καρδίαν C καρδίας V 3 εἰς τὴν ἐπαρχίαν : ἐν τῇ ἐπαρχίᾳ V 3 ἴδω : εἶδω C 4 - 5 ἵνα μὴ ἤμην παρὼν nos : ἵνα μὴ ἤμιν παρὼν S παρὼν (παρὸν C) ἵνα ἤμην (ἤμιν CY) XCYV 5 ἐγένετο XSCY : ἐδίδοτο V 5 τοῦ om. XY 6 καὶ ἅγιον post σου tr. C, ~~post~~ post χαρακτῆρα tr. Y 7 συμπεφυρμένον S : περιφυραθέντα XV, fort. recte φυραθέντα CY 7 ἐμοὶ V : μοὶ XSCY 7 post ἐπαρχίας lacunam statui 8 προέγνως S : προέγνωσας XCY προεγίνωσκες V 8 καὶ (2) om. XY 9 προέπεμψας XSCY : προέπεμψω V 9 εἰσῆλθεν XSYV : εἰσελθὼν C 10 δέ om. XSCY 10 μου post κατολοφυρομένου tr. XSCY 11 ὁ om. XC 12 δραμὼν XSYV : δραμὸν C 12 περιεπλάκην : περιεπλάκει V 13 ἐβόων : ἐβόουν V 14 ἐν τῷ om. C 14 συμφυραθείς S : φυραθείς XCYV 15 Παγκράτιος om. XSCY 15 post ὅτι verbum οὕτως hab. V

Βονιφάτιος, ὡς ἑώρακε τὸν μακάριον οὕτως κείμενον, κράξας φωνῇ μεγάλῃ ἔτυπτε τὸ στῆθος ἑαυτοῦ, καὶ διαρρήξας τὸν χιτῶνα αὐτοῦ κατήνεγκε καὶ τὴν χλαμύδα τῆς ἡγεμονίας ἀπὸ τῶν ὤμων αὐτοῦ καὶ ἵστατο τὴν τοῦ ποιμένος καὶ διδασκάλου στέρησιν θρηνῶν. λέγω οὖν πρὸς αὐτόν, "κύριε ἡγεμών, ὃ ἔδει πραχθῆναι ἐν τῷ κυρίῳ μου ἐγένετο, καὶ συνεχώρησεν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὁ προσκαλεσάμενος αὐτόν. τί ὀδυρόμεθα; ἄκουσον, ὦ ἡγεμών, ὁ κύριός μου Παγκράτιος, εἰ καὶ ἀπὼν φαίνεται, ἀλλὰ συμπαρὼν ἡμῖν ἐστίν. συγκομίσωμεν αὐτοῦ τὸ ἅγιον σῶμα πρὶν γνῶτο ἡ πόλις, καὶ κατὰ σοῦ τί ἐργάσηται, δι' ὅ, ὡς ἤκουσταί μοι, οἱ παῖδες σου πεποιήκασι τὸν φόνον· ἀλλ' ὥστε, καὶ ἐν τῷ εἶναι αὐτοὺς πιστοὺς πάνυ εἰς τὸν ἅγιον ἄνδρα τοῦτον, διασπεροῦσιν τὸ ἅγιον αὐτοῦ λείψανον. διὰ τοῦτο λέγω σοι, κύριε, τάχιστα συγκομίσωμεν αὐτὸ ἐν σπουδῇ." ὡς οὖν ἤκουσεν ὁ ἡγεμὼν ταῦτα, φοβηθεὶς πάνυ, δοκῶν ὅτι ἤκουσα ἐπιβουλὴν κατ' αὐτοῦ ἔκ τοῦ λαοῦ τῆς πόλεως, ὅπερ οὐκ ἤκουσα, ἀλλὰ κατὰ σκάνδαλον εἴρηκα,

XSCYVO

2 post *μεγάλῃ* verba *τὸ οὐαί* hab. V 2 *στῆθος* nos : *στίθος* S *πρόσωπον* XCYV, fort. recte 2 *ἑαυτοῦ* XCYV, fort. recte : *αὐτοῦ* S 2 - 3 *διαρρήξας - ὤμων*] *котьгу свою, си есть, wкронницу игемоньства сь плещу своею* Usp 3 *κατήνεγκε* : *κατένεγκε* V 3 post *τὴν* verbum *αὐτοῦ* hab. Y 3 *χλαμύδα* : *χλανίδα* V 3 *αὐτοῦ* om. XCY 4 *τὴν τοῦ ποιμένος καὶ διδασκάλου στέρησιν* om. XCYV 5 *ὃ* om. S 5 post *μου* verbum *Παγκρατίῳ* hab. V 5 *ἐγένετο* ante *ἐν* tr. V 6 *συνεχώρησεν* SCYV : *-ισεν* X 7 *ὀδυρόμεθα* XSC : *-ώμεθα* Y *-ούμεθα* V 7 *Παγκράτιος* om. XSCY 8 *ἀπὼν* : *αὐτῶν* S 8 post *ἀπὼν* verbum *οὐ* hab. Y 8 *συγκομίσωμεν* XSV : *-ίσομεν* C *-ήσωμεν* Y 9 *γνῶτο* SCY : *γνώτω* XV 9 *δι' ὅ* nos : *δι' ὧν* XSCYV 10 *πεποιήκασι* : *πεποιήκαν* V 11 *πάνυ* ante *πιστοὺς* tr. S 12 *αὐτοῦ* ante *τὸ ἅγιον* tr. S 12 *λείψανον* XSCY : *σῶμα* V 12 *κύριε* XYV : *κύρι* SC 12 post *κύριε* verbum *Βονιφάτιε* hab. V 13 *συγκομίσωμεν* S : *-ισομεν* X(*συν-*)C *-ήσωμεν* Y *-ίσαι* V, fort. recte 13 *ἤκουσεν ὁ ἡγεμὼν* V : *ἐλάλησα τῷ ἡγεμόνι* XSCY, fort. recte 15 post *εἴρηκα* verbum *αὐτῷ* hab. V

φησὶν ὁ Βονιφάτιος πρός με, " καί γε κἀγὼ ἔγνωκα, σιωπῶ δέ, καὶ εἴ τι κελεύεις, ποίησον." συλλαβόμενοι οὖν τὸ ἅγιον αὐτοῦ σῶμα, ὡς ἦν τοῖς αἵμασι πεφυρμένον, οὕτως εὑρόντες καταβάσιον ὡσεὶ ὀργυίων τριάκοντα ἔχον βάθος, ἐλθούσης καὶ τῆς ἁγιωτάτης Παυλίνης σὺν τῶν μετ' αὐτῆς παρθένων, καὶ ποιησάσης θρῆνον καὶ κοπετὸν ἐπάνω τοῦ τόπου, ἔλεγεν, "συνταφήσωμαι κἀγὼ τῷ ἐμῷ πατρί. ἐλθέτωσαν οἱ βάρβαροι οἱ ἀποκτείναντες τὸν κύριόν μου καὶ ἀποκτεινάτωσαν κἀμέ, καὶ συνταφήσομαι αὐτῷ. ὦ Εὐάγριε, τί σοὶ καὶ τῆς ἐπαρχίας; πῶς εἰσῆλθον οἱ βάρβαροι καὶ ἀπέκτειναν τὸν κύριον ἡμῶν Παγκράτιον;" ταῦτα οὖν καὶ πλείονα τούτων θρηνήσασα ἡ μακαρία σὺν τῶν μετ' αὐτῆς παρθένων, ἔστημεν ἐπάνω τοῦ καταβασίου καὶ ἐποιήσαμεν τὴν πρέπουσαν ψαλμῳδίαν· ἦν γὰρ τὸ καταβάσιον πλησίον τῆς ῥαγάδος ἔνθα καὶ νῦν ἐστιν. ὁ οὖν Βονιφάτιος πρός με, "οὐ πρέπον ἐστιν τὸν ἅγιον Παγκράτιον χωρὶς θήκης εἶναι." ἐγὼ δὲ πρὸς αὐτόν, "ἀπὸ τοῦ νῦν, ὡς κελεύεις ποίησον, μόνον μὴ γνῶτο ὁ λαὸς τῆς πόλεως τάχιστα

XSCYVO

1 post με verba ὦ Εὐάγριε hab. V 1 κἀγὼ : ἐγὼ S 2 ante τοῖς verbum σὺν hab. SY 3 καταβάσιον SV : κατάβασιν XCY 3 ὡσεὶ SCV : ὡς XY 3 ὀργυίων XV : ὀργύας S ὀργίας C ὀργύων Y 4 ἔχον S : ἔχων XCY ἔχοντα V 4 βάθος V : βαθμοὺς XSCY 4 Παυλίνης : Παυλίνας, corr. -ης X 5 αὐτῆς : αὐτῶν X, corr. αὐτῆς X^1 5 θρῆνον XSV : θρῖνον, corr. θρῆνον C θρήνων Y 5 κοπετὸν : κοπετῶν S 6 συνταφήσωμαι : συνταφήσωμαι, corr. -ομαι C συνταφήσομαι XSYV 7 ἀποκτείναντες : -οντες S 7 ἀποκτεινάτωσαν XSCY : ἀποκτείνοσιν V 8 σοὶ XSCY : σὺ V 9 εἰσῆλθον V : εἰσῆλθων S εἰσήλθαν C εἰσήλθωσαν XY 9 ἀπέκτειναν S : ἀπεκτείνασι XCY ἀπεκτάνκασιν V, fort. ἀπεκτάγκασιν legendum 9 ἡμῶν SCV : μου XY 10 θρηνήσασα : θρηνήσα S 11 καὶ ἐποιήσαμεν - $^{12}_{\wedge}$καταβασίον om. XY, propter homoeoteleuton 11 - 12 τὴν πρέπουσαν ψαλμῳδίαν] лъпое пѣтиѥ Usp 12 γὰρ XCYV : δὲ S 14 Παγκράτιον om. V 15 ὡς XSCY : ὁ V 15 μόνον post μὴ tr. S 15 γνῶτο : γνώτω X

τὴν θήκην ταύτην." ὁ δὲ Βονιφάτιος πρός με, "ὡς προεῖπόν σοι, ὦ Εὐάγριε, κατὰ πάντα, ἃ λαλήσεις πρός με, ὑπακούσομαι σοί," καὶ ἀνελθὼν τάχιστα ἐν τῷ πραιτωρίῳ, ἤνεγκε χρυσὸν καὶ ἄργυρον καὶ χρυσοχόους πιστοὺς τοῦ πραιτωρίου, καὶ ἐποίησε πέταλα ἕνα μὲν χρυσοῦν καὶ ἕνα ἀργυροῦν καὶ κατεσκεύασεν ἔντιμον τὴν θήκην. τῇ οὖν ἕωθεν ἐνέγκας ὁ Βονιφάτιος πάντας τοὺς παῖδας τοῦ πραιτωρίου, ἐζήτει τοὺς βαλόντας χείρας ἐπὶ τὸν μακάριον, καὶ διεπέμψατο τῇ συγκλήτῳ μὴ συνελθεῖν ἐν τῷ πραιτωρίῳ, ἵνα καταμόνας ζήτησιν ποιήσηται τοῦ πραχθέντος. ὡς δὲ ἤλθομεν ἐν τῷ πραιτωρίῳ, ἐνέγκας πάντας, εἶπεν πρὸς αὐτούς, "τίς ἡμῖν πεποίηκεν τὸ ἀθέμιτον πρᾶγμα τοῦτο; τίς εἰσῆλθεν ἐν τῇ πόλει ταύτῃ καὶ μονώτατον τὸν ἅγιον Παγκράτιον ἀπέκτεινεν; εἰ ἦν εἰσελθὼν βάρβαρος ἐν τῇ πόλει, καὶ ἑτέρους εἶχεν ἀποκτεῖναι, ἀλλὰ καὶ οἱ ἐν τῇ πόλει γνῶναι εἶχον τὸν θόρυβον. εἴπατέ μοι, τίς ἐπέβαλε χείρας ἐπὶ τὸν ἄνδρα τοῦτον τὸν ἅγιον;" οἱ δὲ παῖδες Βονιφατίου πρὸς ἡμᾶς, "οὐκ οἴδαμεν τί γέγονεν, ὦ

XSCYVO

2 λαλήσεις : λαλήσει S 2 ὑπακούσομαι SCV : ὑπακούσω XY, fort. recte 2 σοί XCYV : σου S, fort. recte 3 ἀνελθὼν V : ἀπελθὼν XSCY 3 ἤνεγκε SV : ἔνεγκε XCY 3 χρυσὸν YV : χρυσίον XSC 4 πέταλα om. V 4 ἕνα μὲν om. S 4 ἕνα : ἓν S 5 τὴν om. S 7 ἐζήτει : ἐπεζήτει S 7 post ἐζήτει verbum πάντας hab. V 7 βαλόντας XY : βαλῶντας C ἐπιβάλλοντας S ἐπιβαλόντας V, fort. recte 7 ἐπὶ V : εἰς XSCY 7 διεπέμψατο SYV : -ατω XC 9 ποιήσηται XSV : -σειται CY 9 πραχθέντας : πραχθέντες, corr. -θέντος S 10 πάντας XY : ἅπαντας SCV 10 τίς ἡμῖν πεποίηκεν V : εἰς τί πεποιήκατε XSCY 12 ἀπέκτεινεν XCYV : ἀπέκτανκεν S 13 γνῶναι XSCY : γνῶσαι V 14 - 15 τοῦτον τὸν ἅγιον om. V 15 Βονιφατίου : Βονιφατίῳ S

ἡγεμών. χθὲς καὶ σήμερον οὐχ ἑωράκαμεν αὐτόν." ἐγὼ οὖν πρὸς αὐτούς, "ὦ ἄνθρωποι, τί πρὸς τὸ μικρὸν παιδάριον τὸ λαλήσαν μοι ὅτι 'Ἀρτάγαρος ὁ ἐπίτροπος κέκληκεν αὐτὸν ἐν τῷ πραιτωρίῳ;' " ἔτι οὖν ἐμοῦ λέγοντος, ἰδού, καὶ τὸ παιδάριον ἦλθεν, ὅπερ κατεδίωξαν οἱ ἀνόσιοι, ἵνα ἀποκτείνωσι αὐτό, τὸ κατελθὸν τὸ ὕψος τοῦ κρημνοῦ κράζον, "ὦ ἡγεμών, τὸν ἅγιον Παγκράτιον Ἀρτάγαρος ἐφόνευσεν ὁ Χανανεὺς μετὰ τῶν συνδούλων αὐτοῦ, κἀγώ, κύριε ἡγεμών, μόλις ἐξέφυγον τὰς χείρας αὐτῶν, ἐπεὶ κἀμὲ ἤθελον ἀποκτεῖναι, ὄντα μετ' αὐτοῦ," καὶ ἐκράτει τοὺς πόδας τοῦ ἡγεμόνος. πληροφορηθεὶς οὖν ὁ ἡγεμών, οὐ μὴν ἀλλὰ καὶ ἡ ἁγιωτάτη Παυλῖνα λέγει τῷ Βονιφατίῳ, "κἀγώ, ἡγεμών, ἤκουσα τὴν φωνὴν τοῦ παιδός, ἀλλ' οὐκ ~~εἶδον~~ ὅτι τοιοῦτόν τι πέπραχαν." ἀκούσας δὲ καὶ ταύτης τῆς ἁγίας, καὶ πλεῖον πεισθείς, ἐκέλευσεν ἀποδυθῆναι αὐτοὺς καὶ τύπτεσθαι ἐκ τεσσάρων. ὡς οὖν ἐτύπτετο ὁ Ἀρτάγαρος, λέγω πρὸς Βονιφάτιον, "τολμῶν δυσωπῶ τὴν σὴν ἀξίαν, ἡγεμών, μὴ ὀλέσωμεν τοὺς ἄνδρας οὕτως

ἢ ἴδειν

XSCYVO

2 ὦ ἄνθρωποι om. C 5 ἀνόσιοι XYV : ἄνομοι SC 5 αὐτὸ τὸ κατελθὸν τὸ ὕψος V : τὸ ὂν μετ' αὐτοῦ (αὐτῶν XY) τὸ (τοῦ X) κατέλθον (κατελθὼν CY) τὸ ὕψος XSCY 6 κράζον S : κράζοντα XCYV 6 ἐφόνευσεν XSCY : ἔσφαξεν V 7 Χανανεὺς : Χαναναῖος S 7 μετὰ τῶν : τῶν μετ' αὐτῶν S 7 συνδούλων V : ὁμοδούλων XSCY 8 ἤθελον : ἔθελον C 8 - 9 ὄντα μετ' αὐτοῦ om. V 10 μὴν : μὴ δὲ Y 10 Παυλῖνα : Παυλίνη V 10 post Παυλῖνα verbum ἐλθοῦσα hab. V 11 ἡγεμών om. XSCY 11 τὴν φωνὴν om. SC 11 εἶδον S ἴδειν XY οἶδων C εἰδεῖν V 12 τοιοῦτόν : τοιαύτη S 12 τι XYV : τόλμη S τόλμημα C 12 πλεῖον S : πλέον XCYV 13 πεισθείς V : πησθεὶς X πισθεὶς Y πλησθεὶς C πλησθεὶς θυμοῦ S 13 αὐτοὺς post ἐκέλευσεν tr. S 15 ante ἡγεμών verbum κύριε hab. V 15 ὀλέσωμεν XSV : ὠλέσομεν CY 15 οὕτως XSYV : τούτους C

κακῶς μὴ λαβόντας τὸ ἅγιον βάπτισμα, εἰ καὶ ὁ κύριός μου Παγκράτιος οὕτως πρὸς κύριον ἐπανέλυσεν, καὶ βαπτίσωμεν αὐτοὺς καὶ μὴ εἰς τέλος ἀπολοῦνται." ὁ δὲ Βονιφάτιος ἐπὶ πλεῖον μανεὶς καὶ θυμοῦ πλησθείς, στραφεὶς πρός με σοβαρῷ τῷ ὄμματι λέγει, "ὦ Εὐάγριε, πῶς οὐκ ἐνάρκησε τὸ στόμα σου ἢ ἡ γλῶσσά σου οὐκ ἐκράτηται, ὡς ἐλάλησας τὸ ῥῆμα τοῦτο; εἰ μεταστραφήσεται καρδία δράκοντος εἰς καρδίαν ἀμνοῦ, μεταστραφήσονται καὶ οὗτοι γενέσθαι Χριστιανοί. εἰ ὅλως τοῦ συζῆσαι αὐτοὺς μεθ' ἡμῶν, μάλιστα Ἀρτάγαρον τὸν πολύκρεον καὶ εἰδωλολάτρην ζῇ κύριος Ἰησοῦς Χριστὸς ὁ θεὸς ἡμῶν, ὅτι οἰκείᾳ μου χειρὶ ἀποκτενῶ αὐτούς." ἦν γὰρ πάνυ ἐπιτήδειος ὁ Βονιφάτιος πρὸς τὸ γυμνᾶσαι μάχαιραν. ἐκέλευσεν οὖν ὁ Βονιφάτιος τοῖς παισὶν αὐτοῦ ἔτι δαρῆναι τοὺς πανούργους καὶ ἀνοσίους. οὕτως δὲ αὐτοὺς ἔτυψαν, ὥστε καὶ τὰ ὀστᾶ αὐτῶν φανῆναι, καὶ λαβόμενος τὴν μάχαιραν αὐτοῦ, ὡς Φινεὲς ἐξιλάσατο τὴν ἁμαρτίαν, καὶ οἰκείᾳ χειρὶ ἀπέκτεινεν αὐτούς. ὡς δὲ ἔπεσον τὰ μιαρὰ

XSCYVO

14-15, cf. Nu. 25:8, Ps. 105(106):30

2 οὕτως : οὗτος S 2 καὶ XYV : κἂν SC 2 βαπτίσωμεν SV : -σομεν XCY 3 ἀπολοῦνται XSCY : ἀπόλλυνται V 3 μανεὶς SCV : μανῆς XY 4 τῷ om. V 4 post λέγει verbum μοι hab. V 5 σου om. S 6 ἐκράτηται : κεκράτητε S 6 ὡς XSCY : πῶς V 7 μεταστραφήσονται SCV : στραφήσονται XY 8 εἰ V : ἢ XSCY 8 συζῆσαι XCY : συνζῆσαι V ζῆσαι S 8 post αὐτοὺς verbum εὐσεβῶς hab. X, post ζῆσαι hab. S 10 μου post χειρὶ tr. CV 10 ἀποκτενῶ SV : ἀποκτείνω XCY 11 ὁ Βονιφάτιος om. Y 12 πανούργους XSCY : κακούργους V 13 ἔτυψαν SYV : ἔτοιψαν C ἔτυψεν X 14 Φινεὲς V : Φηνεὲς XCY Φηνὲς S 15 ἔπεσον SC : ἔπεσαν XYV

αὐτῶν σώματα ἐν τῷ ἐδάφει, ἐφάνησαν ὡσεὶ κυνῶν καὶ δρακόντων τὰ ἄθλια τὰς μορφὰς ἔχοντα, καὶ ἐκέλευσεν τοῖς παρεστῶσι ῥιφῆναι ταῦτα κατὰ τοῦ κρημνοῦ εἰς τὴν θάλασσαν. μετὰ οὖν τρίτην ἡμέραν ἐκέλευσεν ὁ Βονιφάτιος τὴν σύγκλητον συνελθεῖν ἐν τῷ πραιτωρίῳ, καὶ εἰσελθόντες καὶ καθίσαντες ἐν τῷ σεκρέτῳ, εἶπεν ὁ Βονιφάτιος πρὸς αὐτούς, "οἴδατε, ὦ ἀδελφοί, ὅτι ὁ πατὴρ ἡμῶν Παγκράτιος τὸν ἀνθρώπινον ὑπεξῆλθε βίον;" οἱ δὲ ὡς ἐξ ἑνὸς στόματος εἶπον πρὸς Βονιφάτιον, "οἴδαμεν, ὦ ἡγεμών, τὸ ἄτοπον, ὃ πεπράχασιν οἱ παῖδές σου, ἀλλὰ μὴ γένοιτο, κύριε ἡγεμών, κατὰ τὸ σκάνδαλον ὑμῶν διαπράξασθαι εἰς ὑμᾶς·" ἦν γὰρ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τῇ πρεσβείᾳ τοῦ ἁγίου Παγκρατίου διασκεδάσας τὴν ὀργίλον βουλὴν τοῦ λαοῦ τῆς πόλεως. ἔτι δὲ ἔλεγον, "μὴ γένοιτο, κύριε ἡγεμών, ἄρχοντι ἡμῶν ἐρεῖν κακόν· Χριστιανοῖς γὰρ ἀπρεπές ἐστιν τοῦτο, καὶ μάλιστα ἐκδικήσεως γενομένης παρ' ὑμῶν ἐπὶ τοὺς ἄνδρας τοὺς ἐπιβαλόντας χείρας ἐπὶ τὸν ἅγιον." εἷς δέ τις πάνυ σοφὸς καὶ γηραλέος, ἀναστὰς

XSCYVO

1 - 2 τὰ ἄθλια om. Y 2 post παρεστῶσι verbum παισὶ hab. V 3 ταῦτα XSYV : αὐτὰ C 3 κατὰ om. Y 4 συνελθεῖν S : ἐλθεῖν XCYV 5 καὶ εἰσελθόντες om. S 5 καθίσαντες XYV : καθήσαντες SC 6 ὦ ἀδελφοί om. V 6 - 7 τὸν ἀνθρώπινον ὑπεξῆλθε βίον] изъ человѣческаго житія изыде Usp 7 ὑπεξῆλθε βίον XYV : βίον ὑπεξῆλθεν S βίον ἐξῆλθεν C 8 πεπράχασιν V : πέπραχαν XSY πέπραχεν, corr. -αν C 9 ἡγεμών : ἡμῶν S 9 ὑμῶν XSYV : ἡμῶν C 10 διαπράξασθαι : -ασθε S 10 ἡμῶν : ὑμῶν Y 11 τοῦ ἁγίου : τῶν ἁγίων V 11 ὀργίλον (ὀργήλον X) βουλὴν XSCY : ὄργην καὶ τὴν βουλὴν V 12 - 13 ἡγεμών, ἄρχοντι ἡμῶν nos : ἡμῶν ἄρχοντι ἡμῶν SC ἡμῶν ἄρχοντι XY ἡγεμὼν V 13 ἐρεῖν SYV : εἰρεῖν X εὑρεῖν C 13 ἀπρεπές XSY : ἀπρεπόν CV 14 γενομένης XY : γινομένης SC γεναμένης V 14 ὑμῶν XYV : ἡμῶν, corr. ὑμῶν C ἡμῶν S 14 ἐπὶ XCY : εἰς SV, fort. recte 15 ante χείρας verbum τὰς hab. S 15 πάνυ om. C 15 γηραλέος SV : γηραλαίος XCY

ἐνώπιον πάντων λέγει, "τοῦτό ἐστιν εἰς θλῖψιν πάνυ, ὅτι οὐ συμπαρῆμεν καὶ εἴδομεν τὴν ὄλεσιν τῶν ἐπιβαλόντων χείρας ἐπὶ τὸν ἅγιον." τότε ὁ Βονιφάτιος, ἀρξάμενος ἀπ' ἀρχῆς διηγήσατο αὐτοῖς περὶ τῆς κηδείας καὶ πάντων τῶν συμβεβηκότων. ἡ οὖν σύγκλητος πρὸς Βονιφάτιον, "κατὰ πάντα εὐχαριστοῦμεν τῷ κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ τῷ καλέσαντι ἡμᾶς κλήσει ἁγίᾳ." εἶπον δὲ ἐγὼ Εὐάγριος πρὸς Βονιφάτιον, "εὐχαριστῶ σοι, κύριε ἡγεμών, ὅτι πάντα καλῶς διηγήσω ἐνώπιον τῆς συγκλήτου, μὴ φανερώσας αὐτοῖς ποῦ κατεθέμεθα τὸ τίμιον σῶμα τοῦ ἁγίου. λέγω δέ σοι ὅτι, ὅτε ἔπεμψεν ἐμὲ καὶ Τατιανὸν εἰς τὴν ἐπαρχίαν, διετάξατό μοι διατάξεις, ἃς παρελθεῖν οὐ δύναμαι." ὁ δὲ ἡγεμὼν πρός με, "εἴ τι ἤκουσας ἐκ τοῦ ἁγίου στόματος αὐτοῦ χρῆσαι, ὡς εὐγνώμων υἱὸς καὶ ὑπακούσας, φύλαξον." τότε ἐγὼ πρὸς αὐτόν, "κύριε ἡγεμών, ἐκέλευσέν μοι, ἵνα συμπαραλάβῳ σε καὶ τῆς συγκλήτου ἄνδρας, καὶ ἀποπλεύσαντες ἀπέλθωμεν ἐν Ῥώμῃ πρὸς τὸν ἀπόστολον Πέτρον, καὶ ποιήσει ἡμῖν πρόνοιαν τῆς ἐπισκοπῆς ταύτης

XSCY (7 *διηγήσω* - 435.11 *Λυκαονίδης* mutil.) VO

1 post *θλῖψιν* verbum *ἡμῶν* hab. V 2 *εἴδομεν* S : *ἴδομεν* XY *ἴδωμεν*, corr. *-ομεν* C *οἴδαμεν* V 2 *ὄλεσιν* SCV : *ὤλεσιν* XY 2 *ἐπιβαλόντων* XYV : *ἐπιβαλότων* C *ἐπιβαλλόντων* S 2 *ἐπὶ* XSY : *εἰς* CV 3 post *αὐτοῖς* verba *πάντα τὰ* hab. C, *τὰ* hab. V 4 *πάντων* om. C 5 ante *Βονιφάτιον* verbum *τὸν* hab. C 5 *Βονιφάτιον* : *αὐτὸν* Y 6 *ἐγὼ* post *Εὐάγριος* tr. V 7 post *κύριε* verba *Ἰησοῦ Χριστὲ ἐπαινῶ καί σε* hab. C 9 *τίμιον* om. Y 9 *ἔπεμψεν* V : *ἔπεμπεν* XSCY 10 *δύναμαι* : *δύνομαι* C 11 *δὲ* om. C 11 *εἴ τι* XY : *ἤ τι* C *ὅτι* SV 14 *συγκλήτου* : *συγκλήτω* S 14 *ἀπέλθωμεν* SY : *-ομεν* XCV 15 *ποιήσει* XSCY : *ποιήση* V

τῆς πόλεως." ὁ δὲ Βονιφάτιος πρός με, "πολλαχῶς εἴρηκά σοι, ὡς βούλει, ποίησον. κατὰ πάντα, ἃ λαλήσεις ἡμῖν, ὑπακουσόμεθά σου, ὡς ὑπηκούσαμεν τοῦ ἁγίου Παγκρατίου." ταῦτα λαλήσαντες, ἐξανέστημεν ἐκ τῶν καθεδρῶν ἅπαντες. παραλαβὼν οὖν ἐγὼ τὸν παῖδα, κατήλθομεν εἰς τὸ εὐκτήριον καὶ ἠρξάμην αὐτὸν ἐρωτᾶν καὶ φημί, "τὸν φόβον τοῦ θεοῦ, ᾧ παρίστασαι, παιδάριον, ὅτε οἱ κάκιστοι ἄνδρες τὰς χείρας ἐπέβαλον ἐπὶ τὸν κύριόν μου Παγκράτιον, τί πρὸς αὐτοὺς ἀπεφθέγγετο;" ὁ δὲ παῖς μετὰ δακρύων ἔλεγεν, "οὐδὲν αὐτοῖς ἀπεκρίνατο, ἄνω δὲ τὸ ὄμμα ἔχων καὶ τὰς χείρας ἔλεγεν, 'κύριε, εἰς χείρας σου παρατίθημι τὸ πνεῦμά μου.'" οὗτος ὁ παῖς πάντα, ἃ ἐποίησαν οἱ ἀνόσιοι τῷ μακαρίῳ διηγήσατο ἡμῖν, καὶ πάντα ἀνεγραψάμεθα. μετὰ οὖν ἑβδόμην ἡμέραν καθεζομένου μου ἐν τῷ εὐκτηρίῳ, ἐγένετο ἔκστασις ἐπ' ἐμέ, καὶ συνεσχέθην ὕπνῳ πολλῷ, καὶ ἑώρακα ἄνδρας λευχειμονοῦντας τὸν ἀριθμὸν δεκαδύο, ἀνὰ ἓξ καὶ ἓξ καὶ μέσον τὸν μακάριον τὴν στολὴν αὐτοῦ φοροῦντα, μεθ' ὧν ἔβλεπον

XSCY (mutil.) VO

1 τῆς πόλεως om. XSCY 2 βούλει CYV : βούλη XS, fort. recte 2 λαλήσεις : -σης Y 2 ὑπακουσόμεθά : -σώμεθά Y 3 ὑπηκούσαμεν V : ἠκούσαμεν XSCY 3 τοῦ ἁγίου Παγκρατίου SC : τῷ ἁγίῳ Παγκρατίῳ XV καὶ τῷ ἁγίῳ Παγκρατίῳ Y 3 - 4 ταῦτα λαλήσαντες - ἅπαντες : καὶ ἐξανέστημεν πάντες ἐκ τῶν καθεδρῶν ἡμῶν C 5 κατήλθομεν XSC : -ωμεν Y -αμεν V 5 αὐτὸν : αὐτῶν Y 6 post φόβον verbum σοι hab. CV 6 τοῦ θεοῦ : τῷ θεῷ S 6 ᾧ : ὃ V 6 παρίστασαι SV : παρίστασε C παρήστασαι X παρήστασε Y 6 παιδάριον : φησίν X 7 ἐπέβαλον XYV : ἐπέβαλλον SC 8 ἀπεφθέγγετο XSV : ἐφθέγγετο CY 8 οὐδὲν - ἔλεγεν om. S, propter homoeoteleuton 10 οὗτος XSYV : οὕτως C 11 ἐποίησαν XSCY : πεποίηκαν V 11 - 12 καὶ πάντα ἀνεγραψάμεθα om. Y 14 λευχειμονοῦντας S : λευκοσχημονοῦντας 14 τὸν ἀριθμὸν XV : τῶν ἀριθμῶν SCY 14 δεκαδύο XSCY : δώδεκα V 15 ὧν SYV : ὃν XC

δορυφόρον ὄντα τὸν μακάριον, καὶ εἱστήκησαν καὶ αὐτοὶ οἱ δορυφόροι κάλλιστοι, καὶ λέγει ὁ μακάριος πρός με, "τέκνον Εὐάγριε, προσέγγισόν μοι." προσεγγίσαντος δέ μου, λέγει μοι, "διὰ τί οὐκ ἔδωκας ὁσίᾳ ταφῇ τὸ σῶμά μου, ἀλλ' οὕτως χρυσίῳ καὶ ἀργυρίῳ κατεκάλυψας, καὶ ἐν τρώγλῃ διαβολικῇ τοῦτο κατέκρυψας; πότε με ἑώρακας χρυσίον ἢ ἀργύριον ἀγαπήσαντα; μή, τέκνον, οὕτως, ἀλλὰ δὸς τὴν γῆν τῇ γῇ, καὶ ἀνενέγκον τὸ ταπεινόν μου σῶμα ἐκ τοῦ βοθύνου ἐκείνου." ταῦτα ἀκούσας ὑπὸ τοῦ μακαρίου ἐν τῇ ὁράσει, διυπνίσθην καὶ φόβος πολὺς ἐπέπεσεν ἐπ' ἐμέ. τότε προσκαλεσάμενος ἐγὼ Βονιφάτιον καὶ Λυκαονίδην καί τινας τῆς πόλεως εὐλαβεῖς ἄνδρας, διηγησάμην αὐτοῖς τὴν ὀπτασίαν καὶ πῶς ἐκέλευσεν ἀνενεχθῆναι τὸ τίμιον σῶμα αὐτοῦ ἐκ τοῦ βοθύνου ἐκείνου. ὁ δὲ Βονιφάτιος πρός με, "καλῶς ἑώρακας, Εὐάγριε, ἐπειδὴ διὰ τὴν τοῦ λαοῦ ἐπανάστασιν ταχύναντες, ὡς ἦν σὺν τοῖς αἵμασι καταμολυνθείς, κατεθέμεθα αὐτὸν ἐν ἀπρεπεῖ τόπῳ. ὡς δὲ εἴρηκέν σοι ἐν τῇ ὀπτασίᾳ, ποίησον." λέγω οὖν

XSCY (mutil.) VO

1 ὄντα post μακάριον tr. V 1 ~~εἱστήκησαν nos :~~ εἱστήκεισαν S ἱστήκησαν XCYV 1 δορυφόροι : διφόροι X 4 ἀργυρίῳ XSCY : ἀργύρῳ Y 5 ἐν τρώγλῃ nos : ἐν τρόγλῃ XYV τρώγλῃ S στρογλῇ C 5 με post ἀγαπήσαντα tr. C 6 χρυσίον XSCV : χρυσὸν Y 6 ἀργύριον SCV : ἄργυρον X ἄργυρων Y 6 ante ἀλλὰ verbum μή hab. Y 7 ἀνενέγκον XCV : ἀνένεγκε SY 7 μου post σῶμα tr. CY 9 ἐγὼ : *Εὐάγριος* V 11 ἀνενεχθῆναι : ἀνανεχθῆναι V 12 τίμιον om. CY 12 αὐτοῦ ante ~~σῶμα~~ σῶμα tr. S 12 ὁ δὲ *Βονιφάτιος πρός με* in marg. hab. Y 14 σὺν om. V 14 αὐτὸν SCV : αὐτῷ XY 15 εἴρηκεν XSCY : ἑώρακεν V 15 σοι add. X[1]

πρὸς Βονιφάτιον καὶ πάντας τοὺς συμπαρόντας ἡμῖν, "ἀκούσατε, ἀδελφοί, συνέλθωμεν ἅπαντες καὶ ποιήσωμεν ἑτέραν θήκην καὶ ἑτοιμάσωμεν ἅπασαν χρείαν καὶ ποιήσωμεν παννύχιον ἐπάνω τοῦ καταβασίου, καὶ οὕτως ἀναφέρωμεν τὸ ἅγιον αὐτοῦ σῶμα," καὶ ἤρεσεν ὁ λόγος ἐνώπιον πάντων. τάχιστα οὖν ἐνέγκαντες λίθους λαξευτοὺς Λακεδαιμονικούς, ἐποίησαμεν θήκην καὶ οἰκίσκον μικρὸν ὑφαντόν, καὶ ἦλθον ἄνδρες πάνυ εὐλαβεῖς καὶ ἔστημεν ἐπάνω τοῦ καταβασίου, καὶ ποιήσαντες τὸ παννύχιον καὶ τὴν πρέπουσαν ψαλμῳδίαν, ἠνέγκαμεν κλίνην καὶ ἠνοίξαμεν τὴν θύραν τοῦ καταβασίου. κατηνέγκαμεν δὲ τὴν κλίνην ἐγὼ καὶ Τατιανὸς καὶ Λυκαονίδης σὺν Βονιφατίῳ, καὶ ἀποσκεπάσαντες τὸν χρυσὸν καὶ τὸν ἄργυρον, ὃν ἦν Βονιφάτιος ποιήσας, ἑωράκαμεν τὸ σῶμα τοῦ μακαρίου, καὶ ἦν ὅλον ὡς φῶς, μὴ ἔχον ῥανίδα ἐκ τῶν κρουνισθέντων αἱμάτων, οὔτε τῶν μαχαιρῶν, οὔτε τῶν λίθων, οὔτε τὸν τῶν ξύλων μώλωπα, ἀλλ' ἦν ὅλον ἠμφιεσμένον, ὡς ἦν ἰδεῖν καὶ ἐν τούτῳ

XSCY (usque ad 11 *Λυκαονίδης* mutil.) VO

2 *συνέλθωμεν* SV : *-ομεν* XCY 2 - 3 *ἑτέραν - ἑτοιμάσωμεν* om. V 3 *ποιήσωμεν* SCYV : *-σομεν* X 3 *παννύχιον* : *πανύχιον* V 4 *ἀναφέρωμεν* SCV : *-ομεν* XY 6 *Λακεδαιμονικούς* XSY(mutil.)V : *Λακεδεμονικούς* C 7 *ἦλθον* XCY : *-αν* SV 8 - 10 *καὶ ποιήσαντες - καταβασίου* om. V, propter homoeoteleuton 8 *παννύχιον* : *πανύχιον* C 9 *ἠνέγκαμεν* SCV : *καὶ ἐνέγκαμεν* XY 10 post *δὲ* verbum *καὶ* hab. CV 10 post *ἐγὼ* verbum *τε* hab. V

11 - 12 *τὸν χρυσὸν - ποιήσας* om. Y 11 *χρυσὸν* S : *χρυσοῦν* XCV 12 *ὃν* : *οὗ* S 13 *μακαρίου* XSCV : *ἁγίου* Y 13 *ἔχον* V : *ἔχων* XSCY 13 *κρουνισθέντων* S : *κρονισθέντων* XCYV 14 *τὸν τῶν* nos : *τὸν* CY *τῶν* XV, fort. recte *τὸ* S 15 *ἠμφιεσμένον* : *ἠμφιασμένον* C

πληρούμενον τὸ τοῦ προφήτου ῥητόν, 'κύριος φυλάσσει πάντα τὰ ὀστᾶ αὐτῶν· ἓν ἐξ αὐτῶν οὐ συντριβήσεται.' ἑωρακὼς οὖν ὁ Βονιφάτιος τὸ μέγα καὶ παράδοξον τοῦτο θαῦμα, ὅτι τὸ περιφυρμένον ὅλον ταῖς πληγαῖς καὶ τοῖς αἵμασι σῶμα, ἀμφίοις καὶ σαρκὶ καθαρὸν ὡς φῶς ὅλως τῇ χάριτι Χριστοῦ ἐφωτίσθη, ἀνελθόντος δὲ τοῦ τιμίου σώματος αὐτοῦ ἐκ τοῦ βοθύνου ἐκείνου, ἐπληρώθη εὐωδίας ὁ τόπος. τάχιστα οὖν ἐκπέμψας ὁ Βονιφάτιος κήρυκας ἐν τῇ πόλει τοῦ συνελθεῖν ἅπαντας καὶ θεάσασθαι τὸν μακάριον Παγκράτιον. συνῆλθεν οὖν πᾶς ὁ λαός, ἄνδρες καὶ γυναῖκες σὺν θηλαζόντων νηπίων, καὶ εἰσερχόμενοι προσεκύνουν τὸ σῶμα τοῦ μακαρίου καὶ ἔλεγον, "δόξα σοι Χριστὲ ὁ θεὸς ἡμῶν ὁ δοξάζων τοὺς δοξάζοντάς σε, ὁ ποιῶν θαυμάσια διὰ τῶν ἁγίων σου, ὁ καὶ Παγκράτιον οὕτως δοξάσας· ποτὲ γὰρ τοιαύτης εὐωδίας ὀσμὴν οὐκ ὠσφράνθημεν." οὕτως λοιπόν, πάντων ἑωρακότων τὸν μακάριον καὶ κορεσθέντων τῆς εὐωδίας ἐκείνης, συνελαβόμεθα καὶ κατεθέμεθα τὸν μακάριον ἐν τῇ θήκῃ, ἣν ἦμεν ποιήσαντες ἐκ τῶν λίθων τῶν

XSCYVO

1 - 2 Ps. 33:21, Jn. 19:36

1 *φυλάσσει* : *φυλάξει*, corr. *φυλάσσει* Y 2 *τὸ* om. S 3 *περιφυρμένον* SV : *πεφυρμένον* XY *περιφυρὲν* V 4 post *σῶμα* verbum *ἦν* hab. V 4 post *καθαρὸν* verbum *ἦν* hab. S 5 *ὅλως* XYV : *ὅλος* SC 5 ante *Χριστοῦ* verbum *τοῦ* hab. V 6 *αὐτοῦ* ante *σώματος* tr. CV 7 *ὁ Βονιφάτιος* post *πόλει* tr. Y 8 *ἄνδρες* : *ἄνδρας* S 9 ante *καὶ* (1) verbum *τε* hab. CV 9 *γυναῖκες* : *γυναίκας* S 9 *νηπίων* SCV : *παιδίων* XY 11 *δοξάζοντάς σε* V : *σε δοξάζοντας* (*-ωντας* Y) XCY *εἴς σε δοξάζοντας* S 12 *καὶ* om. C 12 *δοξάσας* : *ἀναδείξας* C 12 *εὐωδίας* post *ὀσμὴν* tr. Y 12 *ὀσμὴν* : *ἡ ὠσμῆς* C 13 *ὠσφράνθημεν* SC : *ὀσφράνθημεν* XYV 13 *λοιπόν* : *λοιπῶς* X 13 *τὸν μακάριον* om. XCYV 15 *ἣν* emendavi : *ἧ* XSCYV 15 *ἦμεν* : *ἤμεθα* Y

λαξευτῶν, ἐπιγράψας ἐν ἑνὶ λίθῳ τῷ κατ' ἀνατολὰς λεξίδιον μικρὸν τοῖς καθαρὸν νοῦν ἔχουσι, μάλιστα νοούμενον πάντα τὸν χρόνον τῆς ζωῆς αὐτοῦ. ἦν δὲ ἡ ἐπιγραφὴ αὕτη,

ΜΑΡΤΥΣ ΜΑΛΗΣ ΠΑΓΚΡΑΤΙΟΣ ΖΗΣΑΣ ΕΤΗ Π'

ἐποίησα οὖν ὕστερον κατελθεῖν παῖδας εἰς τὸ καταβάσιον, ὅπου ἦμεν πρώην καταθέμενοι τὸν μακάριον, καὶ ἀνήνεγκαν τὸν χρυσὸν καὶ τὸν ἄργυρον καὶ λαβόντες χοῦν καὶ λίθους, ἐπλήσαμεν τὸ καταβάσιον· τὸν δὲ χρυσὸν καὶ τὸν ἄργυρον ἐποιησάμεν σκεύη τῆς ἐκκλησίας. διελθουσῶν οὖν ἡμερῶν τεσσαράκοντα τῆς τελευτῆς τοῦ μακαρίου, λέγω τῷ ἡγεμόνι, "ἀπελθώμεν ἐν Ῥώμῃ, ὡς ἐκέλευσεν ἡμῖν ὁ ἅγιος Παγκράτιος." ποιήσαντες οὖν σκάφην καὶ ἑτοιμάσαντες πάντα τὰ πρὸς τὴν χρείαν καὶ ἐπιλεξάμενοι ἄνδρας, οὓς εὕρομεν εὐλαβεῖς καὶ πάνυ σοφούς, ἀπεπλεύσαμεν, καὶ ἤλθομεν ἐν Ῥώμῃ, τοῦ κυρίου ἡμῶν

XSCYVO

1 τῷ XS : τὸ CY τοῖς V 1 κατ' : κατὰ C 5 μάλης SC : μάλεις XY μάλις V 5 Π' SC : ὀγδοήκοντα XYV 7 ἦμεν S : ἤμεθα XCYV 8 τὸν χρυσὸν XSY : τὸ χρυσὸν V τὸν χρυσοῦν C 8 - 9 τὸν ἄργυρον XSCY : τὸ ἀργύριον V 9 τὸ καταβάσιον XSCY : αὐτὸν V 9 - 10 τὸν χρυσὸν S : τὸν χρυσοῦν XCYV 11 οὖν XSYV : δὲ C 11 post μακαρίου verbum Παγκρατίου hab. V 12 post ἡγεμόνι verbum Βονιφατίῳ hab. V 12 ἀπελθώμεν SCYV : -ομεν X 13 Παγκράτιος om. S 13 πάντα post χρείαν tr. SC 14 εὕρομεν S : -αμεν XCYV 15 ἤλθομεν CV : -ωμεν XS -[.]μεν Y(mutil.)

Ἰησοῦ Χριστοῦ συνεργήσαντος ἡμῖν καὶ ἀποστείλαντος τὸν ἄγγελον αὐτοῦ συμπορευθῆναι ἡμῖν. καταλαβόντων οὖν ἡμῶν τὴν μεγαλόπολιν Ῥώμην, ἣν ὁ μακάριος Πέτρος ὁ ἀπόστολος προγνοὺς τῷ πνεύματι ὅτι ἤκαμεν, καὶ τοῖς μαθηταῖς αὐτοῦ προείρηκεν ὅτι, "Εὐάγριος ὁ μαθητὴς Παγκρατίου τοῦ ἐπισκόπου Ταυρομενίας πρὸς ἡμᾶς παραγέγονεν, ἐπειδὴ Παγκράτιος ἐτελειώθη." ὡς δὲ ἠγγίσαμεν τῆς πύλης τῆς πόλεως, ἐξῆλθε καὶ ὁ ἀπόστολος Πέτρος μετὰ τῶν μεγίστων αὐτοῦ μαθητῶν καὶ ὑπήντησεν ἡμῖν. ὡς οὖν ἑώρακα τὸν ἀπόστολον, ἔρριψα ἑαυτὸν εἰς τοὺς πόδας αὐτοῦ, καὶ ἀναστάντος μου ἐκράτησε με, καὶ ἀσπασάμενος ἔλεγεν, "καλῶς ἦλθεν τοῦ πνευματικοῦ μου θρέμματος τὸ θρέμμα." ἐγὼ δὲ ἔτι ῥίψας ἑαυτὸν εἰς τοὺς πόδας αὐτοῦ, ἔλεγον, "καλῶς εὗρον τὸν μαθητὴν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ διδάσκαλον τῶν ἐθνῶν, τὸν δᾳδοῦχον ἁπάσης τῆς οἰκουμένης." ὡς δὲ εἰσήλθομεν ἐν ἑνὶ τόπῳ ἡσυχαστικῷ, ἅπερ ἤθελον λέγειν ἐγώ, ὁ ἀπόστολος τοῦ Χριστοῦ, ὡς παρὼν τῷ πνεύματι σὺν

XSCYVO

1 *συνεργήσαντος* V : *συνεργοῦντος* XSCY 1 *καὶ ἀποστείλαντος - ἡμῖν* om. Y 1 *ἀποστείλαντος* S : *-αντα* XCV 4 *προείρηκεν* C : *προειρήκει* XSYV 5 *τοῦ ἐπισκόπου* : *ἐπίσκοπος* V 5 *Ταυρομενίας* : *Ταυρομενείας* C 6 - 7 *τῆς πύλης* XS : *τῇ πύλῃ* CYV, fort. recte 8 *μεγίστων* SV : *μεγιστάνων* XCY 10 *με* post *ἀσπασάμενος* tr. V 10 *τοῦ πνευματικοῦ* : *τὸ πνευματικόν* S 11 *μου* om. XCY 11 *θρέμματος* : *θρέμμα* V 12 *εὗρον* XSCY : *ηὗρον* V 13 *καὶ* om. C 14 *εἰσήλθομεν* XSCY : *-αμεν* V 14 *ἤθελον* XY : *εἴθελον* V *ἔθελον* SC 14 *ἅπερ* V : *ἃ* XSCY 15 ante *Χριστοῦ* verbum *τοῦ* hab. S

ἡμῖν, ἔλεγεν ἅπαντα τὰ συμβάντα ἡμῖν, καὶ φησὶν πρός με, "τέκνον Εὐάγριε, ἃ θέλεις λέγειν ἡμῖν, πάντα ἐγνώκαμεν χάριτι Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν. ἐγχειρίσθητι οὖν, τέκνον, τὴν ἐπισκοπὴν τῆς πόλεως ὑμῶν, καὶ κατὰ πάντα, ἃ ἑώρακας, τὸν κύριν Παγκράτιον καὶ διδάσκαλόν σου μίμησαι. οὐ πλέον ἢ ἐλάσσον παρὰ τὸ προσταχθέν σοι παρ' αὐτοῦ διαπράξῃ." ἐξήλθομεν οὖν καὶ ποιήσας δοχὴν ὁ μακάριος ἀπόστολος, ὑπεδέξατο τοὺς ἄνδρας τῆς πόλεως ἡμῶν. διατριψάντων οὖν ἡμῶν ἐν τῇ πόλει τεσσαράκοντα ἡμέρας, προσκαλεσάμενος ὁ ἀπόστολος τοὺς πιστοὺς πάντας καὶ τὸ πρεσβυτέριον, ἐποίησε τὴν πρέπουσαν ἀκολουθίαν καὶ δέδωκέν μοι τὸν κλῆρον τῆς ἐπισκοπῆς ταύτης τῆς πόλεως κατὰ τὸν κανόνα τοῦ ἑαυτοῦ διδασκάλου, λέγων μοι, "πορεύου, καθὼς καὶ αὐτὸς παρ' ἡμῶν παρέλαβεν." ἅπασαν οὖν ἐκκλησιαστικὴν κατάστασιν παραδούς μοι, ἀπέλυσέν με. συμπαραλαβὼν οὖν Βονιφάτιον καὶ τοὺς ἐμοὺς πάντας, ἤλθομεν εἰς τὴν πόλιν ἡμῶν, εἰρήνην λαβόντες παρὰ τοῦ μακαρίου Πέτρου τοῦ

XSCYVO

3 ἡμῶν ante θεοῦ tr. XC, om. Y 3 οὖν om. S 4 ἃ XSCY : ἅπερ V 4 κύριν : κύριόν σου Y 5 σου om. Y 5 προσταχθέν XY : διαταχθέν SCV 6 διαπράξῃ nos : διαπράξει SCV διαπράξαι XY 6 ἐξῆλθομεν XSCY : -αμεν V 6 μακάριος om. XSCY 7 post ἀπόστολος verbum *Πέτρος* hab. V 10 ἀκολουθίαν] вьрежение Usp 11 ταύτης post πόλεως tr. SCY 11 ἑαυτοῦ emendavi : σοῦ XSCYV 12 παρέλαβεν CYV : παρέλαβες XS 13 κατάστασιν XSYV : παράταξιν C 13 παραδούς CYV : παραδός XS 15 παρὰ V : ὑπὸ XSCY

ἀποστόλου. οὕτως οὖν ᾠκονόμησεν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τὰ καθ' ἡμᾶς πάντα τῇ πρεσβείᾳ τοῦ ἁγίου Παγκρατίου τοῦ καλοῦ ποιμένος καὶ διδασκάλου. μετὰ οὖν ταῦτα, λέγω τῷ Βονιφατίῳ, "δεῦρο, τέκνον, καὶ λάβε τὴν χάριν τοῦ ἁγίου βαπτίσματος." ὁ οὖν Βονιφάτιος ἐν πάσῃ προθυμίᾳ καρδίας προσελθὼν εἰς τὸ ἅγιον βάπτισμα, ὡς πιστὸς πάνυ τῷ θεῷ προσεκολλήθη, ἡμέρας καὶ νυκτὸς μὴ ἀφιστάμενος τῆς σοροῦ τοῦ ἁγίου Παγκρατίου· μόνον γάρ, ὡς ἐποιήσατο τὴν ἀπόθεσιν τῶν ἀμφίων τοῦ ἁγίου βαπτίσματος, προσκαλεσάμενος ἄνδρα τινα πολεμιστὴν καὶ ἱκανὸν καὶ πιστὸν πάνυ, προεχειρίσατο ἡγεμόνα εἰς τὰ τῆς πόλεως πράγματα, καὶ ἀποκειράμενος τὴν κόμην τῆς κεφαλῆς αὐτοῦ συνῆν ἡμῖν πάντοτε. λέγω οὖν ἐγὼ Εὐάγριος πρὸς αὐτόν, "τέκνον Βονιφάτιε, εἰς ἔπαινον καὶ δόξαν Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν ποιήσωμεν οἶκον τούτῳ τῷ δικαίῳ ἀνδρὶ καὶ ἱερομάρτυρι, τῷ εὐαρεστήσαντι τῷ θεῷ καὶ ποιήσαντι καρποὺς δικαιοσύνης, καὶ προστάξωμεν ὑπηρέτας τῷ οἴκῳ

XSCYVO

15 Phil. 1:11, Jac. 3:8

1 - 3 οὕτως οὖν - διδασκάλου om. Y 1 ὁ om. S 3 τῷ om. V 4 καὶ om. Y 4 τὴν χάριν om. V 6 ὡς SY : ὁ X καὶ ὡς CV 6 πιστὸς : πιστῶς Y 6 θεῷ ante προσεκολλήθη verbum ὅλος hab. S, ὅλως hab. V 10 προεχειρίσατο : προεχειρήτω C 12 ἐγὼ om. S 13 καὶ δόξαν om. XSCY 13 ποιήσωμεν : -ήσομεν Y 14 τούτῳ XCY : τοῦτο SV, fort. recte 14 post ἱερομάρτυρι verbum καὶ hab. X 14 τῷ (3) om. Y 14 - 15 τῷ θεῷ καὶ ποιήσαντι om. S, propter homoeoteleuton 15 καρποὺς V : καρπὸν XSCY 15 προστάξωμεν S : προστάξομεν CV : προσετάξαμεν XY

αὐτοῦ, ἵνα προσκαρτερῶσιν τῇ θήκῃ αὐτοῦ καὶ μὴ ἀφιστῶνται ἡμέρας καὶ νυκτὸς ἀπ' αὐτῆς, ἀσίγητον ψαλμῳδίαν ἐν αὐτῇ ἐπιτελοῦντες." ὁ δὲ Βονιφάτιος πρός με, "εἴτιδ' ἂν ἀρεστὸν ἐν ὀφθαλμοῖς σου, ἕνεκεν τῆς κοσμήσεως τοῦ οἴκου τοῦ πατρὸς ἡμῶν, ποίησον. τὸ πρέπον σὺ ἐπίστασαι. χρήματα παρέχωμεν, καὶ ὡς κελεύεις, ποίησον." ταῦτα λαλήσαντες ἀνῆλθεν ὁ Βονιφάτιος εἰς τὸ πραιτώριον νυκτί, καὶ ἔλαβεν χρυσίον ὡσεὶ πέντε ἑκατοντάδας ἀριθμητὰ εἰς ἑβδομήκοντα δύο, καὶ ἦλθεν ἐν τῷ εὐκτηρίῳ καὶ ἐπέδωκέν μοι αὐτὸ λέγων, "ταῦτα λάβε, ὦ Εὐάγριε, καὶ ἐπίδος τοῖς κεραμισταῖς καὶ τέκτοσι καὶ λιθουργοῖς εἰς πλήρωσιν τοῦ ἔχοντος γενέσθαι οἴκου τοῦ ἁγίου Παγκρατίου." λαβὼν οὖν ἐγὼ καὶ καλέσας τοὺς τεχνίτας, ἐπέδωκα αὐτοῖς τὸ χρυσίον καὶ εἶπον αὐτοῖς, "καλεῖ ὑμᾶς ὁ ἅγιος Παγκράτιος εἰς τὸ ἀνοικοδομῆσαι αὐτῷ οἶκον." λαβόντες οὖν οἱ τεχνίται, ἐλθὼν καὶ Βονιφάτιος ἐτηρήσαμεν ἀπὸ τῆς ῥαγάδος τὸν τόπον ἕως τῆς θήκης τοῦ μακαρίου, καὶ σταθμήσαντες ἐπελάβοντο οἱ τέκτονες καὶ οἱ ὀρύσσοντες, καὶ

XSCYVO

1 αὐτοῦ (1) XSCY : τούτῳ V 1 προσκαρτερῶσι S : προσκαρτεροῦσιν CYV προσκαρτερήσει X 1 ἀφιστῶνται emendavi : ἀφίστανται XCYV ἀφίσταντε S 2 ψαλμῳδίαν : ψαλμὸν C 2 ἐν αὐτῇ post διατελοῦντες tr. C 2 ἐπιτελοῦντες V : διατελοῦντες XSCY 3 ἀρεστὸν XY : ἐστιν ἀρεστὸν S ἐστιν C ἀρεστόν σοι ἐστὶν V 3 σου om. V 3 post σου verbum ποίησον hab. XSCY 4 τοῦ οἴκου XSCY (post κοσμήσεως tr. X) : τῆς θήκης V 4 ἡμῶν XSYV : σου C 4 σὺ S : σοι XCYV 5 ἐπίστασαι XS : ἐπίστασε CY, om. V 5 παρέχωμεν C : -ομεν XSYV 6 ἀνῆλθεν V : ἀπῆλθεν XSCY 6 εἰς τὸ πραιτώριον om. C 8 αὐτὸ S : αὐτῷ C αὐτὰ XYV 8 - 9 ὦ Εὐάγριε καὶ om. XSCY 9 λιθουργοῖς SCV : λειτουργοῖς X λοιτουργοῖς Y 12 εἰς τὸ XSYV : τοῦ C 13 ἐλθὼν XSCY : ἦλθεν V 13 ante Βονιφάτιος verbum ὁ hab. YV 13 post Βονιφάτιος verbum καὶ hab. V 14 μακαρίου XSCV : ἁγίου Y 15 σταθμήσαντες XSCY : σταφνίσαντες V

ποιήσαντες τοὺς θεμελίους τοῦ χάους, ἐποίησα κἀγὼ τὸ σταυροπήγιον, καὶ ἐνήρξαντο τῆς οἰκοδομῆς. πληρωθέντος οὖν τοῦ οἴκου, ἐποίησα προαύλιον καὶ οἰκίσκους μικρούς. ἐποίησα δὲ καὶ δεξαμενὴν πρὸς ὑπηρεσίαν τῶν προσεδρευόντων ἐν τῷ τιμίῳ ναῷ τοῦ ἁγίου Παγκρατίου, καὶ ἐπληρώθησαν ἅπαντα τὰ τῆς οἰκοδομῆς τοῦ οἴκου τῇ χάριτι Χριστοῦ τοῦ θεοῦ ἡμῶν, καὶ διελθόντος ἐνιαυσιαίου χρόνου, διεκόσμησα ἅπαντα τὸν οἶκον τῆς Παλαιᾶς Διαθήκης τὴν ἱστορίαν, ἀφ' οὗ κύριος ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν ἐποίησεν σὺν τῇ θαλάσσῃ καὶ πᾶσι τοῖς ἐν αὐτοῖς κατὰ τὴν τῆς Γενέσεως βίβλον ἕως ὅτου †πλήρεις ἔσχατα ποιήματα. ἐν ἑτέρῳ δὲ τόπῳ ἐποίησα τὴν ἱστορίαν τῆς Νέας Διαθήκης. ἐτύπωσα δὲ καὶ τὸν χαρακτῆρα τοῦ κυρίου μου Παγκρατίου ἐν εἰκόνι, ὡς ἦν ἅπαξ ἀπαράλλακτος. ὅτε δὲ βλέπω τὸν τίμιον αὐτοῦ χαρακτῆρα ἐν τῇ εἰκόνι, οὕτως δοκῶ ὅτι ἐν σαρκὶ μετ' αὐτοῦ ἐντυγχάνω καὶ βλέπω αὐτόν. πάντων οὖν οὕτως τῇ χάριτι Χριστοῦ ἐπιτελεσθέντων διὰ τῶν πρεσβειῶν τοῦ ἁγίου

XSC (11 *Νέας* - 13 *χαρακτῆρα* mutil.) Y (15 *ἐπιτελεσθέντων* usque ad finem mutil.) VO

1 *τοὺς θεμελίους* S : *τὸν θεμέλιον* XV *τὸν θεμελίων* C *τὸ θεμέλιον* Y 1 *τοῦ χάους* XC : *τοὺς χάους* SY *εἰς τοὺς χάους* V 2 *ἐνήρξαντο* SCV : *ἐνήρξαν* X *ἐνήρξαμεν* Y 3 *ἐποίησα* SCYV : *ἐποίησαν* X 3 - 5 *ἐποίησα* (2) - *Παγκρατίου* om. X, add. X^1 in marg., om. V 5 *ἅπαντα* SCV : *πάντα* XY 6 *καὶ διελθόντος* (*διελθότος* C) XSCY : *διελθόντος δὲ* V 6 *ἐνιαυσιαίου* XSCY : *ἐνιαυτοῦ ἑνὸς* V 7 post *Διαθήκης* verbum *καὶ* hab. XSCY 7 *τὴν* om. Y 9 *βίβλον* SCV : *βίβλων* XY 10 *πλήρεις* V : *πλήρης* XC *πλήρις* S *πλήρες* Y 11 *τὴν ἱστορίαν* V : *ἱστορίαν* XCY *ἱστωρίας* S 12 *ἀπαραλλάκτος* X : *ἀπαραλάκτος* Y *ἀπαραλλάκτος*, corr. *-ως* C *ἀπαραλάκτως* SV 13 - 14 *ἐν σαρκὶ* post *μετ' αὐτοῦ* tr. XY 14 *ἐντυγχάνω* SCV : *τυγχάνω* XY 14 *οὖν* om. V

Παγκρατίου, ἐγὼ Εὐάγριος ἐπλήρωσα τὴν ἀκολουθίαν τῶν τῆς ἐκκλησίας ἡμῶν πραγμάτων, χειροτονίας ποιήσας πρεσβυτέρων καὶ διακόνων, ἄνδρας εὐλαβεῖς ἐπιλεξάμενος. τὸν δὲ Τατιανὸν ἐχειροτόνησα πρεσβύτερον καὶ Λυκαονίδην διάκονον, καὶ προσέταξα ὑπηρετεῖν τῇ σορῷ τοῦ ἁγίου Παγκρατίου καὶ παρεδρεύειν ἡμέρας καὶ νυκτὸς ἐν αὐτῇ· μήτε δὲ ἀνέρχεσθαι ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ, ἀλλ' ἐκεῖ τὸν κανόνα αὐτῶν ἐπιτελεῖν καὶ πάσας τὰς ἐκκλησιαστικὰς παραδόσεις ποιεῖσθαι· μὴ εἰσέρχεσθαι δέ τινα τῶν ἱερέων σὺν τοῖς ὑποδήμασιν αὐτοῦ ἐν τῇ λάρνακι, ἀλλὰ φόβῳ εἰσέρχεσθαι καὶ προσκυνεῖν· λαϊκὸν δὲ καὶ γυναῖκα μὴ εἰσέρχεσθαι ἐν αὐτῇ τῇ θήκῃ, ἀλλ' ἔξωθεν τὰς αἰτήσεις αὐτῶν ποιεῖν. ἐνέγκας οὖν τοὺς τῆς συγκλήτου ἄνδρας, ἐβουλευσάμεθα ποιῆσαι τὰς τῶν ἱερῶν μεριδαρχίας, καὶ συνταξάμενοι ἅπαντες, κοινῇ γνώμῃ πεποίηκεν ἕκαστος τὸ ἴδιον γραμματεῖον, καὶ ἀπέθεντο ἐν τῇ λάρνακι τοῦ ἁγίου Παγκρατίου χρυσὸν καὶ ἄργυρον, παίδας καὶ παιδίσκας, ἀγροὺς καὶ

XSCY (mutil.) VO

1 ἐπλήρωσα XY : ἀνεπλήρωσα SCV, fort. recte 2 ἡμῶν om. V 4 διάκονον SY : διάκονα XCV 5 καὶ (1) om. XCYV 5 παρεδρεύειν : παραδρεύειν S 5 ἡμέρας : ἡμέρα V 5 ante καὶ (2) verbum τε hab. V 6 νυκτὸς : νύκτα V 6 ἐν (1) SCV : ἐπ' XY 7 αὐτῶν SYV : αὐτὸν X, om. C 7 ἐπιτελεῖν XSYV : ἀποτελεῖν C 8 τινα XCYV : τινας S 8 τῶν ἱερέων om. S 8 - 9 σὺν τοῖς ὑποδίμασιν αὐτῶν in marg. hab. Y 9 αὐτοῦ V : αὐτῶν XSCY 9 ἀλλὰ V : δι' ὃ XSCY 10 μὴ XSCY : μηδὲ ὅλως V 11 ποιεῖν XSC : ποιὴν Y αἰτεῖν V 12 ποιῆσαι post ἱερῶν tr. V 12 ἱερῶν XCYV : ἱερέων S 13 ante καὶ verbum ἃς hab. XSCY 14 γραμματεῖον V : γραμματίον XSCY 14 τῇ V : τῷ XSCY 14 ἁγίου XSCV : μακαρίου Y 15 χρυσὸν XSY : χρυσοῦν C χρυσίον V 15 ἄργυρον XSCY : ἀργύριον V 15 post παιδίσκας verbum καὶ hab. V

ἀμπελῶνας, καὶ προσελθὼν ἐγὼ Εὐάγριος ἐπῆρα τοὺς χάρτας τῶν προσφορῶν αὐτῶν. ὁ δὲ Βονιφάτιος, ὡς προεῖπον, ἀποταξάμενος πάντων τῶν γηΐνων πραγμάτων καὶ ἀποκειράμενος τὴν κόμην τῆς κεφαλῆς αὐτοῦ, πάντα τὸν χρόνον τῆς ζωῆς αὐτοῦ ἐν τῷ οἴκῳ τοῦ ἁγίου Παγκρατίου πεποίηκεν. πολλὰ μὲν οὖν καὶ ἀνείκαστα θαύματα ἡ θήκη τοῦ ἁγίου Παγκρατίου πεποίηκεν, ποικίλας νόσους θεραπεύουσα καὶ δαίμονας ἀπελαύνουσα τῇ χάριτι Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν, ἃ ἐὰν καθ' ἕνα εἴχομεν γράψαι, ἐν τέσσαρσι βιβλίοις ταῦτα οὐκ ἤρκει βαλεῖν. ταῦτα δὲ ἀνεγραψάμεθα κατὰ τὴν δύναμιν ἡμῶν, ὅσον ἐχωροῦμεν, εἰς δόξαν τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, τῆς ἀληθινῆς καὶ ἀκηράτου τριάδος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

XSCY (mutil.) VO

1 ἐπῆρα XY : ἐπῖρα, corr. ἐπῆρα C ἐπείρα V ἐποίησα S 5 ἀνείκαστα S : ἀνίκαστα XCYV 6 ἡ : τῇ X 6 Παγκρατίου om. XCY 8 ἃ XCY : ὧ S ἅπερ V 8 post καθ' ἕνα verbum ἕκαστα hab. C 8 εἴχομεν SC : -αμεν XYV 9 βιβλίοις SC : βίβλοις XYV 9 οὐκ ἤρκει V : ἠρκούμεθα XY οὐκ ἠρκοῦμεν SC 9 βαλεῖν XSCY : ἐμβαλεῖν V 9 ταῦτα : τὰ S 10 ὅσον : ὅσου C

οὗτοί εἰσιν οἱ τῶν εἰδώλων ναοὶ οἱ μέγιστοι οἱ ἐν τῇ πόλει, οὓς ὁ μακάριος Παγκράτιος τῇ χάριτι Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν ἠδάφισεν καὶ τοὺς ἐνοικοῦντας ἐν αὐτοῖς δαίμονας ἐφυγάδευσεν. πρῶτος (α'), Φάλκων ὁ ἐν τῇ παραλίᾳ. δεύτερος (β'), Λύσσων ὁ ἐν τῷ Τετραϊππίῳ. τρίτος (γ'), Δίας ὁ ἐν τῇ οἰκίᾳ Ἐλίδου σὺν τῷ εἰδώλῳ Σκαμάνδρῳ. τέταρτος (δ'), ἡ θεὰ Ἄρτεμις Ἥρωνος θυγάτηρ πλησίον τῆς καταβάσεως τῶν ὑδάτων. πολλοὶ δὲ καὶ ἕτεροι βωμοὶ ἦσαν ἐν τῇ πόλει, Ἰουδαϊκοὶ καὶ Μοντανικοί, καὶ πάντας ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἀπήλασεν ἀπὸ τῆς πόλεως ἡμῶν διὰ τῆς πρεσβείας τοῦ ἁγίου Παγκρατίου καὶ κατέσπαρται εἰρήνη ἐπ' αὐτῇ. δόξα καὶ τιμὴ καὶ προσκύνησις ἀποδίδοται ἐν αὐτῇ παρὰ πάντων τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

XSC (4 *Λύσσων* usque ad finem mutil.) Y (mutil.)

1 - 13 Appendicula deest in V 2 *Παγκράτιος* om. C 5 *Τετραϊππίῳ* : *Τετραΐππῳ* X, corr. *-ππίῳ* X¹ 7 *καὶ* om. C 8 *καὶ Μοντανικοὶ* om. C 9 *ἀπὸ* om. X 10 *εἰρήνη* post *αὐτῇ* tr. X 10 *ἐπ'* X : *ἐν* S, mutil. CY